

ΙΟΘΗΚΗ
ΛΗΝΩΝ
ΤΕΡΩΝ

ΛΟΔΩΡΟΣ
ΟΣΤΕΣΙΑΣ
(ΜΕΡΟΣ Β΄)

84



Printed in Greece
Athens 2005

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

'Ιασίου 1, 115 21 'Αθήνα, τηλ. 210.7272.381, fax 210.7272.380
e-mail: sellsbooks@apostoliki-diakonia.gr
http://www.apostoliki-diakonia.gr
Ἔκδοσις Α' 2005

Κ.Α. 99.02.084
ISBN 960-315-546-2
ISSN 1106-5303

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΟΓΔΟΗΚΟΣΤΟΣ ΤΕΤΑΡΤΟΣ

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ
(ΜΕΡΟΣ Β')

Γενικὴ Ἐπιστασία καὶ Ἐπιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
Ὁμοτίμου Καθηγητοῦ τοῦ Πανεπιστημίου Ἀθηνῶν

Ἐπιμεληταὶ
ΓΕΩΡΓΙΑ Π. ΚΟΥΝΑΒΗ
Δρ. ΔΗΜΗΤΡΙΟΣ Χ. ΚΑΛΛΙΝΤΕΡΗΣ
Θεολόγοι

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΑΘΗΝΑΙ 2005

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ (ΜΕΡΟΣ Β΄)

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟΥΣ ΨΑΛΜΟΥΣ

ΜΕΡΟΣ Β'

(Ψαλμοὶ 44-80)*

Ψαλμὸς 44

277 Ἐν τούτῳ προφητεύει τῷ ψαλμῷ τὰ κατὰ τὸν Χριστόν, προαγορεύων ὅπως μὲν πολλοὺς προσάξεται τῷ λόγῳ τῆς διδασκαλίας, ὅσα δὲ καὶ κατορθώσει παραγεγονώς, καὶ τῆς Ἐκκλησίας τὴν σύστασιν, ἣν ἀπὸ τοῦ συναθροίσματος ἐποιήσατο τῶν πιστῶν. Μνημονεύει δὲ καὶ τῶν πνευματικῶν χαρισμάτων, τῆς τε παρασχεθείσης ὑπ' αὐτοῦ δωρεᾶς τοῖς Ἁγίοις, καὶ τῆς ἀρετῆς ὡς πολλὴν ἐν τῇ Ἐκκλησίᾳ δεξομένων τὴν ἐπίδοσιν. Ἕτερά τε ὅσα τούτοις ἀκόλουθα λέγει, μάλα τὴν περὶ αὐτῶν προφητείαν ἀκριβεστάτην ποιούμενος. Ἄρχεται δὲ ἀπὸ προοιμίων, καὶ τὴν πρόῤῥησιν μετὰ πολλῆς ποιεῖται τῆς τάξεως. Προσεκτέον οὖν ἀκριβῶς τῇ ἑρμηνείᾳ, μάλιστα ἐπειδὴ καὶ παρατρέπειν Ἰουδαῖοι τολμῶσι τὸν ψαλμόν. Μυθικώτερον, μᾶλλον δὲ καταγελαστότερον αὐτὸν ἐξηγούμενοι, — οἷς οὐδὲ προσέχειν ἐχρῆν, — οὕτω χλεύης ἀξίαν τὴν προφητείαν τό γε ἐπ' αὐτοῖς ἀποφαίνειν τολμῶσιν· εἰς γὰρ τὸν Σολομῶντα καὶ τὴν τούτου γυναῖκα βούλονται εἰρῆσθαι τὸν ψαλμόν. Τί δ' ἂν εἴη τούτου χεῖρον πρὸς ἄνοιαν τὸ τοῦ πνευματοφόρου τὰς ῥήσεις εἰς τὸ μηδὲν ἐκτρέπειν, καὶ εἰς ὕμνους καὶ ἐγκώμια γυναικῶν καὶ **278** ὅσα τούτοις ἕπεται, κατὰ τὴν ἐκείνων γνώμην ἑρμηνευομένου τοῦ ψαλμοῦ; Ταῦτα μὲν οὖν καὶ γελᾶν ὡς μυθώδη προσῆκε, προσέχειν δὲ δεῖ πάντων ἕνεκεν τῇ τοῦ ψαλμοῦ ἑρμηνείᾳ ἀκριβέστερον.

2 «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν»

Καταιδείτω πρὸ τῶν ἄλλων ἁπάντων αὐτοὺς τὸ προοίμιον.

---

1. Κατὰ τὴν ἔκδοσιν R. Devreesse, Le commentaire de Théodore de Mopsueste sur les Psaumes (Studi e Testi 93), Città del Vaticano 1939, σσ. 277-561 (J.-P. Migne, PG 66, 672-696).

Δῆλον γὰρ ἐντεῦθεν ὅτι τὴν τοῦ ψαλμοῦ τούτου προφητείαν ἀναγκαιοτέραν τίθεται πασῶν τῶν ἐν τοῖς λοιποῖς ψαλμοῖς προσαγορεύσεων. Ἐξ ὧν βουλόμενος δεῖξαι τῶν λεγομένων τὴν ὑπεροχήν, ἤρξατο λέγειν· «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν»[1], οὐ γὰρ εἴποιεν ὅτι τὸ μὲν τοῦ Σολομῶντος καὶ τῆς τούτου γυναικὸς ἐγκώμιον λόγος ἦν ἀγαθός, — οἱ δὲ κατὰ τὸν Ἐζεκίαν ἢ τὸν λαὸν προαγορεύοντες οὐ πολλῷ τούτου κρείττους ἐτύγχανον, ὥστε αὐτοὺς ἀξιωθῆναι τούτου τοῦ προοιμίου, — ἀλλ' ὅμως δεικνὺς τὸ μέγεθος τῶν ἐν τῷ ψαλμῷ τούτῳ λέγεσθαι μελλόντων ὁ μακάριος Δαβὶδ τούτῳ κέχρηται τῷ προοιμίῳ.

Τί δ' ἂν εἴη μεῖζον τῶν κατὰ τὸν Χριστόν, δι' οὗπερ τοσαύτη μεταβολὴ τῆς οἰκουμένης γεγένηται, πάντων ἐπεγνωκότων τὸν τῶν ὅλων Θεόν, καὶ εὐσεβείας καὶ ἀρετῆς ἐπιμελεῖσθαι ἐσπουδακότων, καὶ δοξαζόντων μὲν τὸν τοῦ Θεοῦ Μονογενῆ, ἀποδιδόντων δὲ καὶ τὴν πρέπουσαν προσκύνησιν τῷ Ἁγίῳ Πνεύματι· ἐφ' οἷς ὁ μακάριος Δαβὶδ ἔφασκεν, «Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν».

Τὸ γάρ «ἐξηρεύξατο» ἔθος αὐτῷ λέγειν ὅταν βούληται τὴν πρὸς τὰ λεγόμενα τῆς καρδίας συγκατάθεσιν δεικνύναι, ἐπειδήπερ κάτωθεν ἐκ τοῦ βάθους ἡ ἐρυγὴ πέφυκε γίνεσθαι, καὶ ὅλως τῶν λεγομένων τὸ ἀναγκαῖον παρίστησιν, ἐπειδὴ τὰ τοιαῦτα ἀπ' αὐτῆς ὡς εἰπεῖν τῆς καρδίας τις φθέγγεται μᾶλλον συντιθέμενος τοῖς λεγομένοις διὰ τὸ οἰκεῖον αὐτῶν μέγεθος. Ἐνταῦθα γοῦν, ὅσῳ καὶ μείζονα ἦν τὰ λεγόμενα, οὐδὲ εἶπεν ἐξηρεύξαντο τὰ χείλη **279**
μου, ὡς ἀλλαχοῦ φαίνεται λέγων ἐξηρεύξαιντο τὰ χείλη μου ὕμνον, ἀλλ' «ἐξηρεύξατο ἡ καρδία μου», ἵνα δείξῃ μείζονα τὴν πρὸς τὰ λεγόμενα συγκατάθεσιν ἣν ἐκέκτητο ἐφηδόμενος τῷ μεγέθει τῶν λεγομένων. Καλὸν μὲν γὰρ κρίνειν καὶ τὸ προφητεύειν τὰ κατὰ τὸν λαόν, κρείττονα δὲ κατὰ τὸν Χριστόν, ὅσῳ καὶ μείζονα ἔχει τὰ κατορθώματα· διόπερ ἐνταῦθα μάλιστα εἶπε τό «λόγον ἀγαθόν», ἐπειδὴ καὶ πολλῶν ἀγαθῶν παρεκτικὰ ἔμελλεν ἐξηγεῖσθαι πράγματα.

---

1. Ψαλ. 44,2.

«Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ»

Αὐτῷ, φησί, «τῷ βασιλεῖ λέγω τὰ ἔργα μου»[1], τουτέστι τῷ Χριστῷ, ἔργον ἑαυτοῦ καλῶν τὴν προφητείαν δι᾽ ἧς ἐπαίδευε τοὺς πειθομένους[2], — ὡς καὶ ὁ ᾽Απόστολός φησιν, «Οὐκ εἰμὶ ἐλεύθερος; οὐκ εἰμὶ ᾽Απόστολος; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστε ἐν Κυρίῳ;»[3] καὶ ἀλλαχοῦ «Εἴ τις ἐπισκοπῆς ὀρέγεται καλοῦ ἔργου ἐπιθυμεῖ»[4], καὶ ἀλλαχοῦ περὶ διδασκάλων, «Εἴ τινος τὸ ἔργον μενεῖ ὃ ἐπῳκοδόμησεν, μισθὸν λήψεται, εἴ τινος τὸ ἔργον κατακαήσεται, ζημιωθήσεται»[5], καὶ τὰ ἑξῆς, — ἐπειδήπερ ἅπας προχειρισμὸς χάριτι πνευματικῇ εἰς οἰκοδομὴν ἑτέρων γιγνόμενος ἔργον καλεῖται. Ἔργον γάρ ἐστιν ὃ ἐργάζεσθαι καὶ ἐπιτελεῖν τὸν προχειριζόμενον προσήκει πρὸς τὴν ἑτέρων ὠφέλειαν, ὅπερ ἀπὸ τῆς τοῦ ἀποστελλομένου σπουδῆς τε καὶ ῥᾳθυμίας ἢ ἐπαινετὸν ἢ ψεκτὸν τὸν ἐγχειριζόμενον καθίστησιν· οὕτω κἀνταῦθα «ἔργα» οἰκεῖα καλεῖ τὴν προφητείαν, ἣν εἰργάζετο τῇ χάριτι τῇ πνευματικῇ πρὸς τὴν ἑτέρων ὠφέλειαν. Τὰς οὖν νῦν προαγορεύσεις αὐτῶν, φησίν, ἀνατίθεμαι, οὐκ ἀσχολῶ περὶ ἑτέρους. Πῶς; ᾽Επειδὴ τὰ περὶ αὐτοῦ προαγορεύειν μέλλει, αὐτῷ οὖν λέγω, τουτέστιν αὐτῷ ἀφορίζω τὸν νῦν λόγον, εἰς αὐτοῦ δόξαν ποιούμενος τὴν προαγόρευσιν τὰ περὶ αὐτοῦ προφητεύων. Οὐ γάρ, ὥς τινες ᾠήθησαν, ἑτέρου ἐστὶ προσώπου τό «λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ», ὡς τοῦ Θεοῦ λέγοντος περὶ τοῦ Δαβὶδ ὅτι αὐτῷ μέλλει λέγειν τὰ ἔργα.

Βασιλέως γὰρ ἐνταῦθα ἐν πλείοσι μέμνηται τόποις, — «ἔντεινον» γάρ, φησί, «καὶ κατευοδοῦ καὶ βασίλευε»[6] «ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως»[7], καί «ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας»[8], καί «ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου»[9], καί «ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς»[10] — καὶ βασιλίσσης δὲ μέμνηται, βασιλέα μὲν καλῶν τὸν Χριστόν, βασίλισσαν δὲ τὴν ἀπὸ τῶν πιστῶν συνεστῶσαν ᾽Εκκλησίαν. Δῆλον δὲ ὅτι περὶ τοῦ αὐτοῦ κἀνταῦθα λέγει βασιλέως· ὃν γὰρ ἂν δι᾽ ὅλων νοή-

---

1. Ψαλ. 44,2. **2.** Πρβλ. Ψαλ. 118,171. **3.** Α′ Κορ. 9,1. **4.** Α′ Τιμ. 3,1. **5.** Α′ Κορ. 3,14-15. **6.** Ψαλ. 44,5. **7.** Ψαλ. 44,6. **8.** Ψαλ. 44,7. **9.** Ψαλ. 44,12. **10.** Ψαλ. 44,15.

σωμεν λέγεσθαι βασιλέα, τὸν αὐτὸν δηλονότι κἀνταῦθα εἶναι τὸν λεγόμενον παραδεξόμεθα.

280 Τοῦτο δὲ ἡμῖν εἴρηται πρὸς τοὺς οὕτως νοοῦντας τῶν Χριστιανῶν, οἳ καὶ σφόδρα συνεργοῦσιν Ἰουδαίων τῇ κακοτεχνίᾳ, τὴν ἐναλλαγὴν τοῦ προσώπου παρεισάγοντες, — ὅπερ ἐὰν δοθῇ, πᾶσαν εὐχερῶς Ἰουδαῖοι παρατρέψουσι τὴν ἀληθῆ τοῦ ψαλμοῦ διάνοιαν, ὡς ἑξῆς ἐστιν ἐκ τῆς ἑρμηνείας ἰδεῖν, μάλιστα εἰ λάβοιεν καὶ βασιλέα ἐν τῷ ψαλμῷ ἕτερόν τινα νομίζεσθαι παρὰ τὸν Χριστόν.

Φαίνεται τοίνυν τοῦτο οὐ παρὰ τοῦ Θεοῦ πρὸς τὸν Δαβὶδ λεγόμενον, ἀλλὰ παρὰ τοῦ Δαβὶδ περὶ τοῦ Χριστοῦ, ὃν καὶ βασιλέα συμφώνως ἑαυτοῦ δι' ὅλων τοῦ ψαλμοῦ τῶν ῥημάτων φαίνεται προσαγορεύων. Ἐναλλαγὴ δὲ προσώπων ἐστὶ μὲν κατὰ τὸ ἀληθὲς ἐν τοῖς ψαλμοῖς οὐδεμία· καλὸν γὰρ μηδὲ τοῦτο παραλιπεῖν, μάλιστα μὲν διὰ Ἰουδαίους τοὺς τούτῳ κεχρημένους πρὸς παρατροπὴν τῆς ἀληθοῦς διανοίας καὶ πρὸς ἀπόδειξιν δὲ τῶν λεγομένων ἀκριβῆ, ὥστε μηδένα τῶν πιστῶν περιπίπτειν τῷ σφάλματι τῶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἀπὸ στοχασμοῦ διανοίας τὰ πολλὰ ἑρμηνεύειν ἐθελόντων.

Ἡ δέ γε δοκοῦσα εἶναι, ἢ οὖσα κατ' αὐτούς, εὑρίσκεται τότε ὅταν περὶ ἑτέρων φθέγγεσθαι τὸν Προφήτην συμβαίνῃ. Ἐναλλαγὴ δὲ προσώπου, ὡς ἐκεῖνοί φασιν, ἵνα καὶ τοῦτο δοίημεν οὕτως ἔχειν, οὐδαμοῦ κατὰ τοῦτον οὖσα τὸν τρόπον ἐν τοῖς ψαλμοῖς φαίνεται ὡς νῦν μὲν τοῦ Προφήτου φθεγγομένου πρὸς τὸν Θεόν, αὖθις δὲ τοῦ Θεοῦ πρὸς τὸν Προφήτην ἀντιφθεγγομένου· ἀλλ' ἐπειδὰν περί τινων λογοποιεῖται, — ἡγεμόνα ἐξηγούμενος, ἢ ἐσόμενα προφητεύων, — ἀπὸ τῆς τῶν λεγομένων ἀκολουθίας πάντως παρεντίθησι τὰ ὑπὸ τοῦ Θεοῦ λεγόμενα ἁρμοδίως ἐκείνοις περὶ ὧν καὶ ποιεῖται τὸν λόγον.

Ἐπειδὴ γὰρ ἔθος αὐτῷ ἀντὶ πράγματος λέγειν τὴν φωνήν, ὡς ἀποδέδεικται ἡμῖν πολλαχοῦ, ἐνίοτε μὲν ἐπὶ τῶν ἀνθρώπων, ἔστι δὲ ὅτε καὶ ἐπὶ τοῦ Θεοῦ· οἷόν ἐστιν ἐν τῷ δευτέρῳ τό «Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ»[1], — ἀντὶ τοῦ μετέδωκέ μοι τῆς υἱότητος,

1. Ψαλ. 2,7.

— ἐκ προσώπου τοῦ ληφθέντος ἀνθρώπου λεγόμενον, τό «ὅτι λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ»[1], — τουτέστιν ὅτι παρέξει ἡμῖν τὴν εἰρήνην. Καὶ πολλάκις ἀπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας, ὡς ὑπὸ τοῦ Θεοῦ γεγονός τι σημᾶναι βουλόμενος, περιτίθησιν αὐτῷ φωνὴν ὡσανεὶ λέγοντος καὶ ἀποφαινομένου ἢ καὶ ἐπαγγελλομένου, οὐ προστιθεὶς τὸ εἶπεν ἢ ἐλάλησεν. Ὥσπερ γὰρ ἐπὶ τῶν ἀνθρώπων τὸ εἶπεν ἀντὶ πράγματος λαβὼν (ὡς τό «Εἶπεν γὰρ ἐν καρδίᾳ αὐτοῦ, ἐπιλέλησται ὁ Θεός»[2], καί «Εἶπεν ἐν καρδίᾳ αὐτοῦ οὐκ ἐκζητήσει»[3], ἀντὶ τοῦ οὕτω πράττει ὡς οὐκ ἐκζητοῦντος τοῦ Θεοῦ τὰ ἠγνοημένα) ἐνίοτε ἀπὸ ἀκολουθίας τίθησιν αὐτὸ ὡσανεὶ λεγόντων τινῶν, οὐ τίθησι δὲ τὸ εἶπεν ἢ λέγων (οἷόν ἐστιν τὸ ἐν τῷ β´ «Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν»[4]) εἴληπται δὲ ἀπὸ τοῦ πράγματος, — ἀντὶ τοῦτο ἐποίουν καὶ οὗτος ἦν αὐτοῖς τοῦ πράγματος **281** ὁ σκοπός, — οὕτω καὶ ἐπὶ τοῦ Θεοῦ λέγει μέν τι τοιοῦτον ἐνίοτε ἀπὸ τοῦ πράγματος περιάπτων αὐτῷ φωνήν, οὐ τίθησι δὲ τὸ εἶπεν, ἀπὸ κοινοῦ νοεῖσθαι καταλιμπάνων αὐτὸ ἐν τῇ τοῦ λόγου ἀκολουθίᾳ τε καὶ τάξει, — οἷον ἐν τῷ λα´ λέγει μέν τινα ἐκ τοῦ Ἐζεκίου ὡς ἂν ἐν τῷ καιρῷ τῆς ἀῤῥωστίας ἐξομολογησαμένου περὶ τῆς ἁμαρτίας, ἀφ' ἧς εἰς τὴν ἀῤῥωστίαν κατέπεσεν, ὑπὲρ τῆς κοινῆς ἁπάντων ὠφελείας τὰ κατ' ἐκεῖνον ἐξηγούμενος. Βουλόμενος δὲ εἰπεῖν τίνα παρέχει Κύριος τοῖς ἐξομολογουμένοις ὑπὲρ ὧν ἥμαρτον, φωνὴν αὐτῷ περιτίθησιν, ὡς ἂν ταῦτα ποιήσειν ἐπαγγειλαμένῳ καὶ φησί «Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ»[5] καὶ τὰ ἑξῆς, ἀντὶ τοῦ ταῦτα δὲ αὐτῷ ὑπέσχετο ὁ Θεὸς ὑπὲρ τῆς ἐξομολογήσεως, ἵνα εἴπῃ ὅτι ταῦτα ποιήσει, — καὶ οὐ προσέθηκε τὸ εἶπεν, ἀπὸ δὲ τῆς τῶν εἰρημένων ἀκολουθίας προσεπινοεῖται ὅτι πρὸς τὰ τοῦ Ἐζεκίου ῥήματα ταῦτα εἶπεν ὁ Θεός.

Οὕτω καὶ ἐν τῷ οδ´ ψαλμῷ, «Ἐξομολογησόμεθά σοι, ὁ Θεός», φησίν, «ἐξομολογησόμεθά σοι, διηγήσομαι πάντα τὰ θαυμάσιά σου ὅταν λάβω καιρόν»[6], εἶτα ὡς ἐκ τοῦ Θεοῦ «ἐγὼ εὐθύτητας κρινῶ»[7]· τοῦτο γὰρ δηλονότι οὐ περὶ τοῦ Προφήτου φησίν ὁ Θεός,

---

1. Ψαλ. 84,9. **2.** Ψαλ. 9,32. **3.** Ψαλ. 9,34. **4.** Ψαλ. 2,3. **5.** Ψαλ. 31,8. **6.** Ψαλ. 74,2. **7.** Ψαλ. 74,3.

ἀλλὰ περὶ ἑτέρων — ὡς καὶ ἐπαγαγών, «Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ»[1] πάλιν ὡς ἐκ τοῦ Θεοῦ φησίν, «ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς»[2]. Καὶ ὅλως ἡ δοκοῦσα ἐναλλαγὴ τοῦ Προφήτου συμφωνίαν ἔχειν τινὰ πρὸς τὴν ἀκολουθίαν ὀφείλει τῶν λεγομένων, ὥσπερ οὖν κἀνταῦθα, ἐπειδὴ εἶπε «Διηγήσομαι τὰ θαυμάσιά σου ὅταν λάβω καιρόν», ἑξῆς λέγει ποῖα θαυμάσια, — «ἐγὼ εὐθύτητας κρινῶ» (τουτέστιν ὅτι τοῦτο εἶπας καὶ τοῦτο ποιεῖν ἐπηγγείλω, ἵνα εἴπῃ ὅτι ἐποίησας) εἶτα διὰ μέσου παρενθείς, ὥσπερ οὖν ἔθος αὐτῷ, — τό «Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ», ἀκολούθως ἐπήγαγεν «ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς».

Ἐνταῦθα μέντοι «λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ»[3] οὐ περὶ ἑτέρου λέγει, ἀλλὰ περὶ αὐτοῦ τοῦ Προφήτου, κατὰ τοὺς οὕτως ἑρμηνεύοντας, — ὅπερ οὐδαμοῦ εὑρίσκομεν ἐν τοῖς Ψαλμοῖς· οὐδαμοῦ γὰρ λέγοντός τι τοῦ Δαβὶδ πρὸς τὸν Θεόν, ὁ Θεὸς πάλιν ἀποκρινόμενος λέγει πρὸς αὐτόν.

Ὅλως δὲ εἴ που ἡ κατ' αὐτοὺς δοκοῦσα ἐναλλαγὴ τοῦ προσώπου εὑρίσκεται, κατὰ τοῦτον οὖσα φαίνεται τὸν τρόπον· τοῦ Προφήτου, ἐν τῷ ἐξηγεῖσθαι τὰ περὶ ἑτέρων, παρεμβάλλοντος ἐκ τῆς τῶν λεγομένων ἀκολουθίας τὰ περὶ αὐτῶν ἐκείνων, περὶ ὧνπερ λέγει, ὡς ἐκ τοῦ Θεοῦ εἰρημένα, ἀκόλουθα ὄντα καὶ τοῖς λοιποῖς πᾶσι τοῖς περὶ ἐκείνων λεγομένοις περὶ ὧν ποιεῖται τοῦ ψαλμοῦ τὴν ὑπόθεσιν, — καὶ τοῦτο δὲ ποιοῦντος, ὥστε τι πραχθὲν ἢ γενησόμενον εἰπεῖν, διὰ τὸ ἀπὸ τοῦ οἰκείου ἰδιώματος συνεχῶς ἀπὸ τοῦ πράγματος φωνὴν ἀνατυποῦν, ἣν τῷ ποιοῦντι περιτίθησιν. Καὶ τοῦτο μὲν ὡς πρὸς Ἰουδαίους μάλιστα ἡμῖν ὠφελίμως ἐπιτετήρηται. **282** Πρὸς δὲ τοὺς Χριστιανούς, εἰ καὶ τοῦτο γίνεσθαι ἐγχωρεῖ, αὐτάρκες ἦν ἐνταῦθα δεῖξαι μηδεμίαν ἐναλλαγὴν γεγενῆσθαι τῷ πολλαχοῦ τὴν τοῦ βασιλέως προσηγορίαν ἐν τῷ ψαλμῷ κειμένην εὑρίσκειν. Ὃν γὰρ ἂν διόλου γνωρίσωμεν βασιλέα, δῆλον ὅτι τὸν αὐτὸν καὶ ἐνταῦθα νοήσομεν, ἢ παραφθεροῦμεν ὅλην τοῦ ψαλμοῦ τὴν διάνοιαν νῦν μὲν οὕτως νῦν δὲ ἑτέρως νοοῦντες· ἔσται δὲ εἴπερ βασιλέα ἐνταῦθα ἑαυτὸν καλεῖ, κατὰ τοὺς

1. Ψαλ. 74,4. **2.** Ἐνθ' ἀν. **3.** Ψαλ. 44,2.

οὕτως ἑρμηνεύοντας, ἐν παντὶ τῷ ψαλμῷ περὶ βασιλέως ἑαυτοῦ λέγων, καὶ οὐκέτι τοῦ Δεσπότου Χριστοῦ, ᾧ δὴ καὶ μόνῳ τὸ ἑξῆς ἁρμόττειν δύναται. Ἓν τοίνυν πρόσωπόν ἐστι διόλου· ἐπειδὴ οὖν εἶπεν ὅτι «λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ»[1], — οὐκ ἦν δὲ ἐκεῖνος ἱκανὸς τὰ τοῦ βασιλέως ὑπαγορεύειν, — ἐπάγει·

«Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου»

Ὁ γὰρ κάλαμος δεῖται μέλανος, δεῖται δὲ καὶ τοῦ γραφέως ὡς καὶ τὸ μέλαν αὐτῷ ἐπιβάλλειν καὶ κινεῖν πρὸς τὸ ἐκτυπῶσαι τὰ γράμματα. Τὴν μὲν οὖν γλῶσσαν ἔθηκεν ἐν τάξει καλάμου· γραμματέα δὲ καλεῖ τὸ Πνεῦμα τὸ Ἅγιον, ἵν' ἐν χώρᾳ μέλανος ᾖ τὰ ἐντυπούμενα ὑπὸ τοῦ Πνεύματος. Τὸ γὰρ Πνεῦμα, ὥς τις γραφεὺς ἄριστος, — τοῦτο γὰρ λέγει γραμματέα, — δίκην μέλανος πληρῶσαν τὴν καρδίαν τῶν τῆς ἀποκαλύψεως νοημάτων, ἐκεῖθεν παρέχει τῇ γλώσσῃ λοιπὸν τὸ φθέγγεσθαί τε καὶ ὥσπερ γράμματα διατυποῦν τοῖς λόγοις καὶ διαρθροῦν τοῖς βουλομένοις δέχεσθαι τὴν ἐξ αὐτῶν ὠφέλειαν. Τοῦτο οὖν βούλεται εἰπεῖν ὅτι οὐκ οἰκεία ἡ γλῶττα φθέγγεται νοήματα, ἀλλὰ τῆς ἀποκαλύψεως τοῦ Πνεύματος· διόπερ ἀξιόπιστος ἡμῖν τὰ τοῦ βασιλέως ἐξηγούμενος.

Εἰπὼν δέ «γραμματέως ὀξυγράφου»[2], ἔδειξε καὶ τὸ δυνατὸν τῆς τοῦ Πνεύματος ἐνεργείας καὶ τὸ εὔθετον τῆς οἰκείας γλώττης. Καὶ γὰρ ὀξυγράφος γραμματεὺς τοιοῦτος ἀπὸ τῆς ἐπιστήμης καθέστηκε τῆς οἰκείας, καὶ ὁ «κάλαμος» τοῦ τοιούτου ἐξ ἀνάγκης τοιοῦτός ἐστιν ὥστε δύνασθαι ἀναλέγειν τῇ τέχνῃ τοῦ γραφέως. Ἦν δὲ τῆς γλώττης τοῦ Προφήτου τὸ εὔθετον οὐκ ἀπὸ τῆς οἰκείας στροφῆς, ἀλλ' ἀπὸ τῆς εὐθύτητος τῆς διανοίας. Ταῦτα προοιμιασάμενος καὶ ἐκπλαγεὶς μὲν πρότερον τὸ μέγεθος τῶν λέγεσθαι μελλόντων, ποιησάμενος δὲ συντόμως τοῦ μεγέθους αὐτῶν τὴν ἀπόδειξιν καὶ τὴν πρὸς τοὺς λοιποὺς τῶν Ψαλμῶν διαφορὰν τῷ εἰπεῖν ὅτι περὶ αὐτοῦ τοῦ βασιλέως φθέγγεσθαι μέλλει, τότε ἀξιόπιστον ἑαυτῷ κατασκευάσας τοῦ δύνασθαι φθέγγεσθαι περὶ τῶν τοιούτων ἀπὸ τοῦ μὴ τὰ ἴδια **283** φθέγγεσθαι, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ δωρεᾶς, ἄρχεται λοιπὸν αὐτῶν τῶν λόγων καί φησιν·

---

1. Ψαλ. 44,2. 2. Ἔνθ. ἀν.

3 «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων»

Κάλλος οὐ πάντως τὸ ἀπὸ τῆς τοῦ σώματος λέγει κατασκευῆς ἢ ἀπὸ τῆς κατὰ τὴν μορφὴν εὐπρεπείας, ἀλλὰ κάλλος οἶδε λέγειν τὸ ἐπίδοξον, ὡς ἐν ἑτέρῳ ψαλμῷ περὶ τοῦ Ἐζεκία λέγων «Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν»[1], κάλλος αὐτοῦ καλῶν τὴν βασιλείαν ἀφ' ἧς ἐπίδοξος νενόμιστο. Ἐπειδὴ γὰρ ὅλως τὸ κάλλος περίδοξον ἐργάζεται, εἰκότως πᾶν ἀφ' οὗ τις περίβλεπτος καθίσταται κάλλος καλεῖ· οὕτως οὖν κἀνταῦθα τοῦτο βούλεται εἰπεῖν ὅτι θαυμαστὸς εἶ καὶ σφόδρα ἐπίδοξος παρὰ πάντας τοὺς ἀνθρώπους, — καὶ γὰρ ἐθαυμάζετο παρὰ πάντων διά τε τὸ πλῆθος τῶν σημείων καὶ τῶν ἐπιτελουμένων. Ὅταν δὲ λέγῃ ὁ Προφήτης περὶ αὐτοῦ ὅτι «καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος»[2], οὐκ ἐναντιοῦται τῷ λεγομένῳ· περὶ γὰρ τοῦ πάθους ἐκεῖ προφητεύων, εἰκότως φησὶ μὴ ἔχειν «εἶδος μηδὲ κάλλος». Ὥσπερ γὰρ ἀπὸ τῶν γινομένων ἐπίδοξος ἦν, οὕτως πάλιν ἐκ τοῦ πάθους ἄτιμος ἐνομίσθη παρὰ τοῖς πᾶσι πρὸ τῆς Ἀναστάσεως, ὅπου γε καὶ τῶν μαθητῶν ἐστιν ἰδεῖν τὸν μὲν ἀρνησάμενον, τοὺς δὲ φεύγοντας, καθὼς καὶ ὁ Κύριός φησι πρὸς αὐτοὺς ὅτι πάντες σκανδαλισθήσονται ἐν ἐμοί[3].

«Ἐξεχύθη χάρις ἐν χείλεσίν σου»

Θαυμαστὸς δὲ οὕτως εἶ παρὰ πᾶσιν, ἐπειδὴ χαριτός σου πεπλήρωται τὰ χείλη[4] καὶ φθεγγόμενος πάντας ἐφέλκῃ πρὸς σεαυτόν, πάντων θαυμαζόντων τὰ λεγόμενα. Οὕτω γὰρ καὶ ὁ Εὐαγγελιστὴς ἐπισημαίνεται ὅτι ποτὲ μὲν ἔλεγον ὅτι «πόθεν αὐτῷ ἡ σοφία αὕτη»[5] καί «πόθεν οὗτος οἶδε γράμματα μὴ μεμαθηκώς»[6], ποτὲ δὲ ἀποσταλέντες ὑπηρέται ὑπὸ τῶν Φαρισαίων ὥστε αὐτὸν συλλαβεῖν, ἐκπληττόμενοι ὑπέστρεψαν ὅτι «οὐδέποτε οὕτως ἐλάλησεν ἄνθρωπος»[7].

«Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα»

284 Τουτέστιν εὐλογεῖσθαί σε ἐποίησε, διὰ τοῦτο ὑμνεῖσθαί σε

---

1. Ψαλ. 29,8. **2.** Ἡσ. 53,2. **3.** Πρβλ. Ματθ. 24,10. **4.** Πρβλ. Ψαλ. 44,3. **5.** Ματθ. 13,54. **6.** Ἰω. 7,15. **7.** Ἰω. 7,46.

παρὰ πάντων παρεσκεύασεν, ἁπάντων θαυμαζόντων τῶν λεγομένων τὸ μέγεθος.

4 «Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ»

Ἐξηγησάμενος αὐτὸ τὸ θαῦμα τὸ παρὰ πᾶσι, τρέπει λοιπὸν πρὸς αὐτὸν τὸν λόγον καί, φησίν, ὁπλίσθητι καὶ περίθου τῷ μηρῷ τὴν μάχαιραν, ἐκ μεταφορᾶς τῶν πολεμιστῶν τῶν τὰς μαχαίρας ἐχόντων ἐπὶ τὸν μηρόν. Διαγράφει μέντοι τοὺς λόγους, ὡς ἐπὶ εἰκόνος τὰ περὶ αὐτοῦ· οὕτω τε ποιεῖται τὸν πλείονα λόγον περὶ τῶν κατ' αὐτόν.

«Τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου»

Ἀντὶ τοῦ σὺν τῇ ὡραιότητί σου καὶ σὺν τῷ κάλλει σου. Ἐπειδὴ γὰρ εἶπεν ἄνω «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων»[1], ἐνταῦθα ἐπήγαγε τό «Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου»[2]· τουτέστι μετὰ δὲ τὸ θαυμάζεσθαι ἐπὶ τοῖς λόγοις παρὰ τῶν πιστῶν, ὁπλίσθητι καὶ κατὰ τῶν ἐναντίων ὥστε αὐτοὺς τιμωρήσασθαι.

5 «Καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε»

Τό «ἔντεινον» ὡς ἐπὶ τοῦ τόξου· ἐκείνων γὰρ ἴδιον τὸ τείνειν τὰς νευράς. Τόξευε τοίνυν, φησίν, ὑπ' οὐδενὸς ἐναντίου κωλυόμενος, καὶ μεταχείρισαι τὴν βασιλείαν. Διὰ τί; Ὥστε τί κατορθῶσαι;

«Ἕνεκεν ἀληθείας καὶ πραΰτητος καὶ δικαιοσύνης»

Διὰ ταῦτα, φησί, χρῆσαι σου τῇ ἰσχύϊ, διὰ ταῦτα ἐπίδειξαί σου τὸ μέγεθος, διὰ ταῦτα κράτησον πάντων καὶ βασίλευε, ὥστε ταῦτα ἐνσπεῖραι τῷ γένει τῶν ἀνθρώπων, ἀλήθειαν καὶ πραότητα καὶ δικαιοσύνην[3]. Ἀλήθειαν μὲν γὰρ ἐδίδασκε διὰ τῶν οἰκείων διδαγμάτων, τὴν ἀληθινὴν τοῦ Θεοῦ προσκύνησιν παιδεύων τοὺς ἀνθρώπους, καθὼς αὐτός, φησίν, «ἔρχεται ὥρα καὶ νῦν ἐστιν, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσουσιν,

---

1. Ψαλ. 44,3. **2.** Ψαλ. 44,4. **3.** Πρβλ. Ψαλ. 44,5.

ἀλλ' οἱ ἀληθινοὶ προσκυνηταὶ προσκυνήσουσι τῷ Πατρὶ ἐν πνεύματι καὶ ἀληθείᾳ»[1], πραότητα, λέγων «μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ»[2]· **285** δικαιοσύνην δὲ καθὸ πᾶσαν ἀρετὴν ἐκπαιδεύων, μάλιστα τῆς δικαιοσύνης ἐπιμελεῖσθαι ἐδίδασκε, — δικαιοσύνη γὰρ ἅπασα πρᾶξις ἐνάρετος καλεῖται, ὅθεν καὶ δικαίους τοὺς τοιούτους ἐν τῇ συνηθείᾳ καλεῖν εἰώθαμεν. Δῆλον τοίνυν ἐντεῦθεν ὅτι μὴ περὶ ἀνθρώπου λέγει βασιλέως. Οὐδεὶς γὰρ ἀνθρώπων πολλῇ κεχρημένος σπουδῇ πρὸς τὸ τὴν βασιλείαν ἑαυτῷ κατορθῶσαι ὅπλον μεταχειρίζεται καὶ ὅσα τοιαῦτα ὥστε πραότητα διδάξαι τοὺς οἰκείους, τοὐναντίον δὲ ὥστε κρατῆσαι καὶ ἀνελεῖν τοὺς ἐναντίους ἐσπούδακε καὶ παντὶ τρόπῳ τοὺς οἰκείους φοβεροὺς τοῖς πολεμίοις καταστῆσαι. Ὥστε ληροῦσι μὲν ἄντικρυς Ἰουδαῖοι.

Δύναται δὲ ταῦτα λέγεσθαι προφανῶς ἐπὶ τοῦ Χριστοῦ, ὡς τιμωρησάμενος μὲν τοὺς ἐναντίους, ὑπηκόους δὲ αὐτῷ τοὺς πιστοὺς καταστήσας καὶ διὰ πολλῶν καταστήσας τὴν εἰς αὐτοὺς βασιλείαν· οὐδενὸς ἕνεκεν αὐτοὺς ἑτέρου προσηγάγετο ἢ ὥστε ταῦτα παιδεῦσαι, ὅθεν ὁ Κύριός φησι πρὸς τοὺς ἑαυτοῦ μαθητάς «ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων»[3], δεικνὺς ὅτι οὐχ ὥστε διαθεῖναί τι φαῦλον τοὺς ἐχθροὺς ἀποστέλλονται, ἀλλ' ὥστε μετὰ πάσης ἐπιεικείας ἐν τῷ πάσχειν αὐτοὺς τὴν κατὰ τῶν ἐχθρῶν νίκην τοῦ Εὐαγγελίου διὰ τῆς τοῦ Πνεύματος ἄρασθαι χάριτος.

«Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου»

Τῇ οἰκείᾳ ἐχρήσατο ἀκολουθίᾳ. Ἐπειδὴ γὰρ ὡς ἐπὶ πολεμιστοῦ εἶπεν ὅτι μεταχείρισαι μάχαιραν «καὶ ἔντεινον» τόξον καὶ τὰ τοιαῦτα, — ἀνάγκη δὲ τὸν τοιοῦτον ἀναιροῦντα τῇ δεξιᾷ τοὺς προστυγχάνοντας τῶν πολεμίων ἀκωλύτως ἐπιδιώκειν τοὺς ἐχθρούς, τὴν ἐπὶ τὰ πρόσω πρόοδον ἐπέχοντα, καὶ τὸ ἀκώλυτον αὐτῷ γίνεται ἀπὸ τῆς οἰκείας δεξιᾶς, — διὸ τοῦτο εἶπε «καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου»[4], τουτέστι παρέξει σοι τὴν ὁδηγίαν ἡ σὴ δεξιά, ἵνα εἴπῃ ὅτι οὐ δεηθήσῃ τῆς ἑτέρου βοηθείας, ἀλλὰ

---

1. Ἰω. 4,23. **2.** Ματθ. 11,29. **3.** Ματθ. 10,16. Λουκ. 10,3. **4.** Ψαλ. 44,5.

τῇ ἰσχύϊ τῇ οἰκείᾳ πάντας τροπώσῃ τοὺς ἐναντίους, καὶ τῇ οἰκείᾳ δυνάμει ὁδηγῷ χρήσῃ πρὸς τὴν τῶν σπουδαζομένων κατόρθωσιν, πάντων μὲν περιγενόμενος καὶ πάντων κρατῶν, οὐδενὸς δὲ ἐμποδὼν ἱσταμένου σου τοῖς βουλεύμασι. Πῶς οὖν «ὁδηγήσει»; Πολλοὶ γὰρ καὶ μάλιστα τῶν Ἰουδαίων διετέλεσαν ἐχθραίνοντες, οἳ καὶ πλεῖστα μὲν αὐτὸν διατεθεικότες κακὰ ὕστερον καὶ Σταυρῷ παρέδοσαν, πλεῖστα δὲ καὶ πολλῷ χείρονα περὶ τοὺς μαθητὰς ἐπεδείξαντο.

6 «Τὰ βέλη σου ἠκονημένα, δυνατέ, — λαοὶ ὑποκάτω σου πεσοῦνται — ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως»

Ἐπειδὴ εἶπεν ἄνω «ἔντεινον» — τοῦτο δὲ **286** ἦν τοξότου, — ἐπάγει ἀκολούθως ὅτι ἔσται ἐν ταῖς καρδίαις τῶν ἐχθρῶν σου «ἠκονημένα τὰ βέλη»[1], τὸ βαρὺ τῆς ἐπαχθησομένης αὐτοῖς τιμωρίας παρὰ τοῦ Θεοῦ σημᾶναι βουληθεὶς διὰ τούτου· ἐπώδυνον γὰρ πολεμοῦντι τὸ κατὰ καρδίας δέξασθαι βέλος ἠκονημένον. Καλῶς δὲ ἐπὶ τῶν ἐχθρῶν εἶπε τό «ἐν καρδίᾳ», ἐπειδὴ οἱ ἀνθιστάμενοι ἐν τοῖς πολέμοις ἐπὶ τοῦ ἐμπροσθίου μέρους δέχονται τὰς φορὰς τῶν βελῶν. Τὸ δέ «λαοί ὑποκάτω σου πεσοῦνται»[2], διὰ μέσου τέθεικε διὰ τὸ μέτρον, ὃ καὶ ἀλλαχοῦ ἡμῖν ἐπισεσήμανται. Ἐβουλήθη δὲ εἰπεῖν ὅτι μηδὲν αὐτὸν λυπήσοιεν τῶν ἐχθρῶν αἱ ἀντιστάσεις καὶ αἱ ἐπιβουλαί, — ἀναιρεθήσονται μὲν γὰρ ἐκεῖνοι, πολλοὶ δὲ ὑποταγήσονται, καὶ γνωρίσαντες βασιλέα τὴν δεσποτείαν ὁμολογήσουσι. Διόλου δέ, ὡς ἐπὶ Γραφῆς εἰκόνος, τοὺς μὲν ἔδειξεν ἀνῃρημένους τῷ λόγῳ, τοὺς δὲ ὑποκύπτοντας καὶ τὴν βασιλείαν ὁμολογοῦντας. Ἠκολούθησε μέντοι ἑαυτῷ· ὡς γὰρ πρὸς τό «ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου»[3] ταῦτα ἐπισυνῆψε, τοῦτο λέγων ὅτι πάντα οὕτως αὐτῷ διὰ τῆς οἰκείας κατορθώσει δυνάμεως καὶ διὰ τῆς ἑαυτοῦ δεξιᾶς, τοὺς μὲν ἐχθροὺς βάλλων τοῖς βέλεσι, τοὺς δὲ λοιποὺς καταπλήττων καὶ μετὰ πολλοῦ τοῦ δέους ὑποτάττων ἑαυτῷ.

Ἐπειδὴ τοίνυν πρότερον μὲν εἶπε «βασίλευε», ὕστερον δὲ ἐμνημόνευσεν ἐχθρῶν ἀνῃρημένων καὶ τῶν λοιπῶν ὑποτεταγμέ-

---

1. Ψαλ. 44,6. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 44,5.

νων, ἵνα μή τις οἰηθῇ πρόσφατον αὐτῷ γεγενῆσθαι τὴν βασιλείαν ἢ καὶ δύνασθαι πάλιν αὐτῆς ἀποπεσεῖν, ἐπάγει·

7 «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»

Τουτέστι καὶ εἰκότως ἀναιρεθήσονται μὲν οἱ ἐχθροί, οἱ δὲ λοιποὶ πάντες ὑποταγήσονται, ἐπείπερ οὐκ ἐπείσακτον ἔχεις **287** τὴν βασιλείαν, ἀλλ' ἐξ ἀϊδίου πάντων βασιλεύεις, καὶ εἰς ἀεὶ βασιλεύσεις, καὶ ἡ βασιλεία σου μένει διηνεκής.

Μυθεύουσι δῆτα Ἰουδαῖοι τολμῶντες ταῦτα νομίζειν εἰρῆσθαι περὶ ἀνθρώπου. Τίνι γὰρ ἀνθρώπων ἁρμόσει τοῦτο κατόρθωμα ἢ τῶν λεγομένων τὸ μέγεθος;

Τίνι δὲ καὶ ἁρμόσει τό «ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου»; τῆς θείας Γραφῆς οὕτως ἀεὶ περὶ πάντων λεγούσης τῶν δικαίων ὡς τῇ τοῦ Θεοῦ βοηθείᾳ τὴν ἰσχὺν κεκτημένων. Δῆλον γὰρ ἐνταῦθα κἀκεῖνο, ὅτι οὐ περὶ ἀσεβοῦς ποιεῖται τὸν λόγον καὶ τῇ οἰκείᾳ πεποιθότος ἰσχύϊ. Πρὸς τίνα δὲ ἂν καὶ λέγων τῶν ἀνθρώπων ἐπήγαγεν «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[1];

Εἰ δὲ περὶ βασιλέως λέγει τοῦ Θεοῦ, δῆλον ὅτι καὶ περὶ βασιλίδος οὐ γυναικός, ἀλλὰ τῆς Ἐκκλησίας, ἣν ὁ Χριστὸς αὐτῷ διὰ τῆς πίστεως ἡρμόσατο ἐπὶ τῇ κατὰ τὴν διάθεσιν τῆς ψυχῆς συναφείᾳ. Καὶ γὰρ καὶ ἔθος τῇ θείᾳ Γραφῇ τῶν οἰκειωμένων ἀεὶ τῷ Θεῷ διὰ τῆς γνώσεως τὴν συναγωγὴν γυναῖκα αὐτοῦ καλεῖν, ὥστε δεῖξαι τὴν ἄκραν πρὸς τὸν Θεὸν οἰκείωσίν τε καὶ ἕνωσιν, ὡς ἐν τῷ Ἰεζεκιήλ, φησίν, ὁ Θεός «δύο γυναῖκές εἰσι θυγατέρες μητρὸς μιᾶς»[2], τοὺς Ἰσραηλίτας καλῶν. Καὶ δύο μὲν εἰρηκὼς διὰ τὸ διῃρῆσθαι τάς τε δέκα φυλὰς καὶ τὰς δύο, ἑκατέρων εἰς ἰδίαν συντελούντων βασιλείαν, «μιᾶς δὲ μητρός»[3] ἐπειδὴ εἰς μίαν πρότερον συντελοῦντες διῃρέθησαν, εἶτα μετ' ὀλίγον «Καὶ ἐγένετό μοι καὶ ἔτεκον υἱοὺς καὶ θυγατέρας»[4], — τὴν ἐπίδοσιν αὐτῶν λέγων, — εἶτα τίνες **288** αὗται· καὶ τὰ ὀνόματα αὐτῶν, φησί, Σαμάρεια ἡ Ὀλλὰ καὶ Ἱερουσαλὴμ ἡ Ὀλλιδά. Καὶ ἐν τοῖς Εὐαγγελίοις δὲ νυμφίος καλεῖται ὁ Χριστὸς καὶ νύμφη ἡ Ἐκκλησία, καθὼς Ἰω-

---

1. Ψαλ. 44,7. **2.** Ἰεζ. 23,2. **3.** Ἔνθ' ἀν. **4.** Ἰεζ. 23,4.

άννης ὁ Βαπτιστής, φησίν, «Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν»[1]. Ἐπειδὴ τοίνυν ἀεὶ τοῦ Θεοῦ γυνὴ λέγεται ἡ οἰκειωμένη αὐτῷ συναγωγὴ κατὰ τὴν γνῶσιν, βασιλέα ἐκάλεσε τὸν Χριστὸν εἰκότως. Ἀνάγκη δὲ τὴν τοῦ βασιλέως γυναῖκα βασίλισσαν εἶναι, οὐχ ἑτέρου προχειρισμοῦ γινομένου ἀπ᾽ ἐκείνης, ἀλλὰ κοινωνούσης τῷ ἀνδρὶ τῆς ἀξίας· εἰκότως βασίλισσαν καλεῖ τὴν Ἐκκλησίαν, δεικνὺς ὅσης ἔτυχεν ἀξίας ἀπὸ τῆς πρὸς τὸν Χριστὸν ἑνώσεως, ἥτις αὐτῇ προσγέγονε διὰ τῆς πίστεως. Ὅτι γὰρ οὔτε περὶ τοῦ Θεοῦ καὶ Πατρὸς λέγεσθαι τοῦτο δύναται, τὰ ἑξῆς σαφῶς παρίστησιν.

«Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου»

Ἐπειδὴ κατεῖχον τὰ σκῆπτρα οἱ βασιλεῖς τὸ παλαιὸν ὥσπερ σύμβολον τῆς ἐξουσίας, τοῦτο λέγει ὅτι τὴν ἀρχήν «τῆς βασιλείας σου» μετὰ πολλῆς διέπεις τῆς εὐθύτητος. Ἐνταῦθα Ἰουδαῖοι μάλιστα κακουργότατα ὑποκλέπτουσι τοῦ ψαλμοῦ τὴν διάνοιαν, ἐναλλαγὴν φάσκοντες προσώπου γεγενῆσθαι καὶ τὸν Θεὸν ἀντιστρέψαντα λέγειν πρὸς τὸν Δαβίδ «ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου», ἵνα τό «διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου»[2] ἔχῃ χώραν ἐπὶ τοῦ Δαβὶδ λεγόμενον. Ἀλλὰ τούτων μὲν τί ἄν τις εὐηθέστερον εἴποι, εἰ μέλλοι τις ἐξηγεῖσθαι τὸν Προφήτην καὶ τὸν Θεὸν κατ᾽ ἀντίδοσιν εἰς ἀλλήλους ποιεῖσθαι τὰ ἐγκώμια; Ἀρκούντως δὲ περὶ τῆς τοιαύτης τῶν προσώπων ἐναλλαγῆς ὡς ἀδυνάτου ἐν ἀρχῇ τοῦ ψαλμοῦ εἰρηκότες, πάντῃ καταλείπωμεν ἐκείνων μὲν τό τε μανικὸν καὶ εὔηθες, ἡμεῖς δὲ τῇ ἀκολουθίᾳ προσέχωμεν τῶν λεγομένων.

289 Ὁ γὰρ θρόνου μνημονεύσας ἀκολούθως ἐπήγαγε «ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου». Ἐπὶ γὰρ τοῦ βασιλεύειν καὶ δικάζειν κέχρηται τῇ τοῦ θρόνου φωνῇ, ὡς ὅταν ἀλλαχοῦ λέγῃ «ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην»[3], ᾧ σύμφωνόν ἐστι καὶ ἀκόλουθον τὸ ἐνταῦθα εἰρημένον· θρόνου γὰρ μνημονεύσας, ὅπερ ἐστὶ τὸ δικαστικὸν ἀξίωμα, εὐθὺς καί «ῥάβδον εὐθύτητος» ἐπήγαγεν, ὅπερ σημαίνει τὸ ἐν ταῖς ἐξετάσεσιν ἀκριβὲς καὶ δίκαιον. Ἀνθρώπῳ δὲ οὐχ ἁρμόττουσα ἡ τοιαύτη φωνή, — οὐδαμοῦ

---

1. Ἰω. 3,29. **2.** Ψαλ. 44,8. **3.** Ψαλ. 9,4.

γοῦν τι τοιοῦτον εἰρημένον ἐπὶ ἀνθρώπου, — φαίνεται, ἁρμόττουσα δὲ τῷ Θεῷ, περὶ οὗ καὶ ἑτέρωθι, φησίν, «καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, κρινεῖ λαοὺς ἐν εὐθύτητι»[1] καὶ ἀλλαχοῦ «Χρηστὸς καὶ εὐθὴς ὁ Κύριος»[2] καί «Ὅτι εὐθὴς ὁ λόγος τοῦ Κυρίου»[3], ὅλως δὲ ἀρχὴ εὐθύτητος ἀνθρώπου οὐδαμοῦ λέγεται, ἐπειδὴ τούτῳ μόνῳ πρέπει τῷ Θεῷ τῷ μετὰ τῆς προσηκούσης ἀκριβείας καὶ ἀληθείας διέποντι τὴν οἰκείαν βασιλείαν τε καὶ ἀρχήν. Εἶτα ἀκολούθως ἐπάγει·

8 «Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν»

Οὕτω γὰρ εὐθὴς ἡ βασιλεία εὑρίσκεται τῇ τε περὶ τὸ καλὸν ἀγάπῃ καὶ τῷ μίσει τῶν περὶ τὸ ἐναντίον, ἐπαίνου μὲν ἀξιουμένων παρὰ τοῦ Κριτοῦ τῶν τὸ δέον διαπραττομένων, κόλασιν δὲ ὑπομενόντων ἐξ ἀνάγκης τῶν τοῦ ψεύδους ἐργατῶν.

«Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου»

Ὅτι μὲν οὖν ἐφ' ἑνὸς ταῦτα λέγει πρόδηλον. Ἀλλὰ καὶ ὅτι μὴ δυνατὸν ἁρμόττειν ἐπὶ τοῦ Θεοῦ καὶ Πατρὸς τό «διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου»[4], φανερὸν ὑπόλοιπον ἄρα περὶ τοῦ Χριστοῦ ταῦτα λέγεσθαι, ἐφ' οὗ θαυμαστῶς ἡμῖν καὶ τὰς φύσεις διεῖλε καὶ τοῦ προσώπου τὴν ἕνωσιν ὑπέδειξε. Καὶ τὰς μὲν φύσεις διεῖλε τῷ διαφόρῳ τῶν νοημάτων ἐμφαντικὰς ἀφεῖναι φωνάς, — πολλὴ γὰρ διαφορὰ πρὸς τό «Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»[5] τό «διὰ τοῦτο ἔχρισέ ὁ Θεὸς **290** ὁ Θεός σου»[6], — τὴν δὲ ἕνωσιν ὑπέδειξε τῷ περὶ ἑνὸς προσώπου ταῦτα εἰπεῖν.

Εἶτα εἰπών «ὅτι ἔχρισέ σε», ἐπάγει·

«Ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου»

Ἐλαίου γὰρ ἐμνημόνευσεν ἀκολούθως τῷ «ἔχρισεν», ἐπειδήπερ οὕτως ἐχρίοντο τὸ παλαιόν· ὅτι δὲ ἔλαιον οὐ τοῦτο λέγει, παρεσήμανεν εἰπών «παρὰ τοὺς μετόχους σου»[7], ὅτι οἱ μὲν ἐν νόμῳ χριστοὶ ἐχρίοντο ἐλαίῳ, αὐτὸς δέ «Πνεύματι Ἁγίῳ»[8]. Καλῶς οὖν

---

1. Ψαλ. 9,9. **2.** Ψαλ. 24,8. **3.** Ψαλ. 32,4. **4.** Ψαλ. 44,8. **5.** Ψαλ. 44,7. **6.** Ψαλ. 44,8. **7.** Ἔνθ' ἀν. **8.** Πράξ. 10,38.

«παρὰ τοὺς μετόχου σου» — πολλὴ γὰρ ἡ διαφορὰ τοῦ χρίσματος. Δῆλον δὲ κἀκεῖθεν ὅτι περὶ τοῦ Χριστοῦ τοῦτό φησιν, ἐπείπερ οὐδεὶς τῶν ἐν νόμῳ ἔλαιον ἕτερον ἐχρίσθη «παρὰ τοὺς μετόχους»· ἓν γὰρ ἦν τὸ ἔλαιον ὅπερ ἐχρίοντο οἱ ἐφ' οἵᾳ δήποτε προφάσει ἐν τῷ νόμῳ χριόμενοι.

9 «Σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου»

Ἱμάτιον αὐτοῦ καλῶς ἐκάλεσε τὸ σῶμα, ὅπερ ἔξωθεν ἦν περικείμενον, ἔνδον οὔσης τῆς θεότητος κατὰ τὸν τῆς ἐνοικήσεως λόγον. Οὕτω γὰρ ὁ Ἀπόστολος καταπέτασμα αὐτὸ καλεῖ λέγων «Ἔχοντες οὖν, ἀδελφοί, παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν διὰ τοῦ καταπετάσματος, τουτέστιν τῆς σαρκὸς αὐτοῦ»[1]. Ἐπειδὴ οὖν τῇ σμύρνῃ ἐπὶ τῶν τεθνηκότων κεχρῆσθαι εἰώθασι, βουλόμενος καὶ τὸ πάθος παρασημᾶναι καὶ τοῦ πάθους τὴν δόξαν, «σμύρναν», φησί, «καὶ στακτὴν καὶ κασίαν ἀπὸ τῶν ἱματίων σου»[2], — διὰ μὲν τῆς σμύρνης ὑποδείξας τὸ πάθος, διὰ δὲ τοῦ εἰπεῖν «στακτὴν καὶ κασίαν» τοῦ πάθους τὸ εὐῶδες καὶ ἐπίδοξον παρασημαίνων, ἵνα εἴπῃ ὅτι καὶ αὐτὸ τὸ πάθος τὸ περὶ τὸν ναόν σου μετὰ πολλῆς εὐωδίας ἔσται καὶ δόξης, ὥστε τὴν ἐξ αὐτοῦ εὐωδίαν εἰς πᾶσαν διαδοθῆναι τὴν οἰκουμένην, καθὼς καὶ ὁ Ἀπόστολός φησι, «ὅτι Χριστοῦ εὐωδία
291 ἐσμὲν ἐν τοῖς σῳζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις»[3]. Καλῶς δὲ εἰπὼν «σμύρναν» ἐπισυνῆψε τό «ἀπὸ τῶν ἱματίων σου», ἵνα ἐλευθέραν τοῦ πάθους νοῶμεν τὴν θεότητα. Πόθεν δὲ τοῦτο, ὅτι πολλὴ ἔσται δόξα περὶ τὸ πάθος, καὶ οὐ τὸ ἐναντίον;

«Ἀπὸ βαρέων ἐλεφαντίνων, ἐξ ὧν ηὔφρανάν σε»

Βαρέων εἰπεῖν βούλεται τῶν οἴκων· μετὰ γὰρ ταῦτα, φησίν, οἴκους ἐλεφαντίνους εἰς ἀρέσκειαν, καὶ εἰς εὐφροσύνην, καὶ εἰς τιμὴν σὴν κατασκευάσουσι πάντες οἱ ἐπίδοξοι. Ἐλεφαντίνους δὲ εἶπεν, οὐχ ὅτι πάντας ἀπὸ ἐλέφαντος πάντως εἶχον κατασκευάσαι, ἀλλ' ἐπειδὴ τιμία ἡ τοῦ ἐλέφαντος ὕλη τὸ ἐπίδοξον καὶ κεκαλλωπισμένον τῶν οἴκων ἐντεῦθεν ἐβουλήθη παρασημᾶναι.

---

1. Ἑβρ. 10,19-20. **2.** Ψαλ. 44,9. **3.** Β' Κορ. 2,15.

10 «Θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου, παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου»

Εἰ περὶ βασιλίσσης ἐνταῦθα κατὰ Ἰουδαίους, — λεγέσθω γὰρ συνεχῶς τὸ μυθικὸν εἰς αἰσχύνην τῶν μυθευόντων, — γυναικὸς λέγει τινός, ὡς ἐκεῖνοί φασι τῆς τοῦ Σολομῶντος, καὶ βασιλέα δὲ δηλονότι τὸν Σολομῶντα λέγει, ποίους οἴκους «βασιλέων θυγατέρες» κατεσκευασμέναι τῷ Σολομῶντι φαίνονται; Ἐπὶ γὰρ τοῦ Χριστοῦ πρόδηλον, ὅτι κατὰ πᾶσαν τὴν οἰκουμένην πλεῖστοι καὶ βασιλεῖς καὶ ἄρχοντες, καὶ τούτων γυναῖκές τε καὶ υἱοὶ καὶ θυγατέρες ἔθεντο σπουδὴν ὥστε καὶ κατὰ πόλεις ἐγεῖραι καὶ κατὰ κώμας οἴκους αὐτῷ καλλίστους καὶ διαπρεπεῖς, πολλοὺς μὲν εἰς αὐτοῦ τιμήν, πλείους δὲ καὶ εἰς τιμὴν τῶν μαρτύρων τῶν δι᾽ αὐτὸν πεπονθότων· καὶ ὅλως τὰ κάλλη καὶ τὰ μεγέθη τῶν κυριακῶν ἐστιν ἰδεῖν προφανῶς δι᾽ αὐτῶν τῶν ἔργων κατὰ πάσης τῆς οἰκουμένης.

Οὐκοῦν καὶ περὶ βασιλέως λέγει Χριστοῦ καὶ βασιλίσσης τῆς Ἐκκλησίας, ἣν αὐτὸς ὑπεστήσατο ἀπὸ τῶν ἐθνῶν καὶ ἀπὸ τῶν Ἰουδαίων. Ἐπειδὴ τοίνυν ἐν ταῖς εἰκόσιν ἀεὶ τῶν βασιλέων γυναῖκάς τινας γράφουσι παρεστώσας οἱ ἐπὶ ἀνδρείαν ἢ ἀρετὴν ἤ εἴ τι τοιοῦτον ἐμφαίνοντες ὅτι ἀνδρεία **292** ἡ ἀρετὴ πρόσεστι τῷ βασιλεῖ, καλῶς μνημονεύσας ὡς βασιλέως αὐτοῦ ἐπήγαγε τό «Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου»[1], — «παρέστη» σοί φησιν, ἡ Ἐκκλησία ἐκ τοῦ δεξιοῦ μέρους, τουτέστι συνέσται σοι ἀεί. Καὶ γὰρ σύνεστιν αὐτῷ ἡ Ἐκκλησία ἡνωμένη καὶ τῷ φρονήματι καὶ τῇ χάριτι τῆς ἀναγεννήσεως, ὥσπερ μέλη καὶ σῶμα κεφαλῇ, καθὼς καὶ ὁ Ἀπόστολος νῦν μὲν φησίν· «Ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέρους»[2] νῦν δὲ περὶ τῶν ἀφηνιαζόντων καὶ οὐ κρατούντων «τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα» συναρμολογούμενον «αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ»[3]. Διὸ καλῶς εἶπεν «ἐκ δεξιῶν», ἵνα εἴπῃ ὅτι «παρέστη» σοι πλείστης ἀπολαύουσα τῆς παρά σου τιμῆς, ἀπὸ τοῦ κρείττονος μέρους τὴν τιμὴν ὑπεμφαίνων. Τί γὰρ τῆς συναφείας ταύτης τιμιώτερον;

---

1. Ψαλ. 44,10. **2.** Α' Κορ. 12,27. **3.** Κολ. 11,19.

«Ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη πεποικιλμένη»

Καὶ πολὺν περικειμένη τὸν κόσμον· τιμῆς μὲν οὖν ἠξιώθη τῆς υἱοθεσίας, σῶμά τε κληθεῖσα καὶ γενομένη Χριστοῦ, κόσμον δὲ περιέθετο μέγιστον, τῶν πνευματικῶν χαρισμάτων τὸ κάλλος. Τὰ γὰρ ἐπιτελούμενα θαύματα διὰ τῶν Ἁγίων ὥσπερ τις κόσμος ἦν διάχρυσος καὶ θαυμαστός, ἐπιδόξους ἐργαζόμενα τοὺς πιστεύοντας Χριστῷ καὶ εἰς τὴν Ἐκκλησίαν συντελοῦντας. Σφόδρα μέντοι δι' ὅλων τὴν τῶν πραγμάτων ἀκολουθίαν φυλάξας φαίνεται, πρῶτον τὴν χρῖσιν εἰπών, εἶτα τὸν θάνατον καὶ μετὰ τοῦτον τὴν παρὰ πάντων τιμήν· ἀκολούθως μνημονεύσας τῆς προσλήψεως τῆς Ἐκκλησίας, καὶ τοῦ κόσμου, καὶ τῆς τιμῆς ἧς ἠξίωσε τοὺς πιστεύοντας εἰς αὐτὸν ὁ Χριστός, τρέπει δὴ λοιπὸν τὸν λόγον πρὸς τὴν Ἐκκλησίαν, ἑξῆς παραινῶν ἃ ποιεῖν δεῖ τοὺς πιστούς, — ἀκόλουθον γὰρ ἦν τοὺς πολλοὺς ἀξιωθέντας τῆς τιμῆς ἐπιδείκνυσθαί τι καὶ παρ' ἑαυτῶν εἰς διάθεσιν τοῦ τιμήσαντος οὕτω Δεσπότου, — καί φησιν·

11 «Ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου»

Ἄγε δὴ καὶ σύ, φησίν, ὦ θύγατερ, ὅπως ἂν μὴ ἀγνώμων φανείης περὶ τὸν εὐεργέτην, ἐφάμιλλον δὲ τῇ τιμῇ τοῦ δεδωκότος τὴν οἰκείαν ἐπιδείξασθαι σπεῦσον διάθεσιν· οὕτω γὰρ ἕξεις προσηνῆ τὸν βασιλέα καὶ μειζόνων ἀπολαύσεις τῶν ἀγαθῶν. Τὸ οὖν «ἄκουσον, θύγατερ, καὶ ἴδε καὶ κλῖνον τὸ οὖς σου»[1], τουτέστιν ἀπόβλεπε πρὸς τὸν βασιλέα, τούτῳ ὑπακούειν σπούδαζε, μηδένα ἕτερον περισκόπει, πρὸς τοῦτον ἔστω σοι τεταμένον τὸ ὄμμα τῆς ψυχῆς.

«Καὶ ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου»

293 Καὶ ἀπόστηθι μὲν τῶν πατρῴων ἐθῶν, ἀπόστηθι δὲ καὶ τῆς εἰδωλολατρίας, ἀπόστηθι δὲ καὶ πάντων ἐκείνων καὶ ἁπαξαπλῶς ὅσαπερ ἀδεῶς ἐπετέλεις τὸ πρότερον παρὰ τοῖς πατράσιν οὖσα καὶ τοῖς τῆς ἀσεβείας διδασκάλοις.

1. Ψαλ. 44,11.

12 «Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου»

Αἰσχυνέσθωσαν κἀνταῦθα Ἰουδαῖοι. Ἐπιθυμία μὲν γὰρ κάλλους σωματικοῦ ἀπὸ τῆς ἔξωθεν εὐπρεπείας ἐγγίνεται, λήθη δὲ τῶν οἰκείων ἀπὸ τῆς διανοίας εὑρίσκεται. Ποίαν τοίνυν ἀκολουθίαν ἔχει λήθην συμβουλεύειν ποιεῖσθαι τῶν πατρῴων, ἵν' οὕτως ἐπιθυμήσῃ τοῦ κάλλους αὐτῆς ὁ βασιλεύς; Εἰ γὰρ ὅλως ἐπέραστός ἐστι τῷ κάλλει τοῦ σώματος καὶ ταύτης ἐρασθῆναι ἀνάγκη τὸν Σολομῶντα, οὐχ ἡ λήθη τοῦτο ἐργάζεται τῆς ψυχῆς, ἀλλ' αὐτὴ ἡ εὐμορφία καὶ ἄκοντα πρὸς τὴν διάθεσιν ἑλκύσει τὸν Σολομῶντα. Ὥστε ἁρμόττον ἐπὶ τοῦ Χριστοῦ καὶ τῆς Ἐκκλησίας, ᾗ παραινεῖ τῶν παλαιῶν ἀποστῆναι κακῶν· οὕτω γὰρ πάντων ἀποστᾶσα καὶ παντὸς καθαρεύουσα λογισμοῦ εὐπρεπὴς μὲν ἀπετελεῖτο τῇ τῆς ἀρετῆς κατορθώσει. Ἐράσμιον δὲ αὐτῆς τοῦτο τὸ κάλλος καθίστατο τῷ Χριστῷ προσιεμένῳ μετὰ πολλῆς τῆς διαθέσεως τὴν Ἐκκλησίαν· τοῦτο γὰρ ἐν πᾶσι διαπράττεται. Ἐπὶ δὲ τοῦ Σολομῶντος καὶ τῆς τούτου γυναικὸς οὐδαμῶς ἁρμόττειν δύναται· τοσοῦτον γὰρ ἀπέχει τοῦ τῶν πατρῴων ἐθῶν εἰς λήθην ἢ διάθεσιν ἀγαγεῖν τὸν Σολομῶντα τὴν οἰκείαν γυναῖκα, ὡς οὐκ ἂν δυνάμενον αὐτὴν ἀγαπῆσαι κατὰ τὴν τοῦ Δαβὶδ φωνὴν εἰ μὴ πρότερον ἐκείνων ἐπιλάθοιτο, ὅτι τοὐναντίον ἐκεῖναι μὲν τῶν οἰκείων ἐθῶν οὐκ ἀπέστησαν, τουτονὶ δὲ μετέβαλον τῆς εἰς τὸν Θεὸν εὐσεβείας, ἐπὶ τὰ οἰκεῖα ἔθη μεταγαγοῦσαι καὶ τοῖς νενομισμένοις παρ' αὐταῖς θεοῖς προσκυνεῖν αὐτὸν παρασκευάσασαι.

«Ὅτι αὐτός ἐστιν ὁ Κύριός σου»

Καὶ μὴν οὐκ ἦν τῶν ἰδίων γαμετῶν κύριος ὁ Σολομών, ἐπὶ δὲ τοῦ Κυρίου ἁρμόττον· καὶ γὰρ αὐτός ἐστι καὶ ποιητὴς καὶ Δεσπότης, ᾧ καὶ δικαίως πείθεσθαι παραινεῖ ὡς Δεσπότῃ καὶ ποιητῇ. Καλῶς δὲ ἐπήγαγε τό,

13 «Καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις»

Πείθου γὰρ αὐτῷ, φησίν, ὡς σῷ Δεσπότῃ, μὴ διὰ τὴν νομιζομένην τοῦ πάθους ἀτιμίαν ἔλαττον φροντίσασα. Τί γάρ «καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν **294** δώροις»[1]; Οὕτω γὰρ

1. Ψαλ. 44,13.

αὐτοῦ κατάδηλος ἔσται ἡ κατὰ πάντων δεσποτεία ὡς τὰς ἁπανταχοῦ περιβλέπτους τιμῇ τε καὶ πλούτῳ τὴν προσκύνησιν αὐτῷ μετὰ δώρων ἀναπέμπειν, ὁμολογούσας τὴν δεσποτείαν. Τοῦτο δὲ εἶπεν ἐκ μεταφορᾶς τῶν ἐν ταῖς εἰκόσι γυναικῶν, αἳ γράφονται πολλάκις δῶρα προσφέρουσαι τοῖς βασιλεῦσιν, ὡς τούτῳ τὴν ὑποταγὴν ὑπεμφαίνουσαι. «Θυγατέρας» μέν «Τύρου» τὰς πλουσίας καὶ τὰς ἐπιδόξους εἰπεῖν ἠβουλήθη ἀπὸ τοῦ γνωρίμου τοῖς ἀκούουσιν· ἐπίσημος γὰρ ἦν ἡ πόλις καὶ πολλὴν ἔχουσα τὴν ἐμπορείαν, καὶ τοῖς τότε ἀκούουσι διὰ τὴν ἐγγύτητα γνωρίμη. Καὶ τίς τούτου ἡ ἀπόδειξις; Ὅτι τοσαύτη τις ἡ περὶ αὐτὸν ἔσται τιμή, ὥστε μὴ δεῖν αὐτοῦ καταφρονεῖν διὰ τὴν νῦν προσεῖναι δοκοῦσαν εὐτέλειαν.

«Τὸ πρόσωπόν σου λιτανεύουσιν οἱ πλούσιοι τοῦ λαοῦ τῆς γῆς»

Ὅτι δι' αὐτὸν καὶ τὰ παρ' αὐτοῦ σοι προσεσόμενα καλὰ τὸ ἐπίδοξόν σου καὶ τὸ ἐπιφανές σου καὶ τὸ γνώριμον πάντες οἱ ἐπίδοξοι θαυμάσονται· καὶ γὰρ γνώριμοι πᾶσίν εἰσιν οἱ ἐξ αὐτῆς ἅγιοι Ἀπόστολοί τε καὶ μάρτυρες, ἤδη δὲ καὶ ἐν προστασίαις Ἐκκλησιῶν διαπρεπεῖς γεγονότες, ὡς μεγίστην εἶναι αὐτῶν παρὰ πᾶσι τὴν μνήμην ἄχρι τῆς δεῦρο, μετὰ πολλῆς τῆς σπουδῆς πάντων τιμᾶν αὐτοὺς ἐσπουδακότων καὶ οἰκείαν τὸ πρᾶγμα κρινόντων εὐεργεσίαν. Καὶ θαυμάζομέν γε ἅπαντες τὴν παρασχεθεῖσαν τιμὴν ὑπὸ τοῦ Θεοῦ τῇ Ἐκκλησίᾳ, καὶ ὅσοι γε εὖ φρονοῦσι μακαριστόν τε τὸ συντελεῖν εἰς αὐτὴν τιθέμεθα καὶ πᾶν ὁτιοῦν ὑπὲρ αὐτῆς εὐχόμεθα παθεῖν, καθὼς ὁ Ἀπόστολος, φησίν, «ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν»[1], — ὥστε φησὶν εἰ οὕτω σὺ ἐπίδοξος καὶ οἱ σοί, ἦ πού γε ἐκεῖνος οὐ τούτων ἁπάντων αἴτιος ὑμῖν γεγονώς; Τὴν δὲ Ἐκκλησίαν δηλονότι τοὺς πιστοὺς λέγει· τούτων γὰρ τὸν σύλλογον Ἐκκλησίαν καλεῖ, ὥστε ὅταν τὰ περὶ τὴν Ἐκκλησίαν λέγῃ τὰ κοινῶς περὶ τοὺς Ἁγίους γεγονότα λέγει διὰ τὴν ἐπ' αὐτὸν πίστιν, — καὶ ὅταν τι πρὸς τὴν Ἐκκλησίαν λέγῃ δῆλον ὅτι πρὸς τοὺς πιστοὺς λέγει, παραινῶν ἐκείνοις ἃ πράττειν αὐτοὺς προσήκει.

---

1. Ἐφ. 3,10.

14 «Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν»

Ἐπειδὴ τὸν κόσμον αὐτῆς ἐξηγησάμενος ἀπὸ τοῦ ἱματισμοῦ καί τῶν ἐκτός, τουτέστιν ἀπὸ τῶν **295** πνευματικῶν χαρισμάτων, ὕστερον αὐτῇ παρῄνεσεν ὥστε καὶ αὐτὴν ἀνάλογα τοῖς παρ' αὐτοῦ δοθεῖσιν ἐπιδείκνυσθαι, βλέπουσάν τε πρὸς αὐτὸν καὶ ἐν πᾶσιν ὑπακούουσαν αὐτῷ καὶ μεταθέσθαι μὲν πάντη τῶν παλαιῶν ἐκείνων καὶ πατρῴων ἐθῶν, ὅλην δὲ εἶναι πρὸς αὐτὸν τεταμένην, μὴ καταφρονοῦσαν διὰ τὴν νομιζομένην τοῦ πάθους ἀτιμίαν, ἀλλὰ μετὰ φόβου παντὸς ὡς Δεσπότῃ δουλεύουσαν αὐτῷ. Ἐπεὶ καὶ πολλή τις ἔσται παρὰ πάντων, οὐ περὶ αὐτὸν μόνον ἀλλὰ γὰρ καὶ περὶ τοὺς τῆς Ἐκκλησίας ἐπισήμους διὰ τὴν περὶ αὐτὸν διάθεσιν, καλῶς ἐπήγαγε τό «πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν»[1], τουτέστι τούτων σοι ἐπιμελεῖσθαι συμβουλεύω καὶ περὶ ταῦτα ἔχειν ὑπακούουσαν αὐτῷ μετὰ πάσης τῆς σπουδῆς, ἐπεὶ αὕτη ἐστὶν ἡ ἀληθής σου δόξα ἡ ἔνδοθεν καὶ ἀπὸ τῆς κατὰ τὴν ψυχὴν διαθέσεως δεικνυμένη· ἐκεῖνα μὲν γὰρ τὴν δωρεὰν γνωρίζει τοῦ Δεσπότου, ταῦτα δὲ τιμῆς ἀξίους ἀποφαίνει τοὺς κατωρθωκότας ἀπὸ τῆς οἰκείας προθέσεώς τε καὶ ἀρετῆς.

Εἰ δὲ ἦν περὶ γυναικὸς τὸ λεγόμενον ὡς «πᾶσα ἡ δόξα ἔσωθεν», εἰ γὰρ τοιαῦτα τὰ ἱμάτια οἷά φησιν, ἀνάγκη ἦν ἔξωθεν εἶναι τὴν δόξαν καὶ οὐκ ἔσωθεν. Εἰ δὲ λέγοιεν κατὰ τὸ κάλλος λέγειν τὸ σωματικόν, ὡς ἔσωθεν ὄντος καὶ κρυπτομένου ὑπὸ τῶν ἱματίων, εὔηθες καὶ ἰουδαϊκὸν τὸ εἰρημένον. Πρῶτον μὲν γὰρ οὐκ εἶπεν ἅπαν τὸ κάλλος, ἀλλά «πᾶσα ἡ δόξα». Εἰ δὲ δοίη τις καὶ οὕτω νοεῖσθαι, οὐδὲ τὸ σωματικὸν κάλλος «ἔσωθεν», — τὸ γὰρ σωματικὸν κάλλος ἀπὸ τοῦ προσώπου χαρακτηρίζεται, τὸ δὲ πρόσωπον οὐκ ἔσωθέν ἐστιν ὑπὸ τῶν ἱματίων καλυπτόμενον, ἀλλ' ἔξωθεν· εὐπρέπειαν δὲ καὶ δυσειδίαν οὐδέποτέ τις γυμνώσας ἀπὸ τῶν λοιπῶν σωμάτων ἐδοκίμασεν, ἀλλ' ἀπὸ τοῦ προσώπου καὶ τῶν λοιπῶν φαινομένων τοῦ σώματος. Ὥστε δῆλον ὅτι τό «ἔσωθεν» κατὰ τὴν διάνοιαν λέγει καὶ οὐκ ἔνι περὶ τοῦ σωματικοῦ κάλλους ὁ λόγος αὐτῷ, ἀλλὰ περὶ τῆς κατὰ ψυχὴν ἀρετῆς· αὕτη γὰρ ἡ τῶν σπουδαίων ἀληθὴς δόξα, τῆς συνειδήσεως ἡ καθαρότης, ἀφ' ἧς ἐπίδοξοι παρὰ τῷ κριτῇ πάντως ἔσονται.

---

1. Ψαλ. 44,14.

«Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποικιλμένη»

Διὰ τί οὖν τῆς δόξης μνημονεύσας, ἐπήγαγε τό «ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη πεποι**296**κιλμένη»[1]; Ἐπειδὴ τῇ καθαρότητι τῆς ψυχῆς δεῖ συνεργεῖν καὶ τὴν τοῦ Πνεύματος χάριν. Ἵνα τοίνυν μὴ οἰηθῇς οἰκεῖον πάντῃ κατόρθωμα τὴν ἀρετὴν τῶν πιστῶν τυγχάνειν καὶ μηδενὸς αὐτοὺς ἑτέρου πρὸς τοῦτο δεῖσθαι, καλῶς ἐπήγαγε τοῦ πνευματικοῦ κόσμου τὴν μνήμην, δεικνὺς ὅτι καὶ τούτου χρεία τοῖς ἀρετῇ συζῆν προελομένοις, τῇ πνευματικῇ συνεργείᾳ ῥᾳδίως ἁπάντων πληροῦσθαι δυναμένων τῶν πρὸς ἀρετὴν συντελούντων. Ἐπὶ μέντοι γυναικὸς οὐδὲ τοῦτό ἐστιν ἔχον λόγον· τὸ γάρ τοι κάλλος τὸ σωματικὸν οὐκ ἀπὸ τοῦ κόσμου τοσοῦτον δείκνυται θαυμαστὸν ὅσον ἀπὸ τῆς οἰκείας φύσεως, — ὁ γὰρ ἔξωθεν κόσμος ταῖς δυσειδέσι μᾶλλον συμβάλλεται ἢ ταῖς ἔμφυτον κεκτημέναις τὸ κάλλος. Μνημονεύσας τοίνυν τοῦ κατ' ἀρετὴν κάλλους ‹καὶ› τὴν προσήκουσαν περὶ τούτου παραίνεσιν τοῖς πιστοῖς προσαγαγών, εἰκότως λοιπὸν ἐπάγει τοῦ μείζονος ἐν τοῖς κατορθώμασι τῆς Ἐκκλησίας τὴν μνήμην ποιούμενος, δεικνὺς ὅτι οὐκ ἄχρηστον οὐδ' ἀνόνητον αὐτῷ τὸ τῆς παραινέσεως ἔσται, ἀλλὰ γὰρ καὶ μάλα πολλὴν παρὰ τοῖς τῆς Ἐκκλησίας ἡ ἀρετὴ λήψεται τὴν ἐπίδοσιν, καί φησιν·

15 «Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς»

Τὸ γὰρ μέγιστον καὶ ἐξαίρετον ἐν τῇ Ἐκκλησίᾳ κατόρθωμα, τοῦτο δὴ τὸ τῆς παρθενείας ἐστίν, ὃ πρότερον μὲν οὕτως ἀδύνατον ἦν φυλάττειν ἀνθρώπους, ὡς καὶ τοὺς δικαίους αὐτοὺς μόλις ἀρκεῖσθαι μιᾷ δύνασθαι γυναικί, ὕστερον δὲ καὶ μετὰ τὴν Χριστοῦ παρουσίαν πολλοῖς καὶ τῶν ῥᾳθυμοτέρων εὐκατόρθωτον ὑπὸ τῆς θείας ἐγένετο χάριτος. Τοῦτο οὖν λέγει ὅτι τότε πλεῖσται προσκομισθήσονται παρθένοι τῷ βασιλεῖ εἰς τιμήν, τουτέστιν αὐτῷ τὴν παρθενείαν φυλάττουσαι. Πῶς οὖν «ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς»[2]; Ὅτι ὅσοι τοῦτο μεταδιώκουσιν ἕπονται τῇ βασιλίσσῃ, τουτέστι τῇ Ἐκκλησίᾳ, γνησίαν αὐτῇ καὶ τῆς

---

1. Ψαλ. 44,14. **2.** Ψαλ. 44,15.

ἀρετῆς τὴν ὑπηρεσίαν ἐκτελοῦσαι, ἐπείπερ οἱ τοιοῦτοι μάλιστα φύλακές εἰσιν ἀκριβεῖς τῶν τῆς Ἐκκλησίας ἐντολῶν.

«Αἱ πλησίον αὐτῆς ἀπενεχθήσονταί σοι»

Αὗταί σοι, φησίν, «ἀπενεχθήσονται», αὗται μεταδιώξουσι τὴν ἐπαγγελίαν, αὗται ἀναθήσονταί σοι τὴν ἑαυτῶν παρθενείαν «αἱ πλησίον» τῆς βασιλίσσης, τουτέστιν αἱ μάλιστα ἡνωμέναι αὐτῆς τῇ διαθέσει, αἱ συμφερόμεναι αὐτῆς τῷ φρονήματι· οἱ γὰρ **297** πολὺν τῆς ἀρετῆς ἐπὶ τῆς ψυχῆς τὸν πόθον δεξάμενοι, οὗτοι νεύειν καὶ βλέπειν πρὸς τὸν τῆς παρθενείας ἐπείγονται σκοπόν. Εἰ δὲ ἦν ἐπὶ ἀνδρὸς λεγόμενον καὶ γυναικός, τὸ ἐναντίον ἂν εἶπεν· οὐ γὰρ αἱ τῇ βασιλίσσῃ πάντ‹ως προσαγ›όμεναι ὑπηρετεῖν αὗται ἤμελλον προσάγεσθαι τῷ βασιλεῖ, ἀλλὰ τοὐναντίον αἱ ἐκείνῳ προσαγόμεναι ἤμελλον ἐξ ἀνάγκης εἰς ὑπηρεσίαν ἀπονέμεσθαι ταύτης.

16 «Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει»

Τοῦτο μάλιστα ἐναντίον τῇ ἰουδαϊκῇ διανοίᾳ. Οὐ γὰρ πάντως ὅσαι ἢ τῷ βασιλεῖ προσάγεσθαι ἔμελλον ἢ εἰς τὴν ὑπηρεσίαν ἀφορίζεσθαι τῆς βασιλίσσης μετὰ εὐφροσύνης τοῦτο διεπράττοντο, μᾶλλον δ' ἂν ἠθύμουν καὶ ἔκλαιον τῶν γονέων χωριζόμεναι. Ἐπὶ δὲ τῆς Ἐκκλησίας σφόδρα ἀληθὲς τὸ εἰρημένον· μεταδιώκουσι γὰρ τὴν παρθενείαν, οὐ μόνον οὐκ ἀθυμοῦσαι ἐπὶ τῷ πράγματι, ἀλλ' αὐτοπροαιρέτως αὐτὸ μετιοῦσαι, μετὰ τοσαύτης χαρᾶς καὶ εὐφροσύνης ὡς πολλοὺς πολλάκις καὶ ὑφίστασθαι κινδύνους ὑπὸ τῶν κωλύειν ἐθελόντων.

«Ἀχθήσονται εἰς ναὸν βασιλέως»

Φανερώτερον ἐνταῦθα εἴρηται, βασιλέως οὐκ ἀνθρώπου λέγει· ναὸν γὰρ οὐδαμοῦ ἡ θεία Γραφὴ ἀνθρώπου καλεῖ τὸν οἶκον ἐν ᾧ καταμένει, ἀλλὰ πάντων τὸν ναὸν τοῦ Θεοῦ καλεῖ ναὸν τὸν τοῦ ἀληθῶς Θεοῦ ἢ κατὰ τὴν προσηγορίαν τῶν ψευδωνύμων θεῶν, — ὅπως δ' ἂν ὁ βασιλεὺς νοεῖται, οὕτω δηλονότι καὶ ἡ βασίλισσα νοηθήσεται. Τί οὖν λέγει ἐνταῦθα τό «ἀχθήσονται εἰς ναὸν βασιλέως»[1]; Ὅτι ἀνατεθήσονται, φησίν, αὐτῷ αὗται αἱ παρθένοι εἰς τὸ

---

1. Ψαλ. 44,16.

εἶναι ‹ναός›· ναὸς γὰρ ἀποτελοῦνται Θεοῦ διὰ τοῦ τῆς παρθενείας ἁγιασμοῦ, οἰκητήριον ἑαυτὰς ἀποτελοῦσαι τοῦ Ἁγίου Πνεύματος, καθὼς ὁ Ἀπόστολός φησιν, «Οὐκ οἴδατε ὅτι ναὸς τοῦ Θεοῦ ἐστε καὶ τὸ πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;»[1]. Δῆλον δὲ ὅτι ὅταν λέγῃ παρθένους οὐ πάντως ὅτι τὰς γυναῖκας λέγει μόνον, ἀλλὰ καὶ ἄνδρας καὶ γυναῖκας καὶ ἅπαντας ὁμοῦ τοὺς τὴν αὐτὴν ἐπαγγελίαν μετιόντας. Παρθένους δὲ εἶπεν ἐπειδὴ ὅλως βασιλίσσης ἐμνημόνευσεν, ἢ καὶ ὅτι πλείους αἱ γυναῖκες αἱ τὴν ἐπαγγελίαν μετιοῦσαι καὶ διὰ τοῦτο ἀπὸ τοῦ πλείστου ὀνομάσαι ἠβουλήθη.

298 Καὶ ἐπειδὴ λοιπὸν ἐν τοῖς κατορθώμασι τῆς ἀρετῆς ἐμνήσθη τοῦ πάντων μείζονος, τῆς παρθενείας λέγω, μνημονεύει καὶ τοῦ πάντων μείζονος ἐν τοῖς χαρίσμασι τοῖς πνευματικοῖς, λέγω δὴ τοῦ τῆς ἱερατείας (τοῦτο γὰρ καὶ τῆς ἀναγεννήσεως ἀξιοῖ καὶ Πνεύματος μετουσίαν χαρίζεται τοῖς βαπτιζομένοις, καὶ τὸ μυστήριον τελεσιουργεῖ καὶ ὅλως ἅπαντα πληροῖ τὰ ἐν τῇ Ἐκκλησίᾳ γινόμενα) τοῦτο λέγων ὅτι ἀναδειχθήσονται μὲν ἐξ αὐτῆς ἐνάρετοι πολλοὶ τὴν τελείαν μετιόντες ἁγνείαν, ἀναδειχθήσονται δὲ καὶ ἄνδρες ἄξιοι τοῦ ἱερατεύειν ἕνεκεν, ἀξιωθήσονται τῆς τιμῆς ὡς κατὰ πάσης ἄρχειν αὐτοὺς τῆς οἰκουμένης· βούλεται γὰρ ἀπὸ τῆς ἱερατείας τὸ τοῦ δόγματος ἐπίσημον εἰπεῖν. Οὐ χαλεπὸν γοῦν συνιδεῖν τὸν βουλόμενον ὅση περὶ τοὺς τῶν Ἐκκλησιῶν προεστῶτας ἡ τιμή, οὐ γὰρ τῶν οἰκείων μόνον ἀλλὰ καὶ παρὰ τῶν ἐναντίων τοῦ τῆς εὐσεβείας φρονήματος ἁπάντων μικροῦ πάσης ἀξίους αἰδοῦς εἶναι νομιζόντων. Διὸ ἐπάγει·

17 «Ἀντὶ τῶν πατέρων σου ἐγενήθησάν σοι υἱοί»

Ἐπειδὴ γὰρ ἡ Ἐκκλησία συνέστη ἀπό τε ἐθνῶν καὶ Ἰουδαίων, τῶν μὲν ἐντεῦθεν τῶν δὲ ἐκεῖθεν πιστευσάντων Χριστῷ, πατέρας αὐτῆς καλεῖ τοὺς παρ' Ἕλλησι καὶ Ἰουδαίοις ἱερέας καὶ διδασκάλους, οὓς ἐπεγράφοντο τότε κατὰ τὴν οἰκείαν θρησκείαν ἕκαστος πατέρας πρὸ τῆς πίστεως τῆς ἐπὶ τὸν Δεσπότην Χριστόν. Τοῦτο οὖν λέγει ὅτι ἀντ' ἐκείνων ἕξεις υἱούς, τουτέστιν ἐκείνους μὲν οὐκέτι πατέρας ἐπιγράφῃ, ἀπό σου δὲ αὐτῆς τεχθήσονται ἱερεῖς καὶ δι-

1. Α' Κορ. 3,16.

δάσκαλοι, οὓς ἐν τάξει πατέρων ἕξεις ἀντ' ἐκείνων. Καὶ γὰρ ἡ Ἐκκλησία ἰδίαν τε ἔσχεν ἱερατείαν καὶ ἀεὶ ἀπογεννᾷ ἱερέας τε καὶ διδασκάλους, καθ' ἑκάστην γενεὰν ἐξ αὐτῆς ἐκδιδοῦσα τοὺς ἄρχειν τῶν κατὰ τόπον λαῶν δοκιμαζομένους, οὓς καὶ πατέρας ἅπαντες οἱ τῆς Ἐκκλησίας πνευματικοὺς καλεῖν οὐκ αἰσχύνονται. Διὸ καλῶς ἐπάγει·

«Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν»

Οὗτοι δὲ φησίν, οἱ παρά σου καθ' ἕκαστον ἐκδιδόμενοι πρὸς τοῦτο καιρόν, κατὰ πάσης ἄρξουσι τῆς οἰκουμένης, τῶν κατὰ τόπον λαῶν τὴν προστασίαν ἀναδεχόμενοι. Τοῖς δὲ τοῦ Σολομῶντος υἱοῖς τοῦτο οὐχ ἁρμόττον, — ἵνα γὰρ τό «ἐπὶ πᾶσαν τὴν γῆν»[1] περὶ τῆς γῆς τῆς ἐπαγγελίας νοήσωμεν, οὐδ' οὕτως ἀληθὲς ἔσται τὸ λεγόμενον· ὁ γὰρ πρῶτος τὴν βασιλείαν δεξάμενος παρ' αὐτοῦ τὸ πλεῖστον μέρος εὐθὺς ἀφῃρέθη τῆς βασιλείας, δύο μόνων φυλῶν ὑπολειφθεὶς βασιλεύς. Τί οὖν ἀντὶ τούτων;

18 «Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ»

299 Καλὴ καὶ ἀναγκαία μετὰ τὴν παραίνεσιν ἡ ἐπαγωγή. Τοῦτο, φησίν, ὑπὲρ τούτων εἶπεν, ὅτι διατελέσω ἀεί σου μεμνημένος καὶ τῆς περί σε οὐκ ἐξιστάμενος διαθέσεως. Ἐπειδὴ γὰρ εἶπεν ἄνω «ἐπιλάθου τοῦ λαοῦ σου καὶ τοῦ οἴκου τοῦ πατρός σου»[2], εἶτα ἐμνήσθη τῶν περὶ τὴν Ἐκκλησίαν ἐσομένων παρὰ τοῦ Θεοῦ καλῶν, καλῶς ἐνταῦθα ἐπήγαγε «μνησθήσομαί σου», ἀντὶ τοῦ ἐκείνων μέν «ἐπιλάθου», πρὸς δὲ τὸν Θεὸν τοῦ μνημονεύειν αὐτοῦ διηνεκῶς κατάθου τὴν ὁμολογίαν. Τὸ γὰρ εἶπεν ἐνταῦθα ἐπὶ τῆς κατὰ ψυχὴν ἔλαβε δοκιμασίας ὡς τό «εἶπα· Φυλάξω τὰς ὁδούς μου»[3], ἀντὶ τοῦ οὕτω ἐδοκίμασα φρονεῖν τε καὶ πράττειν, — καὶ τὸ μὴ εἰπεῖν δὲ ὅτι εἶπεν, ἀλλὰ κατὰ ἀποσιώπησιν ἀπὸ τῆς ἀκολουθίας αὐτὸ σημᾶναι, σύνηθες τῷ μακαρίῳ Δαβίδ, ὡς ἐν τοῖς προοιμίοις τοῦ ψαλμοῦ ἀκριβέστερον τὸ ἰδίωμα ἐπεσημηνάμεθα.

1. Ψαλ. 44,17. 2. Ψαλ. 44,11. 3. Ψαλ. 38,2.

«Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»

Καλῶς συμπληρώσας πρὸς τὴν Ἐκκλησίαν τὸν λόγον καὶ τὴν παραίνεσιν, ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Θεόν, τοῦτο λέγων ὅτι οὐδὲν θαυμαστὸν εἰ ταῦτα εἴποιεν καὶ ταῦτα περί σε πληροῖεν. Εἰκότως γὰρ καὶ μάλα ὀφειλομένως ὑπὲρ τῶν τοσούτων καὶ τηλικούτων ἀγαθῶν διατελέσουσιν ἅπαντες οἱ κατὰ τὴν οἰκουμένην ἄνθρωποι, διηνεκῶς σοι τὰς ὑπὲρ τῶν δοθέντων εὐχαριστίας ἀναπέμποντες, — ὅπερ δὴ καὶ γίνεται, πάντων ἡμῶν εὐχαριστούντων ἀεὶ τῷ Χριστῷ ὑπὲρ τῆς εἰς ἡμᾶς εὐεργεσίας.

Ὑπὲρ μέντοι τοῦ κάλλους τῆς βασιλίσσης καὶ περὶ τῆς τοῦ Σολομῶντος γυναικός, καὶ ὑπὲρ τοῦ κόσμου τοῦ ἔξωθεν αὐτῇ περικειμένου, καὶ ὑπὲρ τῶν προσφερομένων αὐτῇ παρθένων τίς οὕτως εὐήθης ὥστ' ἂν οἴεσθαι τὸν Προφήτην εἰπεῖν πρὸς τὸν Θεὸν ὅτι ὑπὲρ τούτων εὐχαριστήσουσι αὐτῷ λαοί; Τίς γὰρ δὴ καὶ ὑπὲρ τούτων εὐχαριστήσει ποτὲ τῷ Θεῷ, οὐ λέγω τῶν λοιπῶν ἀνθρώπων, ἀλλ' αὐτῶν γοῦν Ἰουδαίων τῶν οὕτω ταῦτα ἑρμηνεύειν ἐπιχειρούντων; Ὥστε πανταχόθεν, καὶ πολλῷ μᾶλλον ἀπὸ τῆς ἀκολουθίας τῆς κατὰ τὴν ἑρμηνείαν, συναχθήσεται τὸ περὶ μηδενὸς ἑτέρου δύνασθαι λαμβάνεσθαι τὸν ψαλμὸν ἀλλ' ἢ περὶ μόνου τοῦ Κυρίου καὶ τῆς Ἐκκλησίας.

Ψαλμὸς 45

300 Μετὰ τὴν τοῦ Σολομῶντος τελευτὴν διῃρέθησαν μὲν αἱ δώδεκα φυλαὶ τοῦ Ἰσραήλ. Ἦν δὲ καθ' ἑαυτὴν μὲν ἡ τοῦ Ἰούδα μετὰ μόνης τῆς Βενιαμίτιδος τῶν ἐκ τοῦ σπέρματος Δαβὶδ κατὰ διαδοχὴν βασιλευόντων, αἱ δὲ λοιπαὶ δέκα φυλαὶ διακεκριμένως ἐβασιλεύοντο διαφόρως καὶ ἄλλοτε ἄλλως, νῦν μὲν τούτων αὖθις δὲ ἑτέρων βασιλευόντων· ἦν δὲ ἐν αὐταῖς προτιμότερα μὲν ἡ τοῦ Ἐφραίμ, μητρόπολις δὲ ἡ Σαμάρεια, ἐν ᾗ κατοικεῖν τὸν βασιλεύοντα συνέβαινεν, ὥσπερ οὖν καὶ τῶν δύο φυλῶν μητρόπολις Ἱερουσαλὴμ καθειστήκει. Καί ποτε βασιλεύοντος τοῦ Ἄχατζ[1] τῆς

---

1. Πρβλ. Ἡσ. 7,1-2.

Ἰουδαίας, τουτέστι τῶν δύο φυλῶν, Φακεὲ ὁ τῆς Σαμαρείας βασιλεύς τε καὶ τῶν δέκα φυλῶν, μετὰ παντὸς τοῦ ἰδίου λαοῦ συνεργὸν τοῦ ἐπιχειρήματος λαβὼν καὶ τὸν Ῥαασὴν τὸν τῆς Συρίας τῆς κατὰ Δαμασκὸν βασιλέα, ἔπεισι πολιορκῆσαι τὴν Ἱερουσαλὴμ προαιρούμενος καὶ καθελεῖν τῶν δύο φυλῶν τὴν βασιλείαν ἐσπουδακώς. Ἀλλ' ἐπηγγείλατο μὲν διὰ τοῦ προφήτου Ἡσαΐου βοηθήσειν αὐτοῖς ὁ Θεός, οὐ τοῦ Ἄχατζ ὄντος δικαίου, — τοῦτο γὰρ ἡμᾶς ἡ τῶν Βασιλειῶν βίβλος παιδεύει λέγουσα «υἱὸς εἴκοσι ἐτῶν ἦν Ἄχατζ ἐν τῷ βασι**301**λεύειν αὐτὸν ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου τοῦ Θεοῦ αὐτοῦ»[1], — διὰ δὲ τὸ ἐν τῇ μητροπόλει τῇ Ἱερουσαλὴμ εἶναι τὸν ναόν, τήν τε ἐπαγγελίαν τοῦ Θεοῦ γεγενῆσθαι πρὸς τὸν Δαβὶδ ὥστε μὴ ἐκλιπεῖν τοὺς κατὰ διαδοχὴν ἐξ αὐτοῦ βασιλεύοντας, εὐσεβεστέρους τε εἶναι πολλῷ τοὺς δύο φυλῶν τῶν λοιπῶν Ἰουδαίων. Ἐπαγαγὼν δὲ ὁ Θεὸς τὸν τῶν Ἀσσυρίων βασιλέα τοῖς Σύροις, οὕτω τε θόρυβον ἐμβαλὼν ἅπασι μετὰ πολλῆς τῆς σπουδῆς ἀποστρέψαι παρεσκεύασεν ἀποστάντας τῆς κατὰ τῶν ὁμοφύλων ἐπιχειρήσεως, — καὶ δὴ ταύτην ἔσεσθαι τὴν βοήθειαν κατὰ τὸν τοῦ πολέμου καιρὸν ὁ μακάριος Ἡσαΐας ὑποσχόμενος τῷ Ἄχατζ φησίν· «μεθ' ἡμῶν ὁ Θεός. Γνῶτέ τε ἔθνη καὶ ἡττᾶσθε»[2].

Ὁ τοίνυν μακάριος Δαβὶδ ταῦτα πόῤῥωθεν ἐσόμενα προειδώς, ἐκ προσώπου τῶν δύο φυλῶν τὴν εὐχαριστίαν ποιούμενος ἐφ' οἷς ἠξιώθησάν τε τῆς τοῦ Θεοῦ εὐεργεσίας καὶ τῆς τῶν ἐναντίων ἐπιβουλῆς ἀπηλλάγησαν παραδόξως, προλέγει τὸ πολλοῖς ὕστερον ἐσόμενον τοῖς χρόνοις.

2 «Ὁ Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις»

Καλῶς τό «ὁ Θεὸς ἡμῶν»[3]. Ἐπειδὴ γὰρ ὑμεῖς, φησίν, οἱ ἡμέτεροι συγγενεῖς ἐπιβουλεύετε ἀνάξια καὶ ἀλλότρια τῆς συγγενείας φρονοῦντες, «ὁ Θεὸς ἡμῶν», ὃς οὐκ ἀπαρνεῖται τὴν ἡμετέραν οἰκειότητα, οὗτος καί «καταφυγὴ καὶ δύναμις», — «καταφυγή» μὲν ὡς πολεμουμένους δεχόμενος καὶ σῴζων, «δύναμις» δὲ ὡς ἀσθενέσι τὴν οἰκείαν ἐπαρκῶν βοήθειαν.

---

1. Δ' Βασ. 16,2. 2. Ἠσ. 8,8-9. 3. Ψαλ. 45,2.

«Βοηθὸς ἐν θλίψεσιν ταῖς εὑρούσαις ἡμᾶς σφόδρα»

Οὐ νῦν πρώταις, ἀλλ' ἐν πάσαις θλίψεσιν ἐν αἷς ἂν ἐξεταζώμεθα, βοηθὸς ἡμῶν γενόμενος, ὃς εἰκότως πάντοτε βοηθῶν καὶ νῦν ἐπαμύνει κἂν ὑμεῖς τὴν συγγένειαν ἀρνεῖσθε τὰ τῶν πολεμίων διαπραττόμενοι.

3 «Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν»

Τούτου τοίνυν ἕνεκεν καὶ μεγάλην ὑμῶν, φησίν, οὖσαν τὴν ἔφοδον οὐ δεδοίκαμεν. Μεγάλη μὲν γὰρ ὅτι καὶ οἰκεῖοι πολεμισταὶ καὶ ἀλλότριοι συμμαχοῦσιν, ἀλλὰ καὶ πολλοί· ὑμεῖς τε γὰρ δέκα φυλαὶ καὶ τὸ τῶν Σύρων πλῆθος οὐκ εὐκαταφρόνητον, ἡμεῖς δὲ ὀλίγοι τε καὶ συμμαχίας ἀνθρώπων ἔρημοι. 'Αλλ' οὐδὲν ἡμᾶς τοῦτο φοβεῖ, πάντα νικώσης τῆς τοῦ Θεοῦ βοηθείας. «Ταράσσεσθαι δὲ τὴν γῆν» εἶπεν, ὡς ἀπὸ τοῦ πλήθους τῶν ἐπιόντων καὶ τῆς γῆς αὐτῆς ταρασσομένης.

302 Τὸ δέ «μετατίθεσθαι ὄρη ἐν καρδίαις θαλασσῶν»[1] οὕτω λέγει. «Ὄρη» καλεῖ τοὺς βασιλεῖς διὰ τὸ ὅλως ὑπερφέρειν τῇ ἀξίᾳ· ὥσπερ καὶ ταύρους, τοὺς δυνατοὺς καὶ πολλὰ ἕτερα ἀπὸ τῶν ὁμοιωμάτων τιθεὶς τὰ ὀνόματα, οὕτω κἀνταῦθα «ὄρη» λέγει τόν τε τῆς Συρίας βασιλέα καὶ τὸν τοῦ 'Ισραήλ, θάλασσαν δὲ τὸ πλῆθος. Καὶ καλῶς οὐκ εἶπεν ἑνικῶς θαλάσσης ἀλλά «θαλασσῶν», ὡς πολλῶν ὄντων καὶ τῶν 'Ισραηλιτῶν, πολλῶν δὲ καὶ τῶν Σύρων.

Τὸ δέ «ἐν καρδίαις θαλασσῶν» τῇ τροπολογίᾳ ἑπόμενος λέγει· ἐπειδὴ καρδίαν πράγματος καλοῦμεν τὸ κυριώτερον, καὶ καρδίαν θαλάσσης εἴποι ἄν τις τὸν βυθὸν αὐτόν, «καρδίαν» εἶπε «θαλασσῶν» τοῦ πολλοῦ πλήθους τὴν συνδρομήν. Τὸ οὖν «ἐν καρδίαις», ἀντὶ τοῦ σὺν καρδίαις, οὕτως ἀλλαχοῦ «Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν»[2], ἀντὶ τοῦ σὺν ὁλοκαυτώμασι· συνεχῶς γὰρ τῇ τοῦ ἐν ἀντὶ τοῦ σὺν φωνῇ κέχρηται. Τῷ δὲ πλήθει τῶν πολεμούντων, — καὶ οἱ βασιλεῖς αὐτοὶ μετὰ παντὸς τοῦ πλή-

1. Ψαλ. 45,3. **2.** Ψαλ. 65,13.

θους μετατίθενται ἐφ' ἡμᾶς, — οὐ φοβούμεθα. Καλῶς δὲ τὸ μετατίθεσθαι, φοβερώτερον αὐτὸ δεικνύς, ἵνα τὸ αἰφνίδιον σημάνῃ τῆς ἐφόδου· μετατίθεσθαι γὰρ λέγει τὸ μὴ κατὰ μέρος ἑλκόμενον ἢ βαδίζον, ἀλλ' αἰφνίδιον τὴν ἀπὸ τόπου εἰς τόπον μεταγωγὴν ὑπομένον. Καὶ ὅτι, φησί, δικαίως οὐ φοβούμεθα, αὐτὰ δείκνυσι τὰ πράγματα. Πῶς;

4 «Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν»

Ἐπειδὴ θάλασσαν ὠνόμασε τὸ πλῆθος, ἡ δὲ θάλασσα πνέοντος τοῦ ἀνέμου κινουμένη ὁμοῦ τε ταράττεται καὶ φοβερὸν τὸν ἦχον ἀποτελεῖ διὰ τῶν κυμάτων, τοῦτο λέγει ὅτι συνεκινήθησαν, φησί, καὶ ἐπῆλθον ἡμῖν μετὰ πολλῆς τῆς ἀπειλῆς.

«Ἐταράχθησαν τὰ ὄρη ἐν τῇ κραταιότητι αὐτῶν»

Συνεκινήθη γάρ, φησί, «τὰ ὄρη»[1], τουτέστιν οἱ βασιλεῖς μετὰ τῆς οἰκείας ἰσχύος, ὅμως οὐδὲν εἰς πέρας ἀγαγεῖν ἠδυνήθησαν τῶν ἀπειληθέντων.

5 «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ»

Τινές φασι περὶ τοῦ Ἄχατζ λέγειν τὸν Προφήτην. Τὸν δὲ Ἄχατζ ὁ Προφήτης Ἡσαΐας οὐ καλεῖ ποταμόν, — φησὶ γὰρ περὶ αὐτοῦ «διὰ τὸ μὴ βούλεσθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ»[2], — ὁ δὲ **303** Σιλωὰμ οὐ ποταμός, ἀλλὰ πηγὴ ἤτοι κολυμβήθρα κατὰ τὸν Εὐαγγελιστήν. Οὔτε οὖν ἁρμόσει ἡ τοῦ ποταμοῦ φωνὴ τῷ Ἄχατζ, οὔτε τὰ ὁρμήματα, — ἐναντίον γὰρ τὸ πορευόμενον ἡσυχῇ, ἀλλ' ἐπειδὴ ἐπικειμένων τοῖς περὶ τὴν Ἱερουσαλὴμ τῶν τε Σύρων καὶ τῶν περὶ τὸν Ἐφραὶμ Ἰσραηλιτῶν τοὺς Ἀσσυρίους αὐτοῖς ἐπαγαγὼν ὁ Θεὸς ἀπέστρεψέ τε τοῦ ἐπιχειρήματος, καὶ τοὺς Σύρους αὐτάρκως ἐτιμωρήσατο, καθαιρεθῆναι μὲν τὴν μητρόπολιν αὐτῶν τὴν Δαμασκόν, ἀναιρεθῆναι δὲ καὶ τὸν βασιλέα παρασκευάσας, ποταμὸν δὲ τὸν Ἀσσύριον καὶ ὁ προφήτης Ἡσαΐας ἐκάλεσε λέγων· «Διὰ τὸ μὴ βούλε-

---

1. Ψαλ. 45,4. **2.** Ἡσ. 8,6.

σθαι τὸν λαὸν τοῦτον τὸ ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν τὸν Ῥαασὴν καὶ τὸν υἱὸν τοῦ Ῥωμελίου βασιλέα ἐφ' ὑμῶν, διὰ τοῦτο ἀνάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν καὶ τὸ πολύ, τὸν βασιλέα τῶν Ἀσσυρίων»[1]. Διὰ τοῦτο καὶ ὁ μακάριος Δαβὶδ φησί, «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ»[2], ποταμὸν καὶ αὐτὸς τὸν Ἀσσύριον καλῶν, «ὁρμήματα» δὲ αὐτοῦ τὴν κίνησιν καὶ τὴν ἔφοδον τὴν κατὰ τῶν Σύρων. Ἐκείνου τοίνυν, φησίν, ἡ κίνησις ἡ κατὰ τῶν Σύρων εὐφροσύνην τῇ πόλει τοῦ Θεοῦ παρέξει, τουτέστι τῇ Ἱερουσαλήμ· καὶ γὰρ καὶ ἀναιρεθέντων τῶν πολεμούντων αὐτοῖς καὶ πάσης ἀπαλλαγέντες ἐπιβουλῆς, εἰκότως ἐν εὐφροσύνῃ καθίσταντο.

«Ἡγίασεν τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος»

«Ἡγίασεν» ἀντὶ τοῦ ἅγιον ἀπέφηνε. «Σκήνωμα» δὲ αὐτοῦ τὴν πόλιν καλεῖ, ὡς ἐν αὐτῇ τυγχάνοντος ἐν ᾗπερ οἰκεῖν τὸν Θεὸν ἅπαντες ἐδόξαζον Ἰουδαῖοι· ἅγιον δὲ ἀπέφηνε διὰ τῆς κατὰ τῶν πολεμούντων τιμωρίας.

6 «Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς, οὐ σαλευθήσεται»

Τουτέστι τῆς πόλεως. Ἐπειδὴ γὰρ τὸ αὐτὸ λέγει τὴν πόλιν καὶ τὸ σκήνωμα, ἀκολούθως ἐπήγαγε τό «ἐν μέσῳ αὐτῆς»[3]. Τὸ δέ «ἐν μέσῳ» λέγει διὰ τὸ τῆς βοηθείας ἰσχυρόν, **304** σωματικῇ φωνῇ παραστήσας τῆς βοηθείας τὸ δαψιλές, — ἀντὶ τοῦ οὐ κατά τινος μέρους ὢν τῆς πόλεως ἑτέρου κεχώρισται, ἀλλ' «ἐν μέσῳ» αὐτῆς τυγχάνων καὶ πᾶσαν ἔχων ἐν κύκλῳ, πᾶσαν ὁμοίως περισῴζει τῶν ἐχθρῶν· διὸ καὶ ἀπαράτρεπτος διαμένει.

«Βοηθήσει αὐτῇ ὁ Θεὸς τῷ πρωὶ πρωί»

Ἐντεῦθεν, φησί, καὶ ὀξεῖαν αὐτῇ ὁ Θεὸς παρέξει τὴν βοήθειαν. «Πρωί» γὰρ λέγει τὸ ταχέως, ἐπειδὴ καὶ τῆς ἡμέρας τὸν πρῶτον καιρὸν καὶ ταχύτερον πρωινὸν καλοῦμεν, τῷ δὲ διπλασιασμῷ τὴν ἐπίτασιν ἐσήμανε τῆς ὀξύτητος. Τί οὖν γέγονεν;

---

1. Ἠσ. 8,6-7. **2.** Ψαλ. 45,5. **3.** Ψαλ. 45,6.

7 «Ἐταράχθησαν ἔθνη, ἔκλιναν βασιλεῖαι»

Ὑπὸ γὰρ τῶν παρὰ πᾶσαν ἐλπίδα ἐπελθόντων αὐτοῖς, τουτέστι τῶν Ἀσσυρίων, οἱ πρότερον ἡμᾶς πολεμοῦντες ταραχῇ[1] κατεσχέθησαν, — ἀντὶ τοῦ ἐτράπησαν, κατέπεσον.

«Ἔδωκεν φωνὴν αὐτοῦ, ἐσαλεύθη ἡ γῆ»

Ὡς ἐπὶ στρατηγοῦ μόνῃ τῇ φωνῇ καταπλήττοντες· μόνον τε, φησίν, ἐβόησε καὶ ταραχὴ κατέσχεν ἅπαντας.

8 «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήμπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ»

Ταῦτα δὲ ἡμῖν προσγέγονεν, ἐπειδὴ μεθ' ἡμῶν ὁ πάσης ἰσχύος ἀνώτερος Δεσπότης, — τὸ δέ «μεθ' ἡμῶν», ἀντὶ τοῦ ἐπεὶ παρ' ἡμῖν ὁ Θεός, ὁ ἐν τῷ ναῷ κατοικῶν· διὰ τοῦτο, φησί, πλεονεκτοῦμεν ἅπαντας ἀνθρώπους, καὶ ἀντιλαμβάνεται ἡμῶν ὁ τοῦ «Ἰακὼβ Θεός»[2].

9 «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ἃ ἔθετο τέρατα ἐπὶ τῆς γῆς»

Χρῆται λοιπὸν καὶ τῇ παραινέσει μετὰ τὴν τῶν γεγονότων ἐξήγησιν. Ἔλθετε, φησίν, καὶ θεάσασθε οἷα πεποίηκε θαυμάσια ὁ Δεσπότης[3]. Ὁ μὲν οὖν μακάριος Ἡσαΐας μετὰ τὴν πρόῤῥησιν τοῖς ἔθνεσί φησιν ὀνειδίζων «μεθ' ἡμῶν ὁ Θεός. Γνῶτε ἔθνη καὶ ἡττᾶσθε»[4]· ὁ δὲ μακάριος Δαβὶδ τῇ παραινέσει τοὺς οἰκείους ποιῶν, τίνα οὖν ἃ πεποίηκεν.

10 «Ἀνταναιρῶν πολέμους μέχρι τῶν περάτων τῆς γῆς»

305 Ἀντὶ τοῦ ἀφελὼν λέγει, ὡς καὶ ἀλλαχοῦ «ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσιν»[5] ἀντὶ τοῦ ἀφελεῖς, καὶ ἑτέρωθι «Ὡσεὶ κηρὸς ὁ τακεὶς ἀνταναιρεθήσονται»[6]. Ἀφεῖλεν οὖν, φησίν, ἀφ' ἡμῶν τὸν πόλεμον, ἀντὶ τοῦ ἀπήλλαξεν ἡμᾶς τοῦ πολέμου. Τὸ δέ «μέχρι τῶν περάτων τῆς γῆς»[7], ἀντὶ τοῦ πᾶσαν ἡμῶν τὴν γῆν

---

1. Πρβλ. Ψαλ. 45,7. **2.** Ψαλ. 45,8. **3.** Πρβλ. Ψαλ. 45, 9. **4.** Ἡσ. 8,8-9. **5.** Ψαλ. 103,29. **6.** Ψαλ. 57,9. **7.** Ψαλ. 45,10.

ἀπήλλαξεν τοῦ πολέμου ἀφελὼν αὐτοὺς ἀφ' ἡμῶν καὶ μεταστήσας τῷ φόβῳ τῶν Ἀσσυρίων.

«Τόξον συντρίψει καὶ συγκλάσει ὅπλον»

Ταῦτα λέγει ἅπερ ἔπαθον οἱ Σύροι παρὰ τῶν Ἀσσυρίων· συνετρίβη, φησί, τὰ ὅπλα, τὰ τόξα, ἅπασα αὐτῶν ἡ ἰσχύς.

«Καὶ θυρεοὺς κατακαύσει ἐν πυρί»

«Θυρεούς» λέγει τὰς ἀσπίδας διὰ τὸ τετραγώνους ἔτι τότε τὰς ἀσπίδας εἶναι καὶ ταῖς θύραις ἐοικέναι, οἱάσπερ νῦν τὰς τῶν μονομαχούντων ἐν ταῖς γυμνασίαις εἶναι συμβαίνει. Τὸ οὖν «κατακαύσει θυρεοὺς ἐν πυρί», ὅτι τοσαύτη ἔσται, φησίν, ἡ σφαγὴ καὶ τοσοῦτος ὁ θάνατος ὡς μηδὲ περιποιηθῆναι αὐτῶν τοὺς θυρεούς, ἀλλὰ πυρὶ κατακαυθῆναι διὰ τὸ πλῆθος.

11 «Σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός»

Ὁ μὲν οὖν μακάριος Ἡσαΐας φησί, «Γνῶτε ἔθνη καὶ ἡττᾶσθε»[1], καλῶς τὴν γνῶσιν αὐτοῖς ἐπὶ ἥττῃ σημαίνων ὡς ἐναντίοις, ὁ δὲ μακάριος Δαβὶδ πρέποντα οἰκείοις παραινεῖ· ἀπαλλαγέντες φησὶ τοῦ πολέμου καὶ σχολὴν ἄγοντες τῇ γνώσει τῇ ἐμῇ[2], σχολάσατε ταῦτα λογιζόμενοι ὧνπερ ἀπηλαύσατε.

«Ὑψωθήσομαι ἐν τοῖς ἔθνεσιν, ὑψωθήσομαι ἐν τῇ γῇ»

Ἐγὼ γάρ φησιν ὁ καὶ ἐν τοῖς ἔθνεσι μέγας δεικνύμενος καὶ ἐν τῇ γῇ, τουτέστι παρ' ὑμῖν. Διὰ τί δὲ καὶ ἐν ἐκείνοις μὲν διὰ τῆς παραινέσεως, ἐν ὑμῖν δὲ διὰ τῆς σωτηρίας, καὶ πάλιν διὰ τὴν παραίνεσιν καὶ τὴν τῶν θαυμάτων ἐξήγησιν ἐπισφραγίζει τὸν ψαλμόν;

12 «Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν, ἀντιλήμπτωρ ἡμῶν ὁ Θεὸς Ἰακώβ»

306 Διὰ τοῦ προγεγενῆσθαι πᾶσαν αὐτοῖς βοήθειαν σημαίνων καὶ σωτηρίαν[3], διὰ τὸ τῆς τοῦ Θεοῦ κατηξιῶσθαι ῥοπῆς καὶ παρ' αὐτοῖς εἶναί τε τὸν ναὸν καὶ θεραπεύεσθαι τὸν Δεσπότην.

---

1. Ἡσ. 8,9. **2.** Πρβλ. Ψαλ. 45,11. **3.** Πρβλ. Ψαλ. 45,12.

Ψαλμὸς 46

Μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ἐπὶ τῆς οἰκείας οἱ Ἰσραηλῖται γεγονότες πολλῷ τῷ χρόνῳ, καὶ βαθείας ἀπολαύσαντες εἰρήνης, πάλιν ἐπὶ τὸ χεῖρον ἐξώκειλαν. Ἐπὶ γὰρ Ἀντιόχου τοῦ βασιλέως τινὲς τῶν παρ' αὐτοῖς ἐπὶ τοσοῦτον τῶν νομίμων ἀποστῆναι παρήχθησαν, ὡς ἀπελθεῖν μὲν ἐπὶ τὸν Ἀντίοχον, αἰτῆσαι δὲ ταῦτα γενέσθαι παρ' αὐτοῖς ἃ καὶ παρὰ τοῖς ἄλλοις ἔθνεσιν ἐναντίως τῇ τοῦ νόμου ‹παρα›δόσει κρατεῖν συνέβαινε. Καὶ τοῦτο ἀκριβέστερόν ἐστι μαθεῖν ἀπὸ τῆς τῶν Μακκαβαίων ἱστορίας — λέγει γὰρ οὕτως· «Ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθον ἐξ Ἰσραὴλ υἱοὶ παράνομοι καὶ ἀνέπεισαν πολλοὺς λέγοντες. Πορευθῶμεν καὶ διαθώμεθα διαθήκην μετὰ τῶν ἐθνῶν τῶν κύκλῳ ἡμῶν, ὅτι ἀφ' ἧς ἡμέρας ἐχωρίσθημεν ἀπ' αὐτῶν, εὗρεν ἡμᾶς κακὰ πολλά. Καὶ ἠγαθύνθη ὁ λόγος ἐν ὀφθαλμοῖς αὐτῶν, καὶ προεθυμήθησάν τινες ἀπὸ τοῦ λαοῦ καὶ ἐπορεύθησαν πρὸς τὸν βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ βασιλεὺς ἐξουσίαν ποιῆσαι κατὰ τὸ δικαίωμα τῶν ἐθνῶν. Καὶ ἐποίησαν ἑαυτοῖς ἀκροβυστίαν καὶ ἀπέστησαν ἀπὸ διαθήκης ἁγίας Κυρίου, καὶ ἐζεύχθησαν ἐν τοῖς ἔθνεσι καὶ ἐπράθησαν τοῦ ποιῆσαι τὸ πονηρόν»[1].

307 Τούτων δὴ γεγονότων, ὡς ἐξ αὐτῆς μανθάνομεν τῆς ἱστορίας, ζηλωτὴς τοῦ νόμου πρῶτος ἦν καταστὰς Ματταθίας[2]· ἤρατο μὲν πόλεμον πρὸς τοὺς Ἀντιόχου στρατηγούς, ἀνδραγαθήσας δὲ οὐ μικρῶς τελευτῶν παρέδωκε τοῖς υἱοῖς αὐτοῦ τὸν ὑπὲρ τοῦ νόμου πόλεμον[3]. Καὶ δὴ πρῶτος ἐστρατήγει Ἰούδας ὁ καὶ Μακκαβαῖος[4] τοῦ πολέμου, — ὃς καὶ νικήσας τοὺς Ἀντιόχου στρατηγούς, ἡττήσας δὲ καὶ τῶν οἰκείων τοὺς βουλομένους συμπράττειν τοῖς ἐναντίοις ἐπεμελήσατο καὶ τῆς τοῦ ναοῦ διορθώσεως, πολλὴν ὑπὸ τῶν ἐναντίων τὴν ἐρήμωσιν ὑπομείναντος. Ταῦτα μαθόντες οἱ περίοικοι ἔχθρᾳ τε καὶ βασκανίᾳ συνελθόντες ἐμηχανῶντο πάντας ἄρδην ἀπολέσαι. Καὶ τοῦτο δὲ ἡμᾶς ἡ τῶν Μακκαβαϊκῶν ἱστορία διδάσκει λέγουσα· «Καὶ ἐγένετο ὅτε ἤκουσαν τὰ ἔθνη τὰ

---

1. Α' Μακκ.1,11-15. **2.** Πρβλ. Α' Μακκ. 2,14-19. **3.** Πρβλ. Α' Μακκ. 2,27,39,45. **4.** Πρβλ. Α' Μακκ. 2,4,66. 3,1,11-18.

κυκλόθεν, ὅτι ᾠκοδομήθη τὸ θυσιαστήριον καὶ ἐνεκαινίσθη τὸ ἁγίασμα ὡς τὸ πρότερον, καὶ ὠργίσθησαν σφόδρα καὶ ἐβουλεύσαντο τοῦ ἆραι τὸ γένος Ἰακώβ»[1]. Ἀλλὰ ταῦτα μὲν ἐβουλεύοντο κατ᾽ αὐτῶν ἐκεῖνοι, στρατηγούντων δὲ αὐτοῖς τῶν Μακκαβαίων τοῦ τε Ἰούδα, ὃς καὶ μάλιστα κατῆρχε τοῦ πολέμου, καὶ τῶν ἀδελφῶν, περιεγένοντο καὶ τούτων. Καὶ οὕτω πάντας ἡττήσαντες τούς τε περιοίκους καὶ τοὺς Ἀντιόχου, ἤδη δὲ καὶ τοὺς οἰκείους οὕσπερ αὐτοῖς ἀνθεστάναι συνέβαινεν, ἐπεμελήθησαν τοῦ τε ναοῦ καὶ τῶν νομίμων. Ταῦτα τοίνυν πόῤῥωθεν ὁ μακάριος προφητεύων Δαβὶδ ὥσπερ τινὰ ἐπινίκιον ὕμνον ἐπὶ τοῖς γεγονόσι τὸν ψαλμὸν ἐξεφώνησεν.

2 «Πάντα τὰ ἔθνη, κροτήσατε χεῖρας»

«Κροτήσατε», τουτέστιν ἐπευφημήσατε, ἐπειδὴ ἔθος ἐν ταῖς εὐφημίαις κροτεῖν τὰς χεῖρας. Τὸ δέ «πάντα τὰ ἔθνη»[2] οὐχ ἁπλῶς λέγει, ἀλλ᾽ ἐπειδὴ καὶ περιοίκους ἥττησαν καὶ τοὺς Ἀντιόχου στρατηγούς, καὶ ὅλως πολλοὶ οἱ ἡττηθέντες, καὶ πολλοῖς ἡ τοῦ Θεοῦ δύναμις ἐγεγόνει καταφανής.

«Ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως»

Καλῶς τό «ἀλαλάξατε» ὡς ἐπὶ νίκης· τοῦτο γὰρ ἀλαλαγμὸς λέγεται κυρίως ἡ ἐν ταῖς νίκαις φωνὴ παρὰ τοῦ στρατοῦ γιγνομένη. Μετὰ οὖν εὐφροσύνης φησίν «ἀλαλάξατε», εὐφροσύνης ἄξια ἐπιφθεγγόμενοι, ἐπειδὴ καὶ τοιαῦτα τὰ γενόμενα.

3 «Ὅτι Κύριος ὕψιστος φοβερός»

308 Ἐπειδὴ δέδεικται ὁ Θεός «ὕψιστος»[3] ὡς τοὺς ἰσχυροὺς καθελών, καί «φοβερός» ὡς τοὺς πολεμίους καταπλήξας.

«Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν»

Ὡς πάντων κρατήσας καὶ πάντων περιγενόμενος.

4 «Ὑπέταξε λαοὺς ἡμῖν καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν»

Πάντων γὰρ ἡμᾶς ἀνωτέρους ἐποίησε. Καλῶς δὲ καί «λαούς»

---

1. Α´ Μακκ. 5,1-2. **2.** Ψαλ. 46,2. **3.** Ψαλ. 46,3.

καί «ἔθνη»[1]· πρὸ γὰρ τῶν Μακκαβαίων ἐκακουργοῦντο καὶ ὑπὸ τῶν ἰδίων, οἳ καὶ μάλιστα αἴτιοι γεγόνασιν αὐτοῖς τῶν κακῶν. Κἀκείνους οὖν ὑπέταξε καὶ τούτους· οὐδὲ γὰρ ἐκεῖνοι τολμῶσί τι, δεδιότες ἡμᾶς διὰ τὴν κατὰ τῶν ἐχθρῶν νίκην. Τὸ δέ «ὑπὸ τοὺς πόδας» ἐπὶ τῶν ἐθνῶν ὡς ἐχθρῶν καλῶς εἶπεν, ἐπὶ δὲ τῶν ἰδίων μόνον «ὑπέταξεν».

5 «Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν αὐτοῦ»

Ἅπαν, ὅπερ ἄν τις ἀπὸ πολλῶν ἐκλέξηται, ὡς κρεῖττον καὶ ἐξαίρετον ἀφορίζει τῶν λοιπῶν αὐτὸ δηλονότι. Τὸ οὖν «ἐξελέξατο ἡμῖν» ἀντὶ τοῦ ἀφώρισεν ἡμῖν[2]. «Τὴν κληρονομίαν αὐτοῦ», ἵνα εἴπῃ τὴν γῆν τῆς ἐπαγγελίας· ἐπειδὴ γὰρ πρότερον ὑπ᾽ αὐτῶν κατείχετο, καλῶς εἶπεν ὅτι ἀφώρισεν ἡμῖν αὐτήν, τουτέστιν ἀφελόμενος αὐτὴν ἐκείνων πάλιν ἡμῖν ἀποδέδωκε. Καὶ οὐχ αὐτήν φησι μόνον, ἀλλὰ καὶ ἡμᾶς ἀφώρισέ τε καὶ ἀπήλλαξεν ἐκείνων, οὐκ ἐάσας ἡμᾶς ἐπὶ πλεῖστον ὑπὸ τοῖς πολεμίοις.

«Τὴν καλλονὴν Ἰακώβ, ἣν ἠγάπησεν»

Ἵνα εἴπῃ τὸν κάλλιστον Ἰακώβ, κοσμῆσαι τὸ ἔθνος βουλόμενος, ὥστε ἡμῖν ἔθος λέγειν τὴν καλοκαγαθίαν σου, τὴν τιμιότητά σου, τιμῆς ἕνεκεν ταῦτα ἀποφθεγγομένοις.

6 «Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ»

Σχηματοποιεῖ λοιπὸν τὴν νίκην. Περιγεγονώς φησι τῶν ἐθνῶν μετὰ μεγάλης φωνῆς, ἣν ἐπὶ τῇ νίκῃ πεποίηται, «ἀνέβη» τε καὶ ἐφ᾽ ὑψηλοῦ δείκνυσιν ἑαυτόν· τὸ γάρ «ἀνέβη» ὡς ἀπὸ τῆς νίκης πάντων ἀνωτέρου δειχθέντος φησίν.

«Κύριος ἐν φωνῇ σάλπιγγος»

309 Τουτέστι μετὰ φωνῆς σάλπιγγος[3] ἀνῆλθεν, ἐπειδὴ ἐν τοῖς πολέμοις ἀρχόμενοί τε σαλπίζουσι καὶ τῇ τῆς σάλπιγγος πάλιν σημασίᾳ τῷ πολέμῳ τὸ πέρας ἐπάγουσιν.

---

1. Ψαλ. 46,4. **2.** Ψαλ. 46,5. **3.** Πρβλ. Ψαλ. 46,6.

7 «Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε»

Ἄδετέ φησι διηνεκῶς[1] ταύτην αὐτοῦ τὴν νίκην.

8 «Ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεός»

Πάντων αὐτὸν ὁμολογοῦντες βασιλέα[2]· τοῦτο γὰρ δέδεικται διὰ τῆς νίκης.

9 «Ψάλατε συνετῶς»

Τουτέστι μὴ τῷ ᾄδειν μόνῳ προσέχοντες μηδὲ τῇ τέρψει τοῦ ᾄσματος, ἀλλὰ καὶ ἀναλογιζόμενοι τῆς χάριτος τὸ μέγεθος.

«Ἐβασίλευεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη»

Τουτέστιν ἐκράτησεν αὐτῶν, ἐπειδὴ οἱ βασιλεύοντες κρατοῦσι τῶν βασιλευομένων.

«Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ»

Καλῶς ὡς ἐπικρατήσαντος καὶ βασιλεύσαντος διὰ τῆς νίκης, τουτέστιν ἐκάθισεν ἐπὶ τοῦ οἰκείου θρόνου[3] ἐν εἰρήνῃ, λοιπὸν ἀναπαυσόμενος τῶν πολέμων, ἐν ἀμεριμνίᾳ τῆς βασιλείας ἀπολαύων, — τῇ σωματοποιήσει τὸ γενόμενον διηγούμενος.

10 «Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ»

Οὕτω τε πᾶσι σαφὴς καὶ ὡμολογημένη γέγονεν ἡ ἰσχὺς αὐτοῦ καὶ ἡ βασιλεία, ὡς πολλοὺς ἄρχοντας τῶν ποτε μαχομένων συναχθῆναι πρὸς αὐτὸν ἐπὶ τῷ κοινωνῆσαι τῆς εὐφροσύνης. Τοῦτο δὲ λέγει σημαίνων ὅτι πολλοὶ μετὰ τὴν νίκην καταπλαγέντες τοῦ Θεοῦ τὴν δύναμιν προσεκύνησαν τῷ Θεῷ. Καλῶς οὖν τὸ μετ' αὐτοῦ «συνήχθησαν»[4], τουτέστι πρὸς αὐτόν, κοινωνοῦντες αὐτῷ τῆς εὐφροσύνης, θαυμάζοντες τὸ γενόμενον. Πόθεν οὖν ποιῆσαι τοῦτο προήχθησαν;

---

1. Πρβλ. Ψαλ. 46,7. **2.** Πρβλ. Ψαλ. 46,8. **3.** Πρβλ. Ψαλ. 46,9. **4.** Ψαλ. 46,10.

«Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς, σφόδρα ἐπήρθησαν»

Τὸ τοῦ Θεοῦ προσυπακούεται· οὐδαμοῦ γὰρ τῆς γῆς κραταιοὺς λέγει τοὺς Ἁγίους καὶ **310** τῇ τοῦ Θεοῦ βοηθείᾳ μεγάλους δεικνυμένους. Οὕτως οὖν ἀναγνωστέον· «ὅτι τοῦ Θεοῦ οἱ κραταιοί», εἶτα διαστείλαντα εἰπεῖν χρή «τῆς γῆς σφόδρα ἐπήρθησαν». Οἱ γάρ τοι «τοῦ Θεοῦ κραταιοί», φησί, τουτέστιν ἡμεῖς οἱ τῇ αὐτοῦ βοηθείᾳ μεγάλοι τυγχάνοντες, σφόδρα τῆς γῆς ἐπήρθημεν, ἀντὶ τοῦ ὑπεράνω πάντων τῶν τῆς γῆς ἐδείχθημεν· ἐπειδὴ οὖν ἡμεῖς, φησί, τῇ κατ' αὐτῶν νίκῃ πάντων ἐδείχθημεν μείζους, διὰ τοῦτο καὶ ἕτεροι πολλοὶ ἔσπευσαν κοινωνῆσαι τῆς εὐφροσύνης, τῶν μετ' αὐτῶν τε ὄντων καὶ τὰ αὐτὰ φρονούντων ἑαυτοὺς δεῖξαι σπεύδοντες.

Ψαλμὸς 47

Τὴν κατὰ τῶν Ἀσσυρίων νίκην γεγενημένην ἐπὶ τοῦ βασιλέως Ἐζεκίου προφητεύων ὁ μακάριος Δαβὶδ ἐν τούτῳ τῷ ψαλμῷ ἐκπλήττεται μὲν τοῦ Θεοῦ τὴν βοήθειαν ὡς μεγάλην, πόῤῥωθεν δὲ πάντας ὑπὲρ τῶν γεγονότων ἐπὶ τὴν εὐχαριστίαν προτρέπεται, ὡς ἐκ προσώπου τῶν τότε κατὰ τὸ σύνηθες αὐτῷ λέγων ἅπαντα τὸν ψαλμόν.

2 «Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ὄρει ἁγίῳ αὐτοῦ»

Προσυπακούεται τὸ ἐδείχθη, ἀντὶ τοῦ «Μέγας καὶ αἰνετός»[1] ἐκ τῶν περὶ τὴν πόλιν τὴν ἡμετέραν ἐδείχθη τοῖς ἀγνοοῦσιν αὐτὸν πρότερον ὁποῖός τις ἦν, — οὕτω καὶ ὅταν λέγῃ τὸ μεγαλύνθη, οὐχ ὡς αὔξησιν ἐπιδεχομένου, ἀλλ' ὡς ἐκ τῶν γινομένων ἐν ταῖς τῶν ἀνθρώπων ὑπονοίας μεγάλου ἐπιδεικνυμένου. «Μέγας» μὲν οὖν ἐδείχθη τῷ μεγέθει τῆς κατὰ τῶν ἐχθρῶν τιμωρίας, «αἰνετός» δὲ ὡς ὕμνου παντὸς καὶ εὐχαριστίας ἄξιος ἐφ' οἷς οὕτω παραδόξως

1. Ψαλ. 47,2.

τοσούτων ἐχθρῶν ἐῤῥύσατο τὴν πόλιν. Τὸ δέ «ἐν πόλει» καὶ ἐν «ὄρει» τὸ αὐτὸ λέγει· ἐπὶ γὰρ τοῦ ὄρους ἡ πόλις αὐτῶν ἔκειτο.

3 «Εὖ ῥιζῶν ἀγαλλιάματι πάσης τῆς γῆς. Ὄρη Σιών, τὰ πλευρὰ τοῦ βοῤῥᾶ»

311 Οὐ χρὴ διαιροῦντας, ὥς τινες, ἀναγινώσκειν λέγοντας «εὖ», εἶτα «ῥιζῶν», ἀλλὰ συνάπτοντας «εὐριζῶν», ἀντὶ τοῦ πλατύνων· εὐρὺ γὰρ λέγεται τὸ πλατύ. Τὰ οὖν ὄρη φησί, τὰ Σιὼν τῷ ἀγαλλιάματι πλατύνει[1], τουτέστι πλατεῖαν αὐτοῖς τὴν εὐφροσύνην παρέχεται, πάντας ἀποδιώκων τοὺς ἐχθρούς. Τὸ δέ «πάσης τῆς γῆς», ἀντὶ τοῦ τῇ εὐφροσύνῃ, ἧς πάσῃ τῇ γῇ μετέδωκε τῇ ἡμετέρᾳ πᾶσαν αὐτὴν ἀπαλλάξας τῶν πολεμίων, ταύτῃ καὶ τά «Σιὼν ὄρη» πλατύνει, — ἵνα εἴπῃ ὅτι πλατεῖαν καὶ τῇ γῇ πάσῃ καὶ τοῖς ὄρεσι τῆς Σιών, ἀντὶ τοῦ τῇ μητροπόλει, τὴν εὐφροσύνην παρέχεται.

«Πλευρά» δέ «τοῦ βοῤῥᾶ» καλεῖ τά «Σιὼν ὄρη», ὡς ὑπό «τοῦ βοῤῥᾶ» σφόδρα τῶν τόπων καταπνεομένων καὶ συνεχομένων, ἐπειδὴ καὶ ἐν τῷ σώματι τῇ τῶν πλευρῶν ἰσχύϊ τὸ πᾶν ἔνδοθεν συνέχεται.

«Ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου»

Τοιούτων, φησίν, ἡ τοῦ μεγάλου βασιλέως ἀπολαύει πόλις. Πόθεν γὰρ ὅτι αὐτοῦ πόλις;

4 «Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται ὅταν ἀντιλαμβάνηται αὐτῆς»

Τουτέστι τοῖς οἰκήμασι· τὴν γὰρ γνῶσιν, φησί, τὴν οἰκείαν ἐν τοῖς τῆς πόλεως οἰκήμασι παρέχεται βοηθῶν καὶ καταπίπτειν αὐτὰ οὐκ ἐῶν, οὐδὲ συγχωρῶν ἀηδές τι πάσχειν αὐτοὺς ὑπὸ τῶν πολεμίων.

5 «Ὅτι ἰδοὺ οἱ βασιλεῖς συνήχθησαν, ἤλθοσαν ἐπὶ τὸ αὐτό»

Καὶ τούτου φησὶν ἀπόδειξις τὰ γεγονότα. Ἰδοὺ γάρ «ἐπὶ τὸ

---

1. Πρβλ. Ψαλ. 47,3.

αὐτὸ βασιλεῖς»[1] πολλοὶ συνελθόντες ὥρμησαν αἱρήσοντες τὴν πόλιν. «Βασιλεῖς» δὲ λέγει τοὺς μετὰ τοῦ βασιλέως τῶν Ἀσσυρίων σατράπας εἰς βοήθειαν ἐλθόντας. Καὶ τί γέγονεν ὁρμησάντων αὐτῶν;

6 «Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν»

«Αὐτοί» φησίν, ἐκεῖνοι «οὕτως ἰδόντες»[2] καὶ οὕτω θεασάμενοι ὅτι μετὰ πολλῆς τῆς βοηθείας ἀντιλαμβάνῃ τῆς **312** πόλεως ἐξεπλάγησαν. Οὕτως οὖν, φησίν, αὐτός τε ἐν τῇ περὶ τὴν πόλιν βοηθείᾳ γνωρίζει καὶ ἡ πόλις ἡ τυγχάνουσα δείκνυται.

6-7 «Ἐταράχθησαν, ἐσαλεύθησαν, τρόμος ἐπελάβετο αὐτῶν»

Ταραχῇ, φησί, καὶ φόβῳ[3] κατεσχέθησαν διὰ τὴν ἐπαχθεῖσαν αὐτοῖς παρά σου τιμωρίαν.

7 «Ἐκεῖ ὠδῖνες ὡς τικτούσης»

Τὸ ὀξὺ βούλεται καὶ φοβερὸν τῆς πληγῆς παρασημάναι· οὕτω γάρ, φησίν, ἐπώδυνος ἦν ἡ ἐπαχθεῖσα αὐτοῖς παρά σου τιμωρία, ὡς ὁμοίας ταῖς τικτούσαις ἀφιέναι φωνάς.

8 «Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσίς»

Θαρσὶς πόλις ἦν παραθαλασσία ἐμπορείας ἔχουσα πολλάς· ὅθεν καὶ τὰ τοῦ Σολομῶντος πλοῖα τῆς ἐμπορείας ἕνεκα εἰς Θαρσὶς ἀπέπλει. Πολλάκις οὖν τὸ παραθαλάσσιον σημάναι βουλομένη ἡ Γραφὴ Θαρσὶς λέγει· οὕτω καὶ ὅταν λέγῃ «Βασιλεῖς Θαρσὶς καὶ αἱ νῆσοι δῶρα προσοίσουσι»[4], τοῦτο βούλεται εἰπεῖν καὶ αἱ νῆσοι δῶρά σοι προσκομιοῦσι. Τοῦτο οὖν κἀνταῦθά φησιν ὅτι ὥσπερ πνεύματος βιαιοτάτου ἐμπεσόντος συντρίβεται τῶν παραθαλασσίων πόλεων τὰ πλοῖα ὑπὸ τῆς τοῦ ἀνέμου σφοδρότητος, οὕτω, φησί, καὶ τὰ πλήθη τῶν Ἀσσυρίων ὥσπερ τινὶ ἀνέμῳ τῇ οἰκείᾳ τιμωρίᾳ συντρίψει[5].

---

1. Ψαλ. 47,5. **2.** Ψαλ. 47,6. **3.** Πρβλ. Ψαλ. 47,7. **4.** Ψαλ. 71,10. **5.** Πρβλ. Ψαλ. 47,8.

9 «Καθάπερ ἠκούσαμεν, οὕτως εἴδομεν ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν»

Καλῶς ὡς ἐκ προσώπου τῶν τότε φησὶν ὅτι ὅσα ἠκούσαμεν[1] παρὰ τῶν πατέρων ὡς ἐτιμωρήθησαν μὲν Αἰγύπτιοι, ἀπηλλάγησαν δὲ τῆς καταδυναστείας ἢ καὶ ὅσα ἕτερα γεγενῆσθαι ἠκούσαμεν, τοιαῦτα καὶ τοῖς ὀφθαλμοῖς ἐθεασάμεθα τοῖς ἡμετέροις· οὐδενὸς γὰρ ἐκείνων ἔλαττον τὸ νῦν γεγονὸς περὶ τὴν ἀνακειμένην σοι πόλιν.

«Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα»

313 Ἔδειξας γὰρ ὅπως ἀσφαλὲς καὶ ἑδραῖον τὸ κατοικητήριον αὐτῆς κατεσκεύασας, οὐ δυνάμενον ἐχθροῖς ἡττᾶσθαι.

10 «Ὑπελάβομεν, ὁ Θεός, τὸ ἔλεός σου ἐν μέσῳ τοῦ λαοῦ σου»

Τό «ὑπελάβομεν» ἀντὶ τοῦ προσεδοκήσαμεν, ἐπειδὴ τοῖς ὑπολαμβάνουσιν ἔσεσθαί τι ἔθος καὶ προσδοκᾶν τὸ ὑποπτευόμενον, — οὕτω καὶ ὅταν λέγῃ, «Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν»[2], ἀντὶ τοῦ οὕτω με προσεδόκησαν αἱρήσειν. Τοῦτο οὖν, φησίν, ὅτι προσεδοκῶμεν, περιεμένομεν ἔσεσθαί σου τὴν βοήθειαν «ἐν μέσῳ τοῦ λαοῦ σου», ἀντὶ τοῦ εἰς τὸν λαόν σου, τουτέστιν εἰς ἡμᾶς. Ἔλεον δὲ τὴν βοήθειαν ἐκάλεσεν ὡς φιλανθρωπίᾳ γεγενημένην καὶ οὐκ ὀφειλῇ τῶν δεξαμένων. Καλῶς δὲ εἶπε τὸ προσεδοκήσαμεν· ἐπαγγειλαμένου γὰρ τοῦ Θεοῦ διὰ τοῦ προφήτου Ἡσαΐου παρέχειν τὴν βοήθειαν, εἰκὸς ἦν αὐτοὺς καὶ περιμένειν τοῦτο, — ὃ δὴ καὶ γέγονε. Τὸ δέ «ὑπελάβομεν, ὁ Θεός»[3], Σύμμαχος λέγει 'εἰκάσαμεν, ὁ Θεός', οὐδὲν ἀπᾷδον τοῦ προσεδοκήσαμεν εἰπών.

11 «Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτως καὶ ἡ αἴνεσίς σου ἐπὶ τὰ πέρατα τῆς γῆς»

Τὸ ὄνομα πολλάκις ἀντὶ τοῦ πράγματος ἡ Γραφὴ λαμβάνουσα λέγει, μάλιστα ἐπὶ τοῦ Θεοῦ, ὡς ὅταν λέγῃ, «Ἐγώ εἰμι ὁ ὤν,

---

1. Πρβλ. Ψαλ. 47,9. **2.** Ψαλ. 16,12. **3.** Ψαλ. 47,10.

τοῦτό μού ἐστι τὸ ὄνομα»[1], — ὄνομα καλέσας τὸ ὑπάρχον αὐτῷ καὶ προσόν, — οὕτω καὶ τό «Ἐγώ εἰμι Κύριος, τοῦτό μού ἐστιν ὄνομα»[2]. Κἀνταῦθα «κατὰ τὸ ὄνομά σου, ὁ Θεός»[3] τοῦτό φησι· ἀνάλογος, φησί, τῷ μεγέθει τῷ σῷ ὕμνος κατὰ πᾶσαν ἀποδίδοταί σοι τὴν γῆν, πάντων ἐκπληττομένων τὸ γεγονὸς καὶ τῆς σῆς δυνάμεως ἐκ τοῦ γεγονότος στοχαζομένων. Τὸ δέ «ἐπὶ τὰ πέρατα τῆς γῆς» ἢ ἐν τῇ Ἰουδαίᾳ ὡς εὐχαριστούντων, ἢ καὶ πανταχοῦ· πανταχοῦ γὰρ **314** ἦν ἀνάγκη διαδοθῆναι τὸ γεγονός, Ἀσσυρίων τότε πάσης κρατούντων τῆς γῆς τῶν τὴν πληγὴν δεξαμένων.

«Δικαιοσύνης πλήρους ἡ δεξιά σου»

Τουτέστιν ἡ εἰς ἡμᾶς βοήθεια· καὶ γὰρ δικαιοτάτην, φησί, παρέσχες τὴν βοήθειαν, ἐκείνους τε διὰ τὴν ἀσέβειαν εἰκότως τιμωρησάμενος καὶ ἡμᾶς διὰ τὴν γνῶσιν τὴν σὴν εἰκότως ἀπαλλάξας τῶν κινδύνων.

12 «Εὐφρανθήτω τὸ ὄρος Σιών, ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας ἕνεκα τῶν κριμάτων σου, Κύριε»

Οὐκοῦν, φησί, καὶ οἱ τὰ ὄρη καὶ τὴν Ἰουδαίαν οἰκοῦντες, — τοῦτο γὰρ βούλεται εἰπεῖν τό «αἱ θυγατέρες τῆς Ἰουδαίας»[4] — πάντες μετ' εὐφροσύνης τὸ γεγονὸς διηγείσθωσαν καὶ χαιρέτωσαν διὰ τοῦτο μᾶλλον, ὅτι μετὰ πολλῆς τῆς κρίσεως καὶ τοῦ δικαίου ἅπαντα πράττων καὶ ἐπαμύνεις οἷς δεῖ καὶ τιμωρῇ οὓς προσήκει. Τὸ δέ «αἱ θυγατέρες τῆς Ἰουδαίας» εἶπεν ἀντὶ τοῦ οἱ Ἰουδαῖοι, διὰ τὸ ἐπαγόμενον. Λέγει γάρ·

13 «Κυκλώσατε Σιὼν καὶ περιλάβετε αὐτήν»

Ὡς γὰρ πρὸς τὰς θυγατέρας καλῶς τό «κυκλώσατε», τουτέστι κύκλους καὶ χοροὺς ἐν τῇ Σιὼν ποιήσατε, ἐπείπερ ἴδιον τοῦτο μάλιστα τῶν γυναικῶν. Τὸ δέ «καὶ περιλάβετε αὐτήν»[5], ἀντὶ τοῦ πᾶσαι κατὰ πάσης τῆς Σιὼν τοῦτο ποιεῖτε, ὥστε περιειλῆφθαι

---

1. Ἐξ. 3,14,15. Ἠσ. 42,8. **2.** Ἐξ. 3,15. 7,5. 14,8. Λευϊτ. 11,44. Ἠσ. 42,8. **3.** Ψαλ. 47,11. **4.** Ψαλ. 47,12. **5.** Ψαλ. 47,13.

αὐτὴν καὶ κυκλῶσθαι αὐτὴν ὑφ' ὑμῶν πασῶν καὶ πανταχοῦ καὶ καθ' ὅλης τοῦτο ποιουσῶν τῆς πόλεως.

«Διηγήσασθε ἐν τοῖς πύργοις αὐτοῖς»

«Πύργοις», τουτέστι τοῖς οἴκοις. Κατὰ πάσης οὖν, φησί, τῆς Σιὼν κύκλους ποιησάμεναι καὶ χορούς, ᾄδετε τοῦ Θεοῦ τὴν βοήθειαν.

14 «Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς»

Σύνετε ὅπως ἐστὶν ἰσχυρά τε καὶ δυνατή, τῆς τοῦ Θεοῦ βοηθείας τοιαύτην αὐτὴν ἀποφαινούσης.

«Καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς»

Ἐπειδὴ τοῖς πόλιν καταλαμβανομένοις ἴδιόν ἐστι τὰς οἰκήσεις διαιρεῖσθαι, παρὰ πᾶσαν δὲ προσδοκίαν **315** οὗτοι ἔμεινάν τε καὶ κατέσχον τὴν πόλιν, ὡς νῦν αὐτῆς ἐπιλαβομένοις, φησί, τὸ ‹κατα›διέλεσθε[1]· ἐξέσται γὰρ ὑμῖν, φησίν, ἐν διῃρημέναις ταῖς οἰκήσεσιν ἕκαστον τῶν οἰκείων ἄνευ πάσης ἀπολαύειν τῆς ὀχλήσεως.

«Ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν»

Ταῦτα δὲ αὐτά, φησί, διδάσκετε καὶ τοὺς ἐξ ὑμῶν, ἵνα εἰδῶσι τὰ γεγονότα.

15 «Ὅτι οὗτός ἐστιν ὁ Θεὸς ὁ Θεὸς ἡμῶν εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· αὐτὸς ποιμανεῖ ἡμᾶς εἰς τοὺς αἰῶνας»

Ἵνα μάθωσιν «ὅτι οὗτος ἡμῶν» ἀεί «Θεός»[2], — τουτέστι βοηθὸς καὶ προστάτης, — αὐτὸς ποιμανεῖ, καὶ πιστεύσωσιν ἐκ τῶν πάλαι τε καὶ πρὸ πολλοῦ γεγενημένων καὶ τῶν νῦν ἐφ' ἡμῶν ὅτι καὶ εἰς τὸ ἑξῆς τῆς αὐτῆς ἡμᾶς ἀξιώσει βοηθείας, ὥσπερ τις ἀγαθὸς ποιμὴν παντὸς ἀπαλλάττων κακοῦ καὶ πάσης ἐφόδου πολεμίων, ἄνπερ καὶ ἡμεῖς ἀξίους ἑαυτοὺς τοῦ μετέχειν τῆς αὐτοῦ χάρι‹τος› δεικνύωμεν.

---

1. Ψαλ. 47,14. **2.** Ψαλ. 47,15.

Ψαλμὸς 48

Παραίνεσιν κοινὴν πρὸς ἅπαντας ἀνθρώπους ποιεῖται, διδάσκων μὴ περὶ πλοῦτον πτοεῖσθαι καὶ δόξαν, μηδὲ μέγα τι νομίζειν τὴν περὶ τὸν βίον δυναστείαν, σπουδάζειν δὲ μᾶλλον ὅπως ἂν ἁμαρτίας τέως ἐλεύθεροι ὦσι, καὶ ὅπως ἂν ὑπὲρ τῶν προσόντων ἀγαθῶν τὴν προσήκουσαν τῷ Θεῷ χάριν ἀποδιδόναι δύνωνται, ὡς ἐντεῦθεν αὐτοῖς καὶ τῆς ἀπολαύσεως τῶν ὄντων βεβαίας ἐσομένης.

2 «Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη»

Πρέπει τῷ Προφήτῃ πᾶσιν ὁμοίως παραινεῖν ἀνθρώποις. Εἰ γὰρ καὶ Ἰουδαῖοι διὰ τὸ τῆς γνώμης εὔκολον **316** ἀκοινωνήτως ἔχειν πρὸς τὰ ἔθνη ἐκελεύοντο, ἀλλ' οὖν γε τοὺς Προφήτας τῇ πνευματικῇ χάριτι φθεγγομένους ἀναγκαῖον ἦν ἅπασι μεταδιδόναι τῆς ὠφελείας. Καλῶς δὲ οὐκ ἀπὸ παρακλήσεως ἄρχεται, ἀλλὰ πρῶτον ἀκοῦσαι προστάττει καὶ περὶ τούτου διαλέγεται, δεικνὺς τῶν λεχθησομένων τὸ μέγεθος. Εἶτα προοιμιασάμενος ὅσα πρὸς τὴν ὑπόθεσιν ἐχρῆν, τότε λέγει τὴν συμβουλήν.

«Ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην»

«Ἐνωτίσασθε»[1], τουτέστι σπουδαίως ἀκούσατε· δι' ὅλων γὰρ τὸ ἀναγκαῖον τῶν λεχθησομένων δεῖξαι βουλόμενος, σπουδαίως αὐτοῖς ἀκούειν ἐγκελεύεται.

3 «Οἵ τε γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων»

Τό «πάντα τὰ ἔθνη» καί «πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην» καί «οἱ γηγενεῖς καὶ οἱ υἱοὶ τῶν ἀνθρώπων»[2] τὸ αὐτὸ λέγει. Καλῶς δὲ τό «οἱ γηγενεῖς»· ἐπειδὴ γὰρ ἔμελλε διδάσκειν αὐτοὺς μὴ μέγα φρονεῖν ἐπὶ τῷ πλούτῳ καὶ τοῖς κατὰ τὸν παρόντα βίον ἀγαθοῖς «γηγενεῖς» ἐκάλεσεν, ὡς ἀπὸ τῆς γῆς γεννηθέντας τῷ εὐτελεῖ τῆς φύσεως. Ἐντεῦθεν ἤδη καταστέλλων αὐτοῖς τὸ φρόνημα καὶ εἰπών «υἱοὶ τῶν ἀνθρώπων» ἐπάγει·

---

1. Ψαλ. 48,2. **2.** Ψαλ. 48,3.

«Ἐπὶ τὸ αὐτὸ πλούσιος καὶ πένης»

Τουτέστιν ἀπὸ τοῦ κοινοῦ τῆς φύσεως ὁμοίως ἅπαντας ἐπὶ τὴν ἀκρόασιν καλῶν, οὐ διακρίνων πλούσιον ἀπὸ πένητος διὰ τὴν τῆς κτήσεως διαφοράν. Διὰ τί οὖν πλούσιον καὶ πένητα; Ἵνα μήτε οὗτος ἐφ' οἷς ἔχει μεγαλοφρονῇ, μήτε ἐκεῖνος ὡς μεγάλων ἐστερημένος ἀθυμῇ. Τούτοις τοῖς ῥήμασι συγκαλέσας πάντας εἰς τὴν ἀκρόασίν φησι·

4 «Τὸ στόμα μου λαλήσει σοφίαν»

Καλῶ δὲ ὑμᾶς ἐπὶ τὸ ἀκούειν, ἐπειδὴ σοφίας ἁπάσης καὶ συνέσεως μεστὰ φθέγγεσθαι μέλλω

«Καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν»

317 Τὸ αὐτὸ λέγει, τουτέστιν ὅτι σοφίας καὶ συνέσεως γέμει τὰ λέγεσθαι μέλλοντα. Τὸ δέ «ἡ μελέτη τῆς καρδίας μου»[1], ἵνα εἴπῃ ὅτι οὐκ ἀδοκιμάστως φθέγγομαι ἀλλὰ σὺν πολλῇ μελέτῃ καὶ δοκιμασίᾳ τῇ κατὰ τὴν καρδίαν, τὸ ὠφέλιμον αὐτῶν γνωρίσας ὧν καὶ αὐτὸς ἐπεμελήθην, ὧν μέλλω λέγειν δοκιμάσας καλῶς ἔχειν καὶ ἑτέροις συμβουλεῦσαι. Καὶ ἐπειδὴ εἶπε «τὸ στόμα μου λαλήσει καὶ ἡ μελέτη τῆς καρδίας μου», ἵνα μὴ νομισθῇ οἰκεῖα φθέγγεσθαι, καλῶς ἐπάγει·

5 «Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου»

Τουτέστιν εἰς διήγησιν, — πρότερον γάρ, φησίν, ὑπέθηκα τὸ οὖς καὶ ἤκουσα, — ἵνα εἴπῃ ὅτι ταῦτα ἐδιδάχθην παρὰ τοῦ Θεοῦ. Καὶ τότε τί;

«Ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου»

Πρῶτον ἤκουσα καὶ τότε λέγω· διδαχθεὶς γὰρ ἑτέρους παιδεύω ἅπερ ἐδιδάχθην, — «πρόβλημα» οὖν, τουτέστι τὸ διήγημα, τὴν διδασκαλίαν. «Ἐν ψαλτηρίῳ» δέ «ἀνοίξω»[2] λέγει, τουτέστι μετ' ᾠδῆς τὴν παραίνεσιν ποιήσομαι, ἐπειδὴ καὶ τοῦτο ἔργον ἦν τοῦ μακαρίου Δαβὶδ τὸ μετ' ᾠδῆς τάς τε νουθεσίας ποιεῖσθαι καὶ

1. Ψαλ. 48,4. 2. Ψαλ. 48,5.

τὰς προφητείας ἐργάζεσθαι. Καλῶς δὲ τὴν διδασκαλίαν «πρόβλημα» ἐκάλεσεν, ἐπειδὴ ὥσπερ ἀπὸ συζητήσεως ἄρχεται τῆς παραινέσεως, καί φησιν·

6 «Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ;»

Ὡς συσκοπούμενος τοῖς διδασκομένοις λέγει ἴδωμεν, φησί, καὶ συνεξετάσωμεν τί ποτε ἄρα φόβου νομιστέον ἄξιον καὶ τί προσῆκον «ἐν ἡμέρᾳ» φοβεῖσθαι «πονηρᾷ», ἵνα εἴπῃ ἐν **318** καιρῷ θλίψεως, — ἡμέραν πονηρὰν καλῶν τὸν θλίψεων καιρόν, ὡς κακῶν αἴτιον τοῖς πειρωμένοις.

«Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με»

«Τῆς πτέρνης»[1], τουτέστι τῆς ὁδοῦ, ἐπειδὴ πτέρνῃ τρίβομεν τὰς ὁδούς, — ἵνα εἴπῃ τῆς πράξεως· ὁδὸν γὰρ πανταχοῦ καλεῖ τὴν πρᾶξιν. Ἐγὼ τοίνυν φησὶν ἐν καιρῷ κινδύνων τότε λογίζομαι φοβεῖσθαι δεῖν, ἐπειδὰν ἀνόμοις τισὶ καὶ ἀτόποις πράξεσιν ὦ κεκυκλωμένος. Ἔρημος μὲν γὰρ ὁ τοιοῦτος τῆς τοῦ Θεοῦ βοηθείας, ἐν κινδύνῳ δὲ ὢν καὶ διὰ τὴν προσοῦσαν ἁμαρτίαν οὐκ ἀπολαύων τῆς τοῦ Θεοῦ βοηθείας, παντὶ λόγῳ τὸν κίνδυνον ἐκδέχεται. Τοῦτο δὲ εἶπεν ὁ μακάριος Δαβὶδ δεικνὺς ὡς πάντων χεῖρον ἁμαρτία, καὶ τοῦτο φοβεῖσθαι χρή, — οὐκ ἐὰν χρημάτων ἡμᾶς ἐνδεεῖς εἶναι συμβαίῃ, — ἐπειδὴ πλούσιος μέν τις ὢν καὶ πλήθει κατεχόμενος ἁμαρτιῶν ἐν συμφοραῖς ἐξετασθεὶς ἀπαλλαγὴν οὐχ εὑρίσκει τῶν κακῶν, ὁ δὲ πένης καὶ διὰ τῆς οἰκείας ἀρετῆς προστάτην ἑαυτοῦ τὸν Θεὸν κατασκευάσας, καὶ ἐν μέσῳ κινδύνων παραδόξως τῆς τοῦ Θεοῦ βοηθείας δέχεται τὴν ἀπόλαυσιν. Τί οὖν, φησίν, ἐν καιρῷ κινδύνων τοῦτο μόνον φοβεῖσθαι δεῖ τῆς ἁμαρτίας τὴν πρᾶξιν;

7-9 «Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι, ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος; Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα αὐτοῦ καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ»

Ἐπειδὴ κἂν πάνυ τις πλούσιός τε καὶ δυνατὸς ᾖ καὶ σφόδρα μὲν τῇ οἰκείᾳ πεποιθὼς δυνάμει, μεγάλα δὲ καὶ ἐπὶ τῷ πλούτῳ

---

1. Ψαλ. 48,6.

φρονῶν[1], ἐν κινδύνοις ἐξετασθεὶς καὶ πλήθει βαρούμενος ἁμαρτιῶν οὐδεμίαν εὑρίσκει τῶν κακῶν ἀπαλλαγήν· οὔτε γὰρ φίλους εὑρίσκει τοὺς λύτρα διδόντας ὑπὲρ αὐτοῦ καὶ ῥυομένους τῶν κατεχόντων κακῶν, οὔτε αὐτὸς χρήματα δοὺς τότε τῷ Θεῷ δυσωπήσας ἀφιστᾷ τῆς τιμωρίας, οὐδὲ γὰρ ἀργυρίῳ ἐξωνήσασθαι τὴν ἑαυτοῦ ψυχὴν ὑπὸ ἁμαρτίας βεβαρημένην δύναται. Ὥστε πάντων ἁμαρτία χείρων, ἐπειδὴ μηδένα ἀπαλλάττειν κινδύνων δύναται τὸν ὑπὸ ταύτης **319** βαρούμενον καὶ τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν ἀναγκαίως ἐκδεχόμενον. Καὶ ὁ μὲν ὑπὸ τῆς ἀνομίας φησὶ κεκυκλωμένος, οὕτως ὁ δὲ ἁμαρτίας καθαρός. Πῶς;

10 «Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα καὶ ζήσεται εἰς τέλος»

Ὁ τοιοῦτος κἂν πεῖραν λαμβάνῃ ποτὲ συμφορῶν, κόπου μὲν αἰσθάνεται καὶ καμάτων, εὑρίσκει δὲ πάντων τῶν κατεχόντων ἀπαλλαγήν, καὶ πρὸς ὀλίγον καμὼν διηνεκῶς ἀπολαύει τῶν καλῶν τῇ τοῦ Θεοῦ βοηθείᾳ ῥᾳδίαν εὑρίσκων τὴν λύσιν. Τὸ οὖν «εἰς τὸν αἰῶνα»[2] τοῦτο εἶπεν ἀντὶ τοῦ πρὸς καιρόν, τουτέστι κἂν εἰς ὀλίγον αἰῶνα κοπιάσῃ καὶ πρὸς καιρὸν βραχύν, ἀλλ' «εἰς τέλος ζήσεται», ἀντὶ τοῦ διηνεκῶς. Σαφέστερον δὲ αὐτὸ Ἀκύλας λέγει, 'παυσάμενος τῷ αἰῶνι τούτῳ, ζῶν εἰς τὸν αἰῶνα διατελέσει'· τοιοῦτό τι σημᾶναι βουλόμενος ὅτι κἂν ἐνταῦθα κἂν ἐν τῷ παρόντι αἰῶνι δόξῃ λυπηρῶν πεῖραν λαμβάνειν, ἀλλὰ διηνεκῆ μετὰ τὴν ἐντεῦθεν ἔξοδον δέξεται τὴν εὐφροσύνην.

«Οὐχ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνῄσκοντας»

Ἐπειδὴ ὅλως περὶ τοῦ μὴ μέγα τι νομίζειν τὰ παρόντα καλὰ διαλέγεται, ἐμνημόνευσε καὶ σοφῶν, «σοφούς» ἐνταῦθα καλῶν οὐκ ἐκείνους τοὺς τὴν κατὰ Θεὸν σύνεσιν κεκτημένους, ἀλλὰ τοὺς οἰομένους διὰ τῶν οἰκείων λογισμῶν ἅπαντα δύνασθαι, οἷς καὶ μάλιστα συμβούλοις οἱ πλούσιοι κέχρηνται. Τοῦτο οὖν λέγει ὅτι ὁ δίκαιος καὶ ἁμαρτίας ἀπηλλαγμένος ἐκείνους μὲν θεωρεῖ πολλάκις «ἀποθνῄσκοντας», — τοὺς οἰομένους καὶ τῷ πλήθει τῶν χρημάτων καὶ τῇ συνέσει τῶν συμβούλων ἅπαντας ὑπερφέρειν ἀν-

1. Πρβλ. Ψαλ. 48,7. **2.** Ψαλ. 48,10.

θρώπους καὶ πάντων κρατήσειν, — αὐτὸς δὲ πείσεται τῶν ἀνηκέστων οὐδέν. Καλῶς εἶπεν «οὐκ ὄψεται καταφθοράν», ἐπειδὴ καταφθορὰ λέγεται ἡ παντελὴς διάλυσις· εἰ γὰρ καὶ πεῖραν δέχεται πολλάκις τῶν λυπηρῶν, ἀφ' ὧν καὶ κοπιᾷ, ἀλλ' οὐ παντελῆ τὴν διαφθορὰν ὑπομένει καίτοι τοὺς ἄλλους ὑπομένοντας ὁρῶν. Οὕτω καὶ Ἀκύλας φησίν 'οὐκ ὄψεται διαφθορὰν ὅταν ὄψεται σοφοὺς ἀποθνῄσκοντας', τουτέστιν οὐδὲν οὗτος ὑπομενεῖ χαλεπόν· τοὐναντίον γὰρ τοὺς ἄλλους ταῦτα πάσχοντας θεάσεται.

11 «Ἐπὶ τὸ αὐτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται»

Ἔδειξεν ὅτι «σοφοὺς ἀποθνῄσκοντας» ἐκάλεσεν οὐ τοὺς ἀληθῶς συνετούς, ἀλλὰ τοὺς εἶναι οἰομένους καὶ θαῤῥοῦντας τοῖς οἰκείοις λογισμοῖς· εἰπὼν γάρ «σοφούς» ἐπήγαγεν «ἄφρων καὶ ἄνους»[1], τουτέστι πάντες οἱ ἄφρονες καὶ ἀσύνετοι κατ' αὐτό «ἀποκαλοῦνται», — τὸ γάρ «ἄφρων καὶ ἄνους» τὸ αὐτὸ λέγει.

«Καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν»

320 Καὶ τὰ μὲν χρήματα, ἐφ' οἷς μεγάλα ἐφρόνουν, κληρονομήσουσιν ἕτεροι.

12 «Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα, σκηνώματα αὐτῶν εἰς γενεὰν καὶ γενεάν»

Αὐτοὶ δὲ οἰκητήριον τοὺς τάφους[2] λαχόντες διηνεκὲς ἕξουσιν αὐτὸ καταγώγιον, οὔτε ἐξιέναι οὔτε κατέχειν ἐκείνων δυνάμενοι.

«Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν αὐτῶν»

Σύμμαχος· 'ἐπονομάσαντες τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν'. Ἐπειδὴ τοῖς πλουσίοις πολλάκις ἔθος τοὺς ἀγροὺς ἀπὸ τῆς οἰκείας ὀνομάζειν προσηγορίας, πολλάκις δὲ καὶ λουτρά, οὕτω δὲ καὶ τὰς οἰκίας ἀπὸ τῶν κεκτημένων καλεῖν εἰώθασιν, τοῦτο λέγει ὅτι τοσοῦτον ἀπώναντο τοῦ πλούτου ὡς τήν τε γῆν καὶ τὰ ἐπ' αὐτῆς ὑπὸ τοῦ Θεοῦ γεγονότα ἀπὸ τῆς οἰκείας καλεῖν προσηγορίας· οὕτω καὶ πόλεις ἀπὸ τῶν οἰκησάντων λέγονται καὶ κῶμαι καὶ πολλὰ ἕτερα ἀπὸ τῶν κεκτημένων.

---

1. Ψαλ. 48,11. 2. Πρβλ. Ψαλ. 48,12.

13 «Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»

Καὶ ὅμως φησὶ τοσαύτην ἔχοντες ἐν τῷ παρόντι βίῳ τὴν ἀπόλαυσιν καὶ πολλὰ μὲν ἐν τῇ φύσει παρὰ τὰ λοιπὰ ζῷα κεκτημένοι τὰ πλεονεκτήματα, πλείστων δὲ καὶ ἀπολαύοντες, οὐ συνῆκαν τῆς παρὰ τοῦ Θεοῦ τιμῆς τὸ μέγεθος, ἀλλὰ τῇ ἀναισθησίᾳ τῆς τῶν προσόντων κτήσεως διαλλάττουσιν οὐδὲν τῶν κτηνῶν[1] τῶν ἐν τῇ φύσει τὸ ἀνοηταίνειν κεκτημένων. Ὥσπερ γὰρ ἐκεῖνα συνίησιν οὐδὲν τῶν προσόντων αὐτοῖς καλῶν, ἀλλ' ἀδιακρίτως ἔχει τὰ προσόντα, οὕτω καὶ οὗτοι πολλῶν καὶ μεγάλων δεξάμενοι παρὰ τοῦ Θεοῦ τὴν ἀπόλαυσιν, τοῦ μὲν εὐχαριστεῖν τῷ δεδωκότι φροντίζουσιν ἔλαττον, ἀνοησίᾳ δὲ συζῶντες ἐν ἁμαρτίαις καταγηράσκουσι· διὸ καὶ δικαίαν ἐκδέχονται παρὰ τοῦ Θεοῦ τὴν ἀπόφασιν.

14 «Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς»

321 Ἀκύλας· 'τοῦτο ὁδὸς ἀνοησίας αὐτοῖς', τῶν κακῶν καὶ τῆς ἀπωλείας. Τὸ γάρ «αὕτη» δεικτικῶς λέγει, τουτέστιν ἡ τοιαύτη πρᾶξις αἰτία τῶν κακῶν αὐτοῖς καθίσταται, καὶ τὸ ἀναισθήτως ἀπολαύειν τῶν τοῦ Θεοῦ καλῶν ἀναγκαίως ἐφέλκεται τοῦ Θεοῦ τὴν κατ' αὐτῶν τιμωρίαν. Καὶ τί φησι; Τὸ πάντων χεῖρον.

«Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν»

Σύμμαχος ἀντὶ τοῦ «καὶ μετὰ ταῦτα»[2] 'οἱ δὲ μετ' αὐτούς' λέγει σαφέστερον εἰπών· λέγει γὰρ ὅτι καί 'οἱ μετ' αὐτούς' μιμοῦνται τοὺς προτέρους, — τὸ γάρ «ἐν τῷ στόματι αὐτῶν» ἀντὶ τοῦ οἷς λέγουσι, τό δέ «εὐδοκήσουσιν» ἀντὶ τοῦ ἀρέσκονται. Ὃ δὲ βούλεται εἰπεῖν ὅτι καὶ τῶν προτέρων πλουσίων δεχομένων τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν καὶ δικαίαν τὴν κόλασιν ὑπομενόντων, οὐδὲ οὕτως οἱ καθεξῆς ἄνθρωποι σωφρονίζονται· τοὐναντίον δὲ ἀρέσκονται τοῖς ὑπ' αὐτῶν λεγομένοις τε καὶ πραττομένοις καὶ ζηλοῦν τὰ ἐκείνων ἐσπουδάκασιν, ὁμοίως περὶ χρήματα ἔχοντες καὶ περὶ τὰ τοῦ βίου καλά, ἔλαττον τῆς ἀρετῆς φροντίζοντες σωφρονίζεσθαι τῇ τῶν προλαβόντων τιμωρίᾳ.

---

1. Πρβλ. Ψαλ. 48,13. **2.** Ψαλ. 48,14.

15 «Ὡς πρόβατα ἐν ᾅδῃ ἔθεντο, θάνατος ποιμανεῖ αὐτούς»

Καίτοι, φησίν, ὁρῶντες ὅτι δίκην προβάτων πολλάκις αἰφνίδιον τὸν θάνατον ὑπομένουσιν, οὐκέτι τὴν ἐκ τοῦ θανάτου προσδοκῶντες ἀπαλλαγήν· τοῦτο γὰρ λέγει «θάνατος ποιμανεῖ αὐτούς»[1], ἀντὶ τοῦ καθέξει λοιπὸν καὶ κρατήσει.

«Καὶ κατακυριεύουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωί»

Πολλάκις δέ, φησί, καὶ δίκαιοι τῇ τοῦ Θεοῦ βοηθείᾳ πολλῶν ἐκράτησαν ἰσχυρῶν τε καὶ πλουσίων, ὀξυτάτην καὶ παρὰ πᾶσαν προσδοκίαν τὴν κατ' αὐτῶν νίκην δεξάμενοι, ὥσπερ πολλάκις οἱ Ἰσραηλῖται καὶ φαίνονται κεκρατηκότες ἀλλοφύλων· ἀπὸ γὰρ τῶν γεγενημένων παιδεύει.

«Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ»

Καὶ πᾶσά φησιν αὐτῶν ἡ ἰσχύς, ἀφ' ἧς βοηθεῖσθαι προσδοκῶσιν, «ἐν τῷ ᾅδῃ» παλαιοῦται, ἵνα εἴπῃ ἐν τῷ θανάτῳ, τουτέστιν ἀφανίζεται θανάτῳ παραδιδομένων ἐκείνων.

«Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν»

322 Καὶ πάσης τῆς περικειμένης δόξης αὐτοῖς ἔξω καθίστανται· ὥστε, φησίν, ἔδει τούτοις τοὺς καθεξῆς ἀνθρώπους σωφρονίζεσθαι καὶ ὁρῶντας τῶν παρόντων τὸ πρόσκαιρον, καὶ μὴ σπουδάζειν περὶ ταῦτα ὧν ἀβέβαιος ἡ κτῆσις, οὐχὶ δὲ τοὐναντίον τοὺς προλαβόντας ἐπὶ τῷ τῆς τιμωρίας αὐτοῖς κοινωνῆσαι.

16 «Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με»

Τό «πλήν» πανταχοῦ ἐν τοῖς ψαλμοῖς οὐ κατά τινα κεῖται διάνοιαν, ἀλλὰ προσεῤῥιμμένως ἀπὸ ἑβραϊκοῦ ἰδιώματος, ὡς καὶ τὸ σὺν καὶ τὸ ἰδοὺ πολλαχοῦ. Τοῦτο οὖν λέγει. Οὗτοι μὲν οὖν, φησί, τῷ θανάτῳ παραδίδονται πάντες, — οἱ μεγάλα μὲν ἐπὶ τοῖς ἐνταῦθα φρονοῦντες, ἀρετῆς δὲ οὐκ ἐπιμελόμενοι, — Θεὸς δὲ δυνατὸς ἕλκειν ἐκ μέσου τοῦ θανάτου κἂν ἤδη κατέχειν δοκῇ· τὸ γὰρ

---

1. Ψαλ. 48,15.

«ἐκ χειρὸς ᾅδου»[1] τοῦτο λέγει ὅτι κἂν ἤδη κρατῇ δυνατὸν καὶ μάλα ῥᾴδιον ἐκσπᾶσαι τῷ Θεῷ. Ἐπειδὴ γὰρ εἶπεν ἄνω ὅτι οὐδὲν ἄξιον φοβοῦμαι ἐν μέσῳ κινδύνων ἢ τὸ ὑπὸ ἁμαρτίας κεκυκλῶσθαι, — ἐπειδὴ κἂν μυριάκις τις πλούσιος εἶναι νομίζηται, ἁμαρτίας δὲ μὴ καθαρεύῃ, ἐν κινδύνοις τῶν κινδύνων οὐχ εὑρήσει τὴν ἀπαλλαγήν, εἶτα πλατύτερον εἶπεν ὅσα καὶ οἷα πάσχουσιν, — καλῶς ἐνταῦθα ἐπήγαγεν ὅτι ὁ Θεὸς δυνατὸς ῥύεσθαι τῶν κακῶν καὶ διὰ τοῦτο προσῆκεν ἀρετῆς ἐπιμελεῖσθαι καὶ σπουδάζειν ἁμαρτίας καθαρεύειν· οὕτω γάρ ἐστιν ἐν μέσοις τοῖς κινδύνοις εὑρίσκειν τῶν κακῶν τὴν ἀπαλλαγήν.

17-18 «Μὴ φοβοῦ, ὅταν πλουτήσῃ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ· ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήμψεται τὰ πάντα, οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ»

Ἐπειδὴ εἶπεν ἄνω ὅτι τοῦτο δεῖ φοβεῖσθαι τῆς ἁμαρτίας τὴν πρᾶξιν, καλῶς ἐνταῦθα ἐπήγαγε τό «Μὴ φοβοῦ»[2], τουτέστιν ἐκεῖνο μὲν νόμιζε φοβερόν, τοῦτο δὲ μή. Καὶ μὴ τοῦτο νόμιζε θαυμαστὸν τὸ πλουτεῖν μηδὲ οἴου μέγα τι προσεῖναι τῷ πλουτοῦντι· κἂν γὰρ δόξῃ πλουτεῖν, ἀλλὰ τελευτῶν ἀφίησιν ἅπαντα καὶ τὰ χρήματα καὶ τὴν δόξαν, μηδὲν μεθ' αὐτοῦ λαμβάνειν δυνάμενος.

19 «Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται»

323 Ἀντὶ τοῦ θαυμασθήσεται, ἐπαινεθήσεται «ἡ ψυχὴ αὐτοῦ»[3] — ἀντὶ τοῦ αὐτός· ἐν γὰρ τῇ παρούσῃ, φησί, ζωῇ μόνον θαυμαστὸς νενόμισται καὶ μέχρι τοσούτου τοὺς ἐκπληττομένους καὶ θαυμάζοντας καὶ θεραπεύοντας ἔχει μέχρις ἂν ζῇ.

«Ἐξομολογήσεταί σοι, ὅταν ἀγαθύνῃς αὐτῷ»

Ἀλλὰ μηδὲ τὴν φιλίαν μέγα τι νόμιζε τοῦ τοιούτου, μέχρι γὰρ τοσούτου τὴν πρός σε φιλίαν ἀσπάζεται καὶ χάριτας ἕξει σοι· τὸ γάρ «ἐξομολογήσεται» τοῦτο λέγει ἀντὶ τοῦ εὐχαριστήσει, φίλον λογιεῖται μέχρις ἂν δώροις αὐτὸν ἐκμειλίττῃ, — τὸ γάρ «ἀγαθύνεις» τοῦτο λέγει ἀντὶ τοῦ τιμᾶς καὶ δῶρα προσφέρεις, καὶ ἔσται

---

1. Ψαλ. 48,16. **2.** Ψαλ. 48,17. **3.** Ψαλ. 48,19.

τῶν δώρων οὐχὶ σὸς φίλος, — ἐπειδὰν δὲ παύσῃ τοῦ τιμᾶν, κἀκεῖνος ἀφίσταται τῆς φιλίας. Τοιοῦτοι γάρ εἰσιν οἱ πολλοὶ τῶν πλουσίων, κέρδους ἕνεκεν προεστῶτες τῶν πολλῶν, ἀφ' ὧν ἂν μὴ κερδαίνωσι μεταβαλλόμενοι μισοῦσι. Καὶ καλῶς τοῦτο ἔθηκεν, ἐπειδήπερ οἱ πολλοὶ περὶ τοὺς πλουσίους ἐπτοημένοι μέγα τι καὶ τὸ ᾠκειῶσθαι τοῖς τοιούτοις νομίζουσι. Μήτε οὖν τὸν πλουτοῦντα φοβερόν, φησί, νόμιζε, μήτε τὴν φιλίαν αὐτοῦ ἀγαθὸν κρῖνε. Εἶτα λέγει καὶ ἑτέραν αἰτίαν, δι' ἣν οὐ προσῆκε τὴν τῶν πλουσίων προστασίαν ἡγεῖσθαι μεγάλην. Τί γάρ φησι;

20 «Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ, ἕως αἰῶνος οὐκ ὄψεται φῶς»

Ἀνάγκη γὰρ αὐτὸν πρὸς τοὺς ἰδίους χωρῆσαι πατέρας[1], ἀντὶ τοῦ ἀποθανεῖν, ὅθεν οὐκέτι δυνατὸν ὑποστρέψαι οὔτε μὴν πάλιν ἀπολαῦσαι τῆς παρούσης ζωῆς καὶ τοῦ ἐνθάδε φωτός, — ὥστε καὶ διὰ τοῦτο καὶ διὰ τὸ ἄπιστον τῆς φιλίας καταφρονεῖν αὐτῶν προσῆκε μᾶλλον. Εἰρηκὼς δὲ περὶ τῶν πλουσίων ἃ πάσχουσι, καλῶς ἐπήγαγε πάλιν·

21 «Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκεν, παρασυνεβλήθη τοῖς κτήνεσιν τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς»

Τουτέστιν ἅπαντα μὲν τοιαῦτα πάσχουσι **324** δικαίως, ἐπειδὴ τῶν παρὰ τοῦ Θεοῦ καλῶν ἀναισθήτως ἀπολαύσουσιν[2]· ἐπήγαγε γὰρ αὐτὸ πάλιν καὶ τέλος ἐποιήσατο τῶν λόγων, οὐχ ἁπλῶς ἀλλὰ τῷ συνεχῶς ὀνειδίζειν τὴν ἐπὶ τοῖς παροῦσιν ἀγαθοῖς ἀναισθησίαν, ἐντρέπων τοὺς κεκτημένους μὴ μέγα φρονεῖν ἐπὶ τοῖς παροῦσιν, εὐχαριστεῖν δὲ μᾶλλον ἐσπουδακέναι Θεῷ καὶ πάσης ἀρετῆς ἐπιμελεῖσθαι.

Ψαλμὸς 49

[672] Ἐνταῦθα πρὸς τοὺς Ἰουδαίους σαφέστατα φαίνεται ποιούμενος τὸν λόγον ὁ μακάριος Δαβίδ, ἐλέγχων αὐτοὺς ὡς ἀμε-

1. Πρβλ. Ψαλ. 48,20. **2.** Πρβλ. Ψαλ. 48,21.

λοῦντας μὲν τῶν νομίμων, τῆς τε ἀρετῆς τοῦ βίου καὶ τῶν λοιπῶν τοῦ Θεοῦ προσταγμάτων, μόνων δὲ τῶν θυσιῶν ἐπιμελουμένους καὶ τὸ πᾶν ἐν ταύταις τιθεμένους, ὡς ἀρκοῦντος αὐτοῖς τοῦ ταῦτα πληροῦν κἂν τῶν λοιπῶν ἀμελήσωσιν. Ἐλέγχει δὲ ὡς καὶ τῇ τοῦ νόμου προσέχοντας ἀναγνώσει μόνῃ, ἀκροωμένους τε τῶν λόγων καὶ φέροντας αὐτὰ διὰ τοῦ στόματος, πράττοντας δὲ τῶν γεγραμμένων οὐδέν, ἀλλ' ἐναντίον τῶν τοῦ νόμου προσταγμάτων τὸν βίον ἐπιδεικνυμένους. Οὗτος μὲν οὖν αὐτῷ σκοπὸς ἐν τῷ παρόντι ψαλμῷ. Φοβερώτερον δὲ αὐτὸ κατασκευάσαι βουλόμενος σχηματοποιεῖ τὸ πᾶν, κριτήριόν τε καθίζων καὶ δικαιολογίαν εἰσάγων τοῦ Θεοῦ ἐλεγκτικὴν τῶν πραγμάτων καὶ τὸ πᾶν συντιθεὶς ὡς ἐνῆν φοβερώτερον ἐργάσασθαι τὸν λόγον. Ἐν μὲν γὰρ τῷ πρὸ τούτου ψαλμῷ πρὸς πάντας ἀνθρώπους λογοποιούμενος ἐκ τῶν κοινῶν λογισμῶν μᾶλλον ἐποιεῖτο τῆς ἀτοπίας τὸν ἔλεγχον, ἐνταῦθα δὲ πρὸς Ἰουδαίους διαλεγόμενος εἰκότως τὸ πᾶν ἀπὸ τῶν τοῦ Θεοῦ ῥημάτων σωφρονίζειν αὐτοὺς καὶ καταπλήττειν πειρᾶται.

1 «Θεὸς θεῶν Κύριος ἐλάλησεν καὶ ἐκάλεσεν τὴν γῆν»

325 Ὡς ἐπὶ βασιλέως μέλλοντος δικάζειν καὶ πολλοὺς συγκαλοῦντος εἰς τὴν τῆς δίκης ἀκρόασιν ἐφθέγξατο, φησίν, ὁ Θεός, πᾶσαν συγκαλῶν τὴν γῆν. Τὸ γὰρ «ἐλάλησε καὶ ἐκάλεσεν»[1] οὐχ ἕτερον καὶ ἕτερον λέγει, ἀλλ' ἀντὶ τοῦ «ἐλάλησε» καλῶν «τὴν γῆν», θεοὺς δὲ καλεῖ τοὺς Ἰουδαίους ἐνταῦθα οὐχ ἁπλῶς, ἀλλ' ἁμαρτάνοντας μέλλων ἐλέγχειν ἑξῆς, εἰκότως ἐπαίρει τῇ προσηγορίᾳ τὴν δοθεῖσαν αὐτοῖς παρὰ τοῦ Θεοῦ τιμήν, δεικνὺς ὥστε μειζόνως ἀγνωμονοῦντας ἐλέγξαι.

«Ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν»

Ἵνα εἴπῃ τὴν σύμπασαν, βαρύτερον Ἰουδαίοις κατασκευάζων τὸν ἔλεγχον, ὡς τοῦ Θεοῦ κρίνοντος αὐτοὺς ἐπὶ πάντων τῶν ἐθνῶν· τοῦτο γὰρ ἦν βαρύτερον τὸ τῶν ἐναντίων παρόντων ἁμαρτάνοντας καὶ ἀγνωμονοῦντας περὶ τὸν εὐεργέτην ἐλέγχεσθαι.

---

1. Ψαλ. 49,1.

2 «Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ»

Τό «ἐκ Σιών», τουτέστι πρὸς τό «ἐλάλησεν», ἐκεῖθεν ἐφθέγξατο, ὅπου «ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ»[1] καλῶς, — ἐπειδὴ πρὸς Ἰουδαίους διελέγετο, παρ' οἷς ὑπελαμβάνετο ὁ Θεὸς ἐν τῷ Σιὼν ὄρει οἰκεῖν τε καὶ διάγειν, — «εὐπρέπειαν ὡραιότητος» λέγων τὸ ὑπερβάλλον κάλλος, τὴν ὑπερβάλλουσαν δόξαν, τὴν ὑπερβάλλουσαν τιμήν, τουτέστιν ἐκεῖθεν ἐφθέγξατο καὶ νῦν ἔνθα περίβλεπτος ἀεὶ διὰ τῶν θαυμάτων γνωρίζεται. Οὕτω καὶ Ἀκύλας, 'ἐκ Σιὼν τετελεσμένης κάλλει ὁ Θεὸς ἐπεφάνη', τουτέστιν ἐκεῖθεν ἐφάνη, ἐκεῖθεν ἐφθέγξατο.

2-3 «Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται»

«Ἐμφανῶς», ἵνα εἴπῃ οὐχ ἁπλῶς τὴν οἰκείαν παρουσίαν ποιήσεται, ἀλλὰ μετὰ πολλῆς τῆς περιβολῆς καὶ τοῦ φόβου, ὥστε μηδὲ λαθεῖν τινα τὰ λεγόμενα. Τὸ δέ «καὶ οὐ παρασιωπήσεται»[2], ἀντὶ τοῦ οὐ γὰρ ἀνέξεται τῶν γινομένων ἐπὶ πολύ.

3 «Πῦρ ἐναντίον αὐτοῦ καυθήσεται, καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα»

326 Ἐπειδὴ τῶν βασιλέων ἔθος προηγεῖσθαι τοὺς ὁπλομάχους δόρατά τε ἐπιφερομένους καὶ τόξα, δι' ὧν γνωρίζουσι τὸν βασιλέα τοῖς κατὰ τῶν ἐναντίων πολέμοις ἐναβρυνόμενον, διὰ τοῦτο καὶ ὁ μακάριος Δαβίδ φησιν ἐπὶ τοῦ Θεοῦ ὅτι προηγούμενον ἔχει πῦρ καὶ περὶ αὐτὸν καταιγίδα σφοδροτάτην, ἵνα εἴπῃ τὴν κόλασιν καὶ τὴν τιμωρίαν ἐπάγεται, ᾗ τοὺς ἁμαρτάνοντας παιδεύει.

4 «Προσκαλέσεται τὸν οὐρανὸν ἄνω καὶ τὴν γῆν διακρῖναι τὸν λαὸν αὐτοῦ»

Ἐπειδὴ εἶπεν ὅτι ἐκ Σιὼν φανήσεται, ἵνα μηδὲν μικροπρεπὲς περὶ τοῦ Θεοῦ νοῶσιν, «ἄνω», φησί, καλεῖ «τὸν οὐρανόν», ὥστε δεῖξαι τὸν Θεὸν πολὺ καὶ τοῦ οὐρανοῦ ἀνώτερον ὄντα. Καλεῖ δέ, φησί, «τὸν οὐρανὸν καὶ τὴν γῆν»[3], ἀντὶ τοῦ τὰς οὐρανίους δυνάμεις

1. Ψαλ. 49,2. **2.** Ψαλ. 49,3. **3.** Ψαλ. 49,4.

καὶ τοὺς ἐπὶ τῆς γῆς οἰκοῦντας ἀνθρώπους, — ἵνα εἴπῃ τὰ σύμπαντα καλεῖ ἐπὶ τὴν τοῦ κριτηρίου ἀκρόασιν, — ὥστε ἐπὶ πάντων ἐλέγξαι σφαλλομένους· τὸ γὰρ ὅλον, ὡς ἔφην, σχηματοποιεῖ τὴν ἐξέτασιν καὶ τὸν ἔλεγχον.

5 «Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτούς»

Ὡς καθεσθέντος λοιπὸν τοῦ Θεοῦ καὶ παραγενομένων μὲν τῶν ὀφειλόντων παρεῖναι τῇ ἐξετάσει, ἑτοίμων δὲ ὄντων καὶ τῶν κολαστηρίων, καλῶς εἶπε τό «συναγάγετε»[1], τουτέστιν ἀγάγετε λοιπὸν τοὺς κρινομένους, ἕτοιμος γὰρ ὁ δικαστὴς ἐξετάζειν καὶ τὸ κριτήριον εὐτρεπές. Τοὺς δέ «ὁσίους» εἶπεν ἐκ τῆς γνώσεως ἐπαίρων αὐτοὺς πρὸ τῶν ἐλέγχων, ὥστε βαρύτερον δεῖξαι τὸ πταῖσμα, διδάσκων δὲ ἐπὶ τίνι καὶ συνάγονται οἱ κρίνεσθαι μέλλοντες. Καὶ ὥσπερ ὁριζόμενος τὸ ἔγκλημά φησι·

«Τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις»

327 Τοὺς οὕτω διακειμένους ὡς ὅτι τὸ πᾶν τοῦ Θεοῦ τῆς νομοθεσίας ἐν ταῖς θυσίαις περιώρισται, — ὅπερ ἐστὶν ὕβρις οὐ μικρὰ τοῦ Θεοῦ, εἴπερ καταλιπὼν τὸ τῆς ἀρετῆς ἐπιμελεῖσθαι, μόνον ταῖς θυσίαις αὐτοὺς προσέχειν κατηνάγκαζεν.

6 «Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ»

Ὅτι γὰρ ταῦτά φησιν οὐ δικαίως νομίζουσιν, οὔτε μὴν δίκαια πράττουσι γνώσονται «οἱ οὐρανοί»[2], τουτέστιν οἱ παρόντες, οἱ ἀπὸ τῶν κρινομένων παρὰ τῷ Θεῷ τὸ δίκαιον εὑρήσουσιν, ὥστε μετὰ τὴν ἐξέτασιν καὶ θαυμάζειν τοῦ Θεοῦ τὸ δίκαιον.

«Ὅτι ὁ Θεὸς κριτής ἐστιν»

Ἀντὶ τοῦ καὶ τοῦτο ἐροῦσιν ὅτι ἀληθὴς καὶ δίκαιος κριτής ἐστιν ὁ Θεός. Τὸ γάρ «κριτής» ἀντὶ τοῦ δίκαιος κριτὴς λέγει, ὥσπερ καὶ ἡμεῖς πολλάκις εἰώθαμεν λέγειν ἰδοὺ δικαστὴς περὶ τῶν ἀκριβῶς καὶ ὀρθῶς δικαζόντων.

---

1. Ψαλ. 49,5. **2.** Ψαλ. 49,6.

7 «Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι»

Ὡς τοῦ κριτηρίου λοιπὸν συγκεκροτημένου καὶ παρόντων τῶν ἀκουόντων, παρόντων δὲ καὶ τῶν κρινομένων, ἀρχόμενον τῆς πρὸς αὐτοὺς δικαιολογίας εἰσάγει τὸν Θεόν. Ἄκουσόν μου, φησί, καὶ φθέγξομαι, καλῶς τό «Ἄκουσον» πρῶτον ὡς πρὸς ἀπειθοῦντας ἤτοι καὶ ὡς πρὸς ἀπόδειξιν τοῦ φιλανθρώπως κρίνειν τὸν Θεόν, οὐκ ἀπὸ καταπλήξεως ἀρχομένον ἀλλ' ἀπὸ παραινέσεως.

«Ἰσραήλ, καὶ διαμαρτυροῦμαί σου»

Πρός σε γὰρ μοί φησιν ὁ λόγος. Καλῶς δὲ τό «διαμαρτυροῦμαι»[1], ὡς παρόντων τῶν ἀκουόντων καὶ μαρτυρεῖν τῇ ἀπειθείᾳ δυναμένων.

«Ὁ Θεὸς ὁ Θεός σού εἰμι ἐγώ»

328 Ὁ ποιήσας, ὁ πολλάκις εὐεργετήσας, ὁ τὸν νόμον δεδωκώς «ἐγώ» καὶ οὐχ ἕτερος. Τί τοίνυν ὃ λέγω;

8 «Οὐκ ἐπὶ ταῖς θυσίαις σου ἐλέγξω σε»

Ὅτι μηδείς μοι λόγος πρός σε περὶ τῶν θυσιῶν[2]· ἔλαττον γάρ μοι μέλει τούτου, κἂν μὴ πληροῦται, ὥστε μηδὲ παραλιμπάνοντας ἐλέγχειν.

«Τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μού ἐστι διὰ παντός»

Καὶ γὰρ ὁρῶ σε αὐτάρκως μοι θυσίας προσάγοντα, ὥστε τούτου γε ἕνεκεν οὐδ' ἂν ἐδεήθην λόγου. Τί οὖν ἐστιν, ὃ φημί;

9 «Οὐ δέξομαι ἐκ τοῦ οἴκου σου μόσχους οὐδὲ ἐκ τῶν ποιμνίων σου τράγους»

Ὅτι οὐδὲ προσίεμαι ταῦτα διδόμενα, εἴτε καὶ μόσχον, εἴτε καὶ τράγον προσφέροις. Ἔν τισι δὲ τῶν ἀντιγράφων ἀντὶ τοῦ «τράγους»[3] χιμάρους κεῖται, ἵνα εἴπῃ τοὺς χειμερίους, τοὺς ἐνιαυσιαίους, ἃ χειμῶνος ἑνὸς ἐν πείρᾳ γέγονε. Καὶ διὰ τί ταῦτα οὐ δέχομαι;

1. Ψαλ. 49,7. 2. Πρβλ. Ψαλ. 49,8. 3. Ψαλ. 49,9.

10-11 «Ὅτι ἐμά ἐστιν πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσιν καὶ βόες· ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστιν»

Σὺ μὲν γὰρ ὀλίγα μοι προσάγεις, ἅπαντα δέ ἐστιν ἐμά, εἴτε τὰ ἐν τοῖς ὄρεσι «θηρία» εἴτε τά «κτήνη», τά τε ἄγρια καὶ τὰ ἥμερα, ἀλλὰ καί «τὰ πετεινὰ τοῦ οὐρανοῦ»[1], — τὸ γάρ «ἔγνωκα» ἀντὶ τοῦ ὑπ' ἐμέ ἐστιν, ὑπὸ τὴν γνῶσιν τὴν ἐμήν, — εἰ δὲ καί τι οἱ ἀγροὶ καλὸν ἔχουσι ταῦτα μετ' ἐμοῦ ἐστιν, ἀντὶ τοῦ ἐμά, οὐδέν ἐστιν ἀλλότριον ἐμοῦ οὐδὲ κεχωρισμένον τῶν ἐν τῇ κτίσει. Τί οὖν μοι προσάγεις τὰ ἐμά; Καὶ ἐπειδὴ παρὰ τοῖς ἀνθρώποις οἱ μὲν προσάγουσιν ὡς χαριζόμενοι, οἱ δὲ θύουσι χρείας ἕνεκεν τὰ αὐτῶν ἐκείνων ὥσπερ οἱ μάγειροι καταθύουσι τῶν δεσποτῶν ἕνεκεν, ἀνεῖλε δὲ τὸ πρῶτον ὅτι οὐ χρεία ταῦτα προσάγεσθαι, πάντα γὰρ ἐμὰ ἀναιρῶν, τὸ δεύτερόν φησιν.

12 «Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω»

329 Καλῶς τό «ἐὰν πεινάσω»[2], ἐπεὶ δῆλον ὡς οὐ πεινῇ Θεός. Κατὰ εἰρωνείαν γὰρ διδοὺς τὸ μὴ ἐγχωροῦν, ἐντρέπει μειζόνως· οὐδὲ γάρ «ἐὰν πεινάσω», φησί, σοῦ χρῄζω.

«Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς»

Τί γὰρ σμικρολόγως τοῦδε καὶ τοῦδε μέμνημαι; Ἅπαντα ἁπλῶς ἐμά, ἐπειδὴ καὶ ὑπ' ἐμοῦ γεγένηται. Καὶ ὥστε μὴ δόξαι τὴν εἰρωνείαν ἀληθῆ, — ἀσθενεστέροις γὰρ οὖσιν Ἰουδαίοις ἐν τῇ περὶ τὸν Θεὸν γνώσει διελέγετο ὁ Προφήτης, — ἐπάγει·

13 «Μὴ φάγομαι κρέα ταύρων ἢ αἷμα τράγων πίομαι;»

Ἀλλὰ μὴν ταῦτα ἐσθίω[3], καὶ ἐκ τούτων συνέστηκα, καὶ χαρίζῃ μοι προσκομίζων τροφήν; Οὐ δῆτα. Ὥστε τούτων ἀπόστηθι· οὔτε γὰρ ὑπὸ ἐνδείας, οὔτε ὑπὸ χρείας συνελαυνόμενος ζητῶ ἵνα ἢ πεινῶν παραμυθήσωμαι τὸ πάθος, ἢ οὐκ ἔχων κτήσωμαι τὰ μὴ προσόντα. Τί δὲ ἃ ἐπιζητῶ;

---

1. Ψαλ. 49,10. **2.** Ψαλ. 49,12. **3.** Πρβλ. Ψαλ. 49,13.

14 «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως»

Ἀκύλας· ‛θῦσον τῷ Θεῷ θυσίαν εὐχαριστίας’. Ταύτην μοι προσάγαγε τὴν θυσίαν τὴν τοῦ ὕμνου, ἀντὶ τοῦ σαυτόν μοι θῦμα προσάγαγε, εὐχαρίστως μοι ζῆν ἐσπουδακὼς καὶ ὅλον μοι σαυτὸν ἀνατιθείς.

«Καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου»

Ἀντὶ τοῦ ἐμοὶ εὔχου πάντοτε περὶ πάντων, τοῦτό μοι ἀποδίδου καὶ ταῦτα πλήρου. Τὸ δὲ εὔχου[1] μοι περὶ πάντων, ἵνα εἴπῃ ἐμὲ ἡγοῦ πάντων σοι τῶν ἀγαθῶν αἴτιον, καὶ παρ’ ἐμοῦ πᾶν ὅτι ποτὲ καλὸν ἐκδέχου. Οὐδὲ γάρ ἐστιν εὔχεσθαι μὴ τοῦτο πεπεισμένον.

15 «Καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με»

Οὐδὲ γὰρ εἰς κενόν σοι τὸ τῆς ὑπονοίας ἀποβήσεται, ἐπείπερ οὕτως οἰόμενος κἂν ἐν μέσαις καλῇς ταῖς θλίψεσιν[2] εἰσακουσθήσῃ καὶ τεύξῃ **330** τοῦ σπουδαζομένου, ὥστε καὶ μείζονα τοῦ πάλιν δοξάσαι λαβεῖν ἐκ τῆς εὐεργεσίας τὴν ἀφορμήν. Οὕτω τὸ ταῖς θυσίαις προσέχειν τῆς ἀρετῆς καταμελοῦντας ἐκβαλών, ἐντεῦθεν λοιπὸν περὶ τῆς τοῦ νόμου διαλέγεται ἀναγνώσεως, δεικνὺς καὶ ταύτην αὐτοῖς ἀνωφελῆ παραβαινομένων τῶν προσταγμάτων, ὥστε μηδὲ ἐπὶ τούτῳ μάτην μεγαλοφρονεῖν. Ἐντεῦθεν καὶ ὁ Ἀπόστολος λαβὼν εἰκότως ἐπὶ τοῖς ὁμοίοις, ὀνειδίζων αὐτοῖς φησιν, «ὁ οὖν διδάσκων ἕτερον σεαυτὸν οὐ διδάσκει;»[3] καὶ ὅσα κατ’ ἐκεῖνο τὸ μέρος τῆς αὐτῆς ἐχόμενα διανοίας φησί.

16 «Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός. Ἵνα τί σὺ διηγῇ τὰ δικαιώματά μου καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου;»

Ἀλλὰ τοῦτο, φησίν, ὅτι πολλὴν ποιῇ τῆς ἀναγνώσεως τοῦ νόμου τὴν σπουδήν, καὶ φέρεις ἐπὶ τοῦ στόματος τὰ νόμιμα, καὶ ἀναγινωσκομένου ἀκούεις προθύμως, ἀλλὰ τοῦτο οὐκ ἀπολογία. Τοῦτο γὰρ αὐτὸ καὶ μᾶλλον ἐξάπτει με καθ’ ὑμῶν, ὅτι τὸν νόμον

---

1. Πρβλ. Ψαλ. 49,14. **2.** Πρβλ. Ψαλ. 49,15. **3.** Ρωμ. 2,21.

εἰδότες καὶ τῶν προσταγμάτων ἀκροώμενοι καὶ διὰ στόματος φέροντες[1], ἐν τῇ πράξει τὸ ἐναντίον ἐπιτηδεύετε· ὥστε περιττή σοι καὶ ἡ ἀνάγνωσις, μᾶλλον δὲ ὕβρις ἐμὴ καὶ αὕτη τὸ λέγοντος μὲν ἀκούειν καὶ προστάττοντος ἐν τῷ νόμῳ, τῆς δὲ πράξεως πάντη καταῤῥᾳθυμεῖν.

17 «Σὺ δὲ ἐμίσησας παιδείαν καὶ ἐξέβαλες τοὺς λόγους μου εἰς τὰ ὀπίσω»

Ἐν γὰρ ταῖς πράξεσι ζητῶν τὴν περὶ τὸν νόμον διάθεσιν, τὸ ἐναντίον εὑρίσκω ὅτι καὶ ἀποστρέφῃ, καὶ διαπτύεις, καὶ μακράν που βαλὼν ἐν οὐδενὸς μέρει τίθεσαι τὰ νόμιμα. Καὶ πόθεν τοῦτο;

18 «Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ»

Συμπράττεις τοῖς κλέπταις[2], ἀντὶ τοῦ κλέπτεις· οὐδὲ γὰρ ἑτέρως ἐστὶ συμπρᾶξαι.

«Καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις»

Κοινωνὸς φαίνῃ καὶ τῶν μοιχῶν· τὰ γὰρ αὐτὰ καὶ τοῖς τοιούτοις ἐπιτηδεύεις. Οὕτω καὶ ὁ Ἀπόστολος, «ὁ κηρύσσων μὴ κλέπτειν κλέπτεις; ὁ λέγων μὴ μοιχεύειν μοιχεύεις;»[3], τὸ γὰρ ἐπὶ τοῖς ὁμοίοις ὀνειδίσαι, τούτων εἰς ὑπόμνησιν αὐτοὺς ἀγαγεῖν ἠβουλήθη.

19 «Τὸ στόμα σου ἐπλεόνασεν κακίαν»

331 Φθέγγεται πᾶν ὅτι κακόν[4].

«Καὶ ἡ γλῶσσά σου περιέπλεκεν δολιότητα»

Οἱ γὰρ λόγοι σου παντὸς δόλου μεστοί· ὑποκρίνῃ γὰρ φιλίαν διὰ τῶν λόγων, ἐναντία φρονῶν ἐπὶ τῆς ψυχῆς. Τί γάρ;

20 «Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον»

Τὸ αὐτὸ λέγει τῷ «τοῦ ἀδελφοῦ»[5], τῇ δὲ ἐπεξηγήσει ἐμφαντι-

---

1. Πρβλ. Ψαλ. 49,16. **2.** Πρβλ. Ψαλ. 49,18. **3.** Ρωμ. 2,21-22. **4.** Πρβλ. Ψαλ. 49,19. **5.** Ψαλ. 49,20.

κώτερον αὐτὸ κατασκευάζει· ὅταν συλλαλῇς φιλίαν ὑπισχνῇ τοῖς ῥήμασι, χωρὶς δὲ γενόμενος ἐπιβουλεύεις φθεγγόμενος ἃ μὴ χρὴ περὶ αὐτούς, ἐπιβουλὰς ἀρτύων κατ' αὐτοῦ.

21 «Ταῦτα ἐποίησας, καὶ ἐσίγησα»

Ταῦτα πράττοντος ἠνειχόμην ἀεί, νῦν δὲ φθέγγομαι. Διὰ τί;

«Ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος»

Ἁμαρτίας ὑπόθεσιν ἐποιήσω τὴν μακροθυμίαν τὴν ἐμήν[1], ὡς ἀρεσκομένῳ μοι προσεσχηκὼς οἷς ἔπραττες, καὶ τοῦτο στοχαζόμενος ἀφ' ὧν ἐσιώπουν. Ἵνα τοίνυν μὴ τοῦτο νομίζῃς.

«Ἐλέγξω σε καὶ παραστήσω κατὰ πρόσωπόν σου»

Σαφῆ ποιοῦμαι τῶν πταισμάτων τὸν ἔλεγχον τῶν σῶν, ἄγων εἰς μέσον τὰ πταίσματα, τιμωρούμενος ἐφ' οἷς ἔπραξας, ὥστε σὺ καὶ τούτου αἴτιος, ὃς πολλάκις μακροθυμήσαντος οὐκ ἀπέστης τοῦ πταίειν, ἀλλ' ὡς χαίροντος τοῖς γιγνομένοις ἐπέμενες τῷ πράττειν. Δείκνυσι δὲ διὰ τούτων ὅτι κἂν κολάζῃ Θεὸς οὐ πάθος οἰκεῖον πληρῶν καὶ ἰδίαν ὀργὴν ἐπάγει τὴν τιμωρίαν, ἀλλὰ περιστέλλειν βουλόμενος τὸ κακὸν καὶ ἀφιστᾶν τοῦ πταίειν ἐσπουδακώς. **332** Ἄρχεται λοιπὸν καὶ παραινέσεως· τοῦτο γὰρ πρέπον τῷ Προφήτῃ, ἐπειδὴ τούτων ἕνεκεν καὶ τοῖς προλαβοῦσιν ἐχρήσατο καὶ τῇ προσωποποιήσει τὸ ἔγκλημα κατασκευάζων φοβερόν.

22 «Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ»

Μὴ ἁπλῶς, φησί, τούτων ἀκούσητε, ἀλλὰ φοβηθέντες τῶν λεχθέντων τὴν ἀπειλὴν ἀπόστητε τοῦ πταίειν, ἵνα μὴ κερδάνητε τὴν κόλασιν[2].

«Μήποτε ἁρπάσῃ καὶ μὴ ᾖ ὁ ῥυόμενος»

Ὡς ἂν μὴ ἐπιμενόντων ὑμῶν τῷ πταίειν δίκην λεόντος ἁρπάζοντος σφοδρὰν ὑμῖν ἐπαγάγῃ τὴν τιμωρίαν ὁ Θεός· οὔτε γάρ ἐστιν ὁ ἀπαλλάξαι τῆς παρ' αὐτοῦ τιμωρίας ἰσχύων. Τί δέ ἐστιν ὃ ζητεῖς καὶ πρᾶξαι προσήκει, ὥστε καὶ ἀπαλλαγῆναι τῆς τιμωρίας;

---

1. Πρβλ. Ψαλ. 49,21. 2. Πρβλ. Ψαλ. 49, 22.

23 «Θυσία αἰνέσεως δοξάσει με»

Τοῦτο ἀπαιτεῖ καὶ τοῦτο λέγει, ὅτι δόξαν οἰκείαν καὶ εὐφροσύνην λογίζομαι τὴν δι' εὐχαριστίας θυσίαν[1], καὶ τοῦτο ὡς ἐκλεκτὸν προσίεμαι θῦμα.

«Καὶ ἐκεῖ ὁδός, ᾗ δείξω αὐτῷ τὸ σωτήριον τοῦ Θεοῦ»

Τό «ἐκεῖ» πολλαχοῦ οὐκ ἐπὶ τόπου λέγει, ἀλλ' ἐπὶ πράγματος. Οὕτως ἐν τῷ λε' ψαλμῷ «Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσῃ με. Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν»[2], ἀντὶ τοῦ μὴ κρατήσαιέν μου οἱ ἁμαρτωλοί· ὑπὸ γὰρ τὴν τοιαύτην τιμωρίαν ἴδιον τῶν ἁμαρτωλῶν πίπτειν. Οὕτω καὶ ἐν τῷ ρλβ' «ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν καὶ ζωὴν ἕως τοῦ αἰῶνος»[3], ἀντὶ τοῦ τοῖς ἐπὶ τὸ αὐτὸ κατοικοῦσιν ἀδελφοῖς, ἵνα εἴπῃ τοῖς ὁμονοοῦσιν. Καὶ ἐνταῦθα οὖν τό «ἐκεῖ» λέγει, ἀντὶ τοῦ τῷ τοι τοιούτῳ ταύτην μοι θυσίαν προσάγοντι καὶ εὐχαρίστως ζῆν ἐσπουδακότι, τούτῳ δείκνυμι ὁδὸν τῆς παρ' ἐμοῦ σωτηρίας, ἵνα εἴπῃ τοὺς τοιούτους σῴζω, τοὺς **333** τοιούτους εὐεργετῶ· αὐτῷ δὲ λέγει τῷ ἀνωτέρῳ τό «Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με»[4].

Ψαλμὸς 50

Οὐχ ἔστιν ἡ ἐπιγραφὴ τοῦ Δαβίδ, ἀλλὰ δηλονότι ὁ ψαλμός· ὁ ψαλμὸς δὲ πρόῤῥησίς ἐστιν, οὐχ ἐξαγόρευσις, καὶ τοῦτο δηλοῖ τὰ τελευταῖα, — «Ἀγάθυνον» γάρ, φησίν, «ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ»[5] καὶ ἑξῆς. Ἐπὶ δὲ τοῦ Δαβὶδ οὐδὲ κατελέλυτο ἡ Σιών, οὐδὲ τὰ τείχη περιῄρητο τῆς Ἱερουσαλήμ, οὐδ' ἡ τοῦ ‹ναοῦ› ἐπέπαυτο λειτουργία, οὐδὲ καθῄρητο τὰ θυσιαστήρια, — οὐδὲ δεῖσθαι τοίνυν περὶ τοιούτων ὁ μακάριος Δαβὶδ ἠναγκάζετο, οὐδὲ γὰρ οὐδ' ἡ τούτου ἁμαρτία κοινὸν

---

1. Πρβλ. Ψαλ. 49,23. **2.** Ψαλ. 35,12-13. **3.** Ψαλ. 132,3. **4.** Ψαλ. 49,14-15. **5.** Ψαλ. 50,20.

ἤνεγκεν τῷ ἔθνει κακόν· γελοῖον γὰρ εἰ οὗτος μὲν κατὰ Προφήτην ἠφίετο τῆς ἁμαρτίας, ἀντ' αὐτοῦ δὲ τὸ ἔθνος ἅπαν μηδὲν κοινωνῆσαν τῆς παρανομίας ἐκολάζετο. Περὶ τίνος οὖν ταῦτα λέγει ἢ δηλονότι περὶ τοῦ λαοῦ παντός, ὃς διὰ ὑπερβολὴν οἰκείων ἀσεβημάτων καὶ ἁμαρτημάτων αἰχμάλωτος γέγονε, τῆς πόλεως εἰς ἔδαφος πεσούσης, καὶ τοῦ ναοῦ πυρποληθέντος, καὶ τοῦ θυσιαστηρίου κατασκαφέντος;

Προφητεύων τοίνυν ὁ Δαβὶδ ἐκ προσώπου τοῦ λαοῦ ταῦτά φησιν ἐν τῇ προῤῥήσει, διδάσκων αὐτοὺς ὅπως ὀφείλουσι προσπίπτειν τῷ Θεῷ καὶ τὰς ἑαυτῶν ἐξαγορεύειν πλημμελείας, μὴ ἀπογινώσκειν τε τῆς σωτηρίας διὰ τὸ μέγεθος τῆς κατεχούσης συμφορᾶς, ἀλλὰ ἀναμένειν τοῦ Θεοῦ τὴν βοήθειαν, ἣν φιλάνθρωπος ὢν καὶ ἐλεήμων μεταμελομένοις ἐφ' οἷς ἥμαρτον παρέξει, ἀφιεὶς τε τὰ ἁμαρτήματα καὶ ἐν τῇ τούτων συγχωρήσει λύων αὐτοῖς τὴν τιμωρίαν. Διὰ τοῦτο, πρῶτον τῶν ἁμαρτημάτων διδάξας αἰτεῖν τὴν συγχώρησιν, ἐπάγει «Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών» καὶ ἑξῆς, τοῦτο προλέγων ὅτι, εἰ ἀληθῶς μετανοήσαντες ἐπιμένοιτε, τεύξεσθε μὲν τῆς συγχωρήσεως καὶ ποιηθήσεται δὲ ὑμῖν ἅπαντα ἐπὶ τοῦ προτέρου σχήματος καὶ τῆς θαυμαζομένης εὐκοσμίας, ἣν ἐπὶ μὲν τῆς ἀλλοτρίας χώρας πληροῦν οὐκ ἠδύνασθε, ἐπανεληλυθότες δὲ πληροῦν ἐν ἐξουσίᾳ καταστήσεσθε. Ὑπὲρ τούτων τοίνυν λέγει καὶ τό «Σοὶ μόνῳ ἥμαρτον»[1] καὶ ἑξῆς, ἀντὶ τοῦ πολλῶν ἀνομημάτων ἐργάτης γέγονα ἐπ' ὄψεσι ταῖς σαῖς. Ἔστι δὲ καὶ ταῦτα ἀπόδειξις μὲν τῆς ἐμῆς κακίας, σύστασις δὲ τῆς σῆς ἀγαθότητός φησιν· εἰ γὰρ εἰς λόγους ἔλθοιμεν καὶ κριθείημεν πρὸς ἀλλήλους καὶ προφέροιτο δὲ τὰ σά, ἐγὼ μὲν ἡμαρτηκὼς πάντοτε φανοῦμαι, αὐτὸς δὲ πάντοτε εὐεργετῶν, — εἶτα ἐγὼ μὲν ἀγνώμων κριθήσομαι διὰ πάντων καὶ τῆς νῦν με συνεχούσης τιμω**334**ρίας ἔνοχος, αὐτὸς δὲ φανήσῃ δικαίως μοι ταῦτα ἐπαγαγών, ὥστε οὐδὲ λόγος μοί τις δίκαιος ὑπολήψεται πρός σε εἰ μὴ τῇ συνήθει σου φιλανθρωπίᾳ παριδεῖν ἐθελήσῃς τὰ πλημμελήματα.

Καὶ μαρτυρεῖ ταῦτα περὶ Ἰουδαίων εἰρῆσθαι τῷ Δαβὶδ καὶ ὁ θεῖος Παῦλος περὶ τῶν αὐτῶν ταῦτα διαλεγόμενος· εἰπὼν γὰρ

1. Ψαλ. 50,6.

«Τί οὖν τὸ περισσὸν τοῦ Ἰουδαίου;»[1] καὶ δείξας τί ποτε ἦν, καὶ λύσας τὴν ἀντίθεσιν τὴν λέγουσαν ὅτι πολλοί «ἠπίστησαν» Ἰουδαῖοι, — καὶ ἐπειπὼν «γινέσθω ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης»[2], — λοιπὸν ἐπάγει καθὼς γέγραπται «ὅτι ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαι»[3]. Τοῦτο γὰρ σαφῶς λέγει ὅτι τὰ περὶ τοὺς Ἰουδαίους γεγονότα μεγάλα· καὶ πρό γε πάντων ὅτι τῶν ἐθνῶν διεκρίθησαν, ὅτι περιτομῇ κατεσημάνθησαν, ὅτι νόμους ὑπεδέξαντο θείους, ὅτι παρὰ πάντας ἀνθρώπους μεγίστης ἐπιμελείας ἠξιώθησαν. Εἰ δὲ τοιούτων τετυχηκότες αὐτοὶ πρὸς τὸ χεῖρον εἶδον τοῦτο ‹ › τουτέστιν, ἀλλ' οὐχὶ τοῦ Θεοῦ κατηγ‹ ›αν· εἰ πάντες γὰρ εἵλοντο τὰ χείρω, οὐδὲ τοῦτο τὸν Θεὸν διαβάλλει, ἔσται δὲ μᾶλλον ἀληθὲς ἐκεῖνο τὸ περὶ αὐτῶν εἰρημένον παρὰ τοῦ προφήτου Δαβίδ «ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου»[4] καὶ ἑξῆς· ὥστε δῆλον, καθὼς καὶ τῷ μακαρίῳ ἐξείληπται Παύλῳ, ὅτι περὶ Ἰουδαίων ταῦτα προὔλεγεν ὁ Δαβίδ, ἀλλ' οὐχὶ περὶ ἑαυτοῦ, περὶ ὧν καὶ ἐπάγει «Ἰδοὺ γὰρ ἐν ἀνομίαις»[5]. Οὗτοι γὰρ οὐ μόνον ἠσέβουν, ἀλλὰ καὶ πρὸς πᾶσαν ἀκολασίαν ἐσύροντο, — «ἕκαστος γάρ», φησίν «ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον»[6] τὴν ὑπερβολὴν αὐτῶν τῆς ἀκολασίας διὰ τοῦ Προφήτου κατονειδίζων ὁ Θεός, — διὸ καὶ εἰκότως ἂν οἱ ἐκ τοιούτων φύντες γάμων λέγοιεν «Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην»[7].

Προφητεύει τὰ κατὰ τὸν ἐν Βαβυλῶνι λαόν, — καὶ τὸ ἐκείνων πρόσωπον ἀναλαβὼν ὡς ἐξομολογουμένων μὲν ὑπὲρ ἁμαρτίας, αἰτούντων δὲ συγχώρησιν μὲν πταισμάτων, λύσιν δὲ τῶν κακῶν, οὕτω τὸν ψαλμὸν ἐξεφώνησεν. Εἰ δὲ ἄλλην τὴν ἐπιγραφὴν εἶναι συμβαίνει, ξενιζέσθω μηδείς· οὐδαμοῦ γὰρ ταῖς ἐπιγραφαῖς δουλεύοντες ἐφάνημεν, δεξάμενοι δὲ ταύτας μόνας ὅσας εὕρομεν ἀληθεῖς εἰρήκαμεν· εἰρήκαμεν δὲ καὶ περὶ τούτου ὅσαπερ ἐχρῆν ἐν τῷ προοιμίῳ, πρὸ τῆς κατὰ λέξιν ἐξηγήσεως.

3 «Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου»

---

1. Ρωμ. 3,1. **2.** Ρωμ. 3,4. **3.** Ψαλ. 50,6. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 50,7. **6.** Ἱερ. 5,8. **7.** Ψαλ. 50,7.

Ἐκ προσώπου τοῦ λαοῦ **335** λέγει. Τὸ δέ «μέγα ἔλεός σου καὶ τὸ πλῆθος τῶν οἰκτιρμῶν»[1], ὥστε δεῖξαι ὅτι διὰ πλῆθος καὶ μέγεθος τῶν ἀνομιῶν τὴν αἰχμαλωσίαν ὑπέμειναν, ἃς οὐ δυνατὸν λυθῆναι μὴ πολλῆς τῆς τοῦ Θεοῦ φιλανθρωπίας περὶ αὐτοὺς δειχθείσης.

4 «Καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με»

Τὸ αὐτὸ σημαίνει καὶ διὰ τοῦ «ἐπὶ πλεῖον πλῦνόν με»[2], τουτέστι τελείως καθάρισόν με τῆς ἁμαρτίας τελείαν ποιησάμενος τὴν συγχώρησιν.

5 «Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός»

Ἔδειξεν ὅτι δικαίως αἰτεῖ τῶν ἁμαρτημάτων τὴν συγχώρησιν, ἐπιγινώσκων ὅτι ἥμαρτεν· οὔτε γὰρ μικρὰν ἀφορμὴν εἰς σωτηρίαν τίθεται τοῦ πταίσματος τὴν ἐπίγνωσιν, ἐπίγνωσιν δὲ λέγει οὐκ αὐτὸ τοῦτο τὸ εἰδέναι ὡς ἁμαρτία τὸ πραχθέν, — κοινὸν γὰρ τοῦτο μικροῦ πάντων ἀνθρώπων, — ἀλλὰ τὸ ὡς ἐπὶ ἡμαρτημένοις ἐπιδείξασθαι τὴν μεταμέλειαν, ὅπερ ἐστὶ τῶν ἀληθῶς ἐγνωκότων ὅτι ἥμαρτον. Διὸ ἐπάγει «καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός»[3]· ἀεὶ γοῦν πρὸ τῶν ὀφθαλμῶν ἔχω αὐτήν, τῷ συνεχεῖ τῆς μνήμης μονονουχὶ προσωποποιῶν καὶ πρὸ τῶν ὀφθαλμῶν αὐτὴν ἱστῶν.

6 «Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα»

Τό «Σοὶ μόνῳ» ὡς πρὸς τοὺς κατενέχοντας ἐν τῇ αἰχμαλωσίᾳ λέγει. Οἶδα μὲν οὖν, φησίν, ὅτι «ἥμαρτον», καὶ τούτου γε λήθην οὐκ ἄν ποτε ποιήσασθαι δυναίμην, ἀλλ' «ἥμαρτον» εἴς σε, εἰς ὃν εὐεργετηθεὶς ἀγνώμων ἐφάνην, οὐκ εἰς τούτους· οὔτε γὰρ ἔπαθόν τι παρ' ἐμοῦ, καὶ ποιοῦσιν ἀνήκεστα.

«Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε»

---

1. Ψαλ. 50,3. **2.** Ψαλ. 50,4. **3.** Ψαλ. 50,5.

Τό «ὅπως» κατὰ ἰδίωμα λέγει τὸ γραφικόν, οὐκ ἐπὶ αἰτίας, τὸ δὲ ἀναγκαίως ἐκβὰν ὡς αἰτίαν τεθεικώς· τίθησι γὰρ ἀεὶ τὸ αἰτιατὸν ἀντὶ τοῦ αἰτίου ὅταν ἐξ ἀνάγκης ἑπόμενον ᾖ τῷ αἰτίῳ, — ἐπειδὴ γὰρ ἀπὸ τῶν αἰτίων ὡς ὁμο**336**λογούμενα τὰ αἰτιατὰ κατασκευάζομεν ὅταν ἕπεσθαι αὐτὰ ἀναγκαίως συμβαίνῃ, οἷον εἴ τις λέγῃ ὅτι εἰ τὸ πῦρ ἐνέπεσεν τῷ στυππείῳ ἐξ ἀνάγκης αὐτὸ ἠνάλωσε, καὶ ὡς ὁμολογούμενον ἀπὸ τοῦ πρώτου τὸ δεύτερον λαβὼν τὸ ἕπεσθαι τῇ τοῦ πυρὸς ἐπινεμήσει τοῦ στυππείου τὴν ἀνάλωσιν. Διὰ τοῦτο ἔθος τῇ θείᾳ Γραφῇ λέγειν ἀεὶ τὸ αἰτιατὸν ἀντὶ τοῦ αἰτίου, ἂν ἑπόμενον ἐξ ἀνάγκης ᾖ. Ὥσπερ γὰρ τὰ αἴτια ἀπὸ δόξης ἐστὶ τῶν ὁμολογουμένων αἰτιατῶν, οὕτω καὶ τὸ αἰτιατὸν ἀπὸ δόξης εἶναι δύναται τοῦ αἰτίου, ἂν πάντως ἑπόμενον εἶναι συμβαίνῃ, — οἷον ἕπεται τῷ ἡλίῳ φαίνοντι τὸ πάντως ἡμέραν εἶναι, τὸ τὸν ἥλιον φαίνειν λέγοι γὰρ ἄν τις ἡμέραν εἶναι, ἥλιος γὰρ φαίνει καὶ τοῦ τὸν ἥλιον φαίνειν τὸ ἡμέραν εἶναι· δύναιτο γὰρ ἄν τις λέγειν, ἀντιστρέψας εἰ βούλοιτο, ἀνάγκη τὸν ἥλιον φαίνειν, ἡμέρα γάρ ἐστιν. Ἀπὸ γὰρ τοῦ ἑπομένου τῷ αἰτίῳ ἀνάγκη ὁμοίως τὸ αἰτιατὸν ἀπὸ δόξης εἶναι δύναται τὸν αἴτιον, ὥσπερ οὖν καὶ τὸν αἴτιον τοῦ αἰτιατοῦ πάντως ἑπομένου.

Διὰ τοῦτο τοίνυν ἡ θεία Γραφή, ὅταν τι ἀναγκαίως ἕπηται πάντως τῷ γεγενημένῳ, ὡς αἰτίαν αὐτὸ τίθησιν, τὸ ἀναγκαῖον δηλοῦσα τοῦ πράγματος. Οὕτω γὰρ κἀνταῦθα, ἐπειδὴ τοῦ Θεοῦ τὸ μέγιστα αὐτοὺς εὐεργετηκότος ἀγνώμονες περὶ αὐτὸν οἱ τοῦ λαοῦ ἐγεγόνεσαν, ἀνάγκη ἦν, δικαστηρίου καὶ κρίσεως γεγενημένης, φανῆναι τὸν Θεὸν δικαιότατα αὐτοὺς καὶ νῦν ὑπὲρ τῆς ἀγνωμοσύνης τιμωρούμενον. Τέθεικε τοίνυν αὐτὸ ὡς αἰτίαν, δεικνὺς ὅτι πάντως ἕπεται τοῖς γεγενημένοις τὸ δικαίως φανῆναι τὸν Θεὸν ἅπαντα πεποιηκότα περὶ αὐτούς. Λέγει γὰρ ὅτι εἷς σέ φησιν μόνον «ἥμαρτον», οὐχὶ τοὺς κατέχοντας. Διὰ τί; Ὅτι τοσαῦτα εὐεργετηθεὶς παρά σου οὕτως ἀγνώμων ἐγενόμην, ὡς, εἰ κριτήριον γένοιτο καὶ λέγοις μὲν αὐτὸς διηγούμενος τὰς εἰς ἐμὲ χάριτας, τὰ ἐν Αἰγύπτῳ, τὰ κατὰ τὴν ἔρημον, τὰ μετὰ ταῦτα, λέγοιτο δὲ καὶ τὰ παρ' ἐμοῦ πάντοτε γενόμενα κακά, — τοιαῦτα γὰρ τὰ ἐμά, — «νικήσῃς» ἐν τῇ κρίσει καὶ φανήσῃ δικαιότατα τιμωρησάμενος, οὕτως ἀγνώμονας εἰκότως κολάζων· ὥστε κατὰ ταύτην

τὴν διάνοιαν καὶ πολλὴν ἔχει τὴν ἀκολουθίαν πρὸς τῷ «Σοὶ μόνῳ ἥμαρτον»[1], ἐκείνους δέ ... οὔτε γὰρ ἐναντίον φησὶν ἀδικοῦσιν ἐκεῖνοι παθόντες οὐδέν, ὥστε καὶ δικαίους εἶναι δέξασθαι τὴν κόλασιν. Καλῶς δὲ καὶ ὁ Ἀπόστολος πρὸς **337** Ἰουδαίους διαλεγόμενος, δεικνὺς ὡς ἡ ἐκείνων ἀπείθεια οὐδαμῶς τοῦ Θεοῦ διαβάλλει τὴν οἰκονομίαν, ἐχρήσατο τῇ μαρτυρίᾳ περὶ αὐτῶν εἰρημένῃ κατὰ πρόῤῥησιν τοῦ μακαρίου Δαβίδ. Πῶς δέ; Εἰ εἰσέλθοιμεν εἰς κρίσιν, «νικήσῃς».

7 *«Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου»*

Οὐ τὴν τῶν τεχθέντων φύσιν αἰτιᾶται, ἄπαγε, οὐδὲ γὰρ περὶ ἐκείνων φύσιν ὅλως εἴρηται, ἀλλὰ τὴν τῶν τεκόντων γνώμην ἐξαγγέλλει, — τὸ γάρ «ἐν ἀνομίαις» συλληφθῆναι καί «ἐν ἀνομίαις» κισσηθῆναι ὑπὸ τῆς μητρός, δῆλον ὅτι τῶν γεννώντων ἀλλ' οὐ τῶν γεννωμένων μηνύει τὸ ἔγκλημα, — κἀκείνων γνώμην διαβάλλει, ἀλλ' οὐ φύσιν τῶν τικτομένων, ὡς οἱ ἀνόητοι βούλονται. Οὐ γὰρ περὶ αὐτοῦ ταῦτα λέγει ὁ Δαβίδ. Πῶς γὰρ ἂν ἐκεῖνος περὶ τῆς οἰκείας ταῦτα εἴποι φύσεως, περὶ οὗ φησιν ὁ Θεός, «εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου»[2], οὗ γε οὐ μόνον τὴν φύσιν οὐκ αἰτιᾶται, ἀλλὰ καὶ τὴν προαίρεσιν θαυμάζει; Οὐ περὶ αὐτοῦ τοίνυν ταῦτά φησιν ὁ Δαβίδ, οὐδ' εἴ τις ἐκ πλάνης τὸν ψαλμὸν ἐπιγέγραφεν οὕτως, ἤδη τοῦτο τοῦ ψαλμοῦ τὴν δύναμιν ἐλέγχει.

Ἐγὼ μὲν γάρ «ἐν ἁμαρτίαις» φαίνομαι συνειλημμένος καὶ μηδέποτε τοῦ κακοῦ γενόμενος ἐκτός. Καλῶς δὲ ὡς πρὸς τὸν λαὸν τό «ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου»[3], ἐπειδὴ ἐκ πολλοῦ πταίοντες καὶ παρὰ τῶν πατέρων οἱ καθεξῆς τὰς ἁμαρτίας διαδεχόμενοι ἀπὸ τῶν τοιούτων καὶ τῆς γεννήσεως τὰς ἀφορμὰς πολλάκις ἐδέχοντο, οὐδέποτε ἐν μέσῳ τοῦ κακοῦ διαλείποντος ἐν αὐτοῖς. Οὕτω γοῦν φαίνεται καὶ ὁ Θεὸς πολλάκις ὀνειδίσας αὐτοῖς ὡς ἀδεῶς μοιχωμένοις, ποτὲ μὲν διὰ τοῦ Ἱερεμίου λέγων· «ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζον»[4], ποτὲ δὲ διὰ τοῦ Ἰεζεκιὴλ «ἕκαστος», φησί, «τὴν

---

1. Ψαλ. 50,6. **2.** Πράξ. 13,22. **3.** Ψαλ. 50,7. **4.** Ἱερ. 5,8.

γυναῖκα τοῦ πλησίον αὐτοῦ ἠνόμουν»[1]. Εἰκότως οὖν ἐκ προσώπου τῶν τοιούτων εἶπεν «Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην», ὡς ἐκ τοιούτων γάμων καὶ παρανόμων μίξεων τὴν σύλληψιν καὶ τὴν ἀφορμὴν τῆς γεννήσεως ἐσχηκότων. Τὸ δέ «Ἰδού» ἀπὸ τοῦ ἑβραϊκοῦ ἰδιώματος πρόσκειται, ἐπεὶ μηδὲ πρόκειται αὐτῷ εἰπεῖν τι δεικτικῶς. Τοιαῦτα μὲν οὖν φησι τὰ παρ' ἐμοῦ, τὰ δὲ παρά σου ὁποῖα;

8 «Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας»

338 Παρ' ἐμοῦ τὸ ἀληθές, τὸ δίκαιον, τὸν ὀρθὸν βίον καὶ οὐχ ἁπλῶς ἀπῄτησας, ἀλλὰ πρότερον αὐτὸς ὑπέδειξας τὸ καλόν. Τί γάρ;

«Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι»

«Ἄδηλα καὶ κρύφια σοφίας»[2] λέγει αὐτὸν τὸν νόμον, τὰς εἰς αὐτοὺς οἰκονομίας, τὸ μέγεθος τῶν θαυμάτων, τὸ πάντων μεῖζον τὰ πνευματικὰ χαρίσματα. Ἀντὶ τούτων, φησίν, ἐζήτησας παρ' ἐμοῦ ὥστε τὸ ἀληθὲς ἀγαπᾶν, ὅπερ ἦν κέρδος πάλιν ἐμόν· ἐγὼ δὲ τὸ ἐναντίον ἁμαρτίας ἠμειψάμην τὴν χάριν. Οὐκοῦν ἐπειδὴ τούτων οὕτως ἐχόντων, εἰ κριτήριον γένοιτο, τὰ μὲν παρά σου ἐπαίνων μεστά, τὰ δὲ παρ' ἐμοῦ ἄξια τιμωρίας. Διὰ τοῦτο τί;

9 «Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι»

Αἰτῶ παρά σου τὴν συγχώρησιν παρασχεθῆναι· δυνήσῃ γὰρ βουληθεὶς καθαρόν με πάντων ἀποφῆναι τῶν κακῶν. «Ὑσσώπῳ»[3] δὲ εἶπεν, ἐπειδὴ ἔθος ἦν τοῖς ἐν νόμῳ καθαίρουσιν τούτῳ κεχρῆσθαι.

«Πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι»

Ζοφώδη με ὄντα ταῖς ἁμαρτίαις, ἂν βουληθῇς χιόνος ποιήσεις λευκότερον. Καὶ τί τὸ ἐκ τούτου κέρδος;

10 «Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην»

Τότε ποιήσεις ῥημάτων ἀκοῦσαι εὐφροσύνης μεστῶν, — λέγει

---

1. Ἰεζ. 22,11. **2.** Ψαλ. 50,8. **3.** Ψαλ. 50,9.

δὲ τῆς ἐπανόδου καὶ τῶν κατὰ τὴν ἐπάνοδον καλῶν· τὸ γάρ «ἀκουτιεῖς»[1], ἀντὶ τοῦ ἀκοῦσαι ποιήσεις.

«Ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα»

Τότε, ἐπειδὰν ἀφιῇς τὰς ἁμαρτίας, οἱ ἰσχυρῶς συντετριμμένοι νῦν εὐφροσύνης ἐσόμεθα μεστοί· τὸ γὰρ ἰσχυρῶς συντετρῖφθαι διὰ τῆς τῶν ὀστέων σημαίνει φωνῆς, ἐπειδὴ ἰσχυρᾶς συντριβῆς σημεῖον τὸ τὰ ὀστᾶ παθεῖν.

11 «Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου»

Καὶ μηδὲ ἀποβλέψῃς ταῖς ἁμαρτίαις μου[2], ἵνα μὴ μυσαχθῇς με διὰ τὸ πλῆθος.

«Καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον»

Ἀλλὰ μᾶλλον αὐτὰς ἀφάνισον τῇ οἰκείᾳ φιλανθρωπίᾳ.

12 «Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός»

339 Ἀκύλας· 'ἀνάκτισον'. Δός μοι, φησί, λογισμὸν καθαρόν, διάνοιαν ὀρθήν.

«Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου»

Προαιρέσεως, φησίν, ἀγαθῆς πλήρωσόν μου τὰ ἔνδον, ἀντὶ τοῦ ὅλον με πλήρωσον καλῶν λογισμῶν, ὀρθῆς διανοίας, ἀγαθῆς προαιρέσεως. Τὸ γάρ «πνεῦμα»[3] τὴν προαίρεσιν λέγει, οὐκ ἐνταῦθα μόνον ἀλλὰ καὶ ἑτέρωθι, — οὕτω καὶ ἐν τοῖς Ἀριθμοῖς περὶ τοῦ Χάλεβ ἐπὶ τῶν κατασκόπων, «ὅτι μὴ εὑρέθη» φησί, «πνεῦμα ἕτερον ἐν αὐτῷ»[4], ἵνα εἴπῃ προαίρεσις ἄλλη καὶ ἐναντία.

13 «Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου»

Καὶ μηκέτι εἰς αἰχμαλωσίαν ἀπελθεῖν με παρασκευάσῃς, ἀλλ' εἶναι ἀεὶ ἐν τῷ ναῷ, καὶ πρὸ τοῦ προσώπου ἑστάναι τοῦ σοῦ καταξίωσον.

---

1. Ψαλ. 50,10. **2.** Πρβλ. Ψαλ. 50,11. **3.** Ψαλ. 50,12. **4.** Ἀριθ. 14,24.

«Καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ»

Ἐπειδὴ τούτῳ τὸ κατὰ τὸν ναὸν ἡγιάζετο καὶ σύμβολον μὲν ἦν τοῦ Θεοῦ παρουσίας ἡ τοῦ Ἁγίου Πνεύματος ἐπιφοίτησις, τεκμήριον δὲ τῆς ἀπουσίας ἡ ἀπόληψις, μὴ λάβῃς, φησίν, ἀφ' ἡμῶν «τὸ Πνεῦμά σου τὸ ἅγιον»[1], ἀλλ' οὕτω ποίησον ἵνα καὶ αὐτὸς ᾖς ἐν τῷ ναῷ «καὶ τὸ Πνεῦμά σου» παρῇ «τὸ ἅγιον» καὶ ἡμεῖς ἁμαρτίας ἐλεύθεροι ἐκεῖ χορεύοντες παρά σοι πληρῶμεν τὰ νόμιμα, μὴ πάλιν μακρὰν εἰς αἰχμαλωσίαν πεμπόμενοι.

14 «Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου»

Χάρισαί μοι τὴν σωτηρίαν σου καὶ τὴν ἐπὶ σωτηρίαν εὐφροσύνην. Καλῶς δὲ εἶπεν τό «Ἀπόδος», ἐπειδὴ πρὸ τούτου ἀπέλαυσεν.

«Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με»

Καὶ οὕτω μέν, φησίν, κατάστησον ἰσχυρόν, ὥστε μὴ μόνον ἀπηλλάχθαι τῆς αἰχμαλωσίας καὶ ἔξω καθεστάναι τῆς παρούσης δουλείας, ἀλλὰ γὰρ καὶ ἡγεῖσθαι καὶ κρατεῖν ἑτέρων. «Πνεύματι» δὲ εἶπεν «ἡγεμονικῷ»[2], ὡς ἐξ αὐτοῦ τοῦ κρατεῖν τὴν δύναμιν λαμ**340**βανόντων· ἐπειδὴ γὰρ τοῦ Πνεύματος πάντα τὰ χαρίσματα, τὰ χαρίσματα δὲ ἦν τὸ καὶ τῶν ἀλλοφύλων κρατεῖν, αὐτῷ λογίζεται τὸ κατόρθωμα.

15 «Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν»

Τούτων γὰρ οὕτω γενομένων, δυνήσομαι πολλοὺς καὶ ἑτέρους ἐπιστρέψαι[3] εἰς τὸ δέον· κρατήσας γὰρ τῶν ἀλλοφύλων πιστοὺς ἐπὶ τὴν γνῶσιν μετάξω τὴν σήν.

16 «Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς τῆς σωτηρίας μου»

Οὐκοῦν ἀπάλλαξόν με τούτων τῶν φονικῶν, τῶν περὶ αἵματα[4] ἐσχολακότων. Βούλεται δὲ καὶ ἀπὸ τοῦ ἐκείνων τρόπου δεῖξαι ἑαυτὸν ἄξιον ὄντα τοῦ τυχεῖν τῆς εὐεργεσίας. Ἂν γὰρ τοῦτο ποιήσῃς, τί;

---

1. Ψαλ. 50,13. **2.** Ψαλ. 50,14. **3.** Πρβλ. Ψαλ. 50,15. **4.** Πρβλ. Ψαλ. 50,16.

«Ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου»

Μετὰ πολλῆς τῆς εὐφροσύνης διηγήσομαι ὡς ἐπεμελήθης τοῦ δικαίου, τῶν ἀσεβῶν καὶ μοχθηρῶν ἀπαλλάξας ἡμᾶς τοὺς τὴν σὴν ἔχοντας γνῶσιν.

17 «Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου»

Σὺ γάρ, εἰ τὸ στόμα ἡμῶν ἀνοίγοις[1], ὁ τῇ εἰς ἡμᾶς εὐεργεσίᾳ παρέχων ἡμῖν ἀφορμάς, ὑποθέσεις τοῦ πολλὰ μὲν εἰπεῖν, πολλαῖς δὲ χρήσασθαι ταῖς εἴς σε ὑμνῳδίαις, εὐχαριστῆσαι δὲ ὅσον εἰκὸς διηγουμένους τὰ γεγονότα.

18 «Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν»

Ἱκανὸν γάρ με καὶ τοῦτο κινῆσαι πρὸς εὐχαριστίαν, ὅτι ἐγὼ μὲν κἂν εἰ θυσίας ἀπῄτεις μετὰ πάσης «ἂν ἔδωκα»[2] τῆς προθυμίας, ὥστε δυνηθῆναι τῶν κατεχόντων ἀπαλλαγῆναι κακῶν. Σὺ δὲ τί;

«Ὁλοκαυτώματα οὐκ εὐδοκήσεις»

Τουτέστιν, οὐκ ᾔτησας τοιοῦτο παρ' ἐμοῦ οὐδέν.

19 «Θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουθενώσει»

341 Ἀλλὰ θεασάμενος ἡμᾶς καταπεπτωκότας τοῖς λογισμοῖς καὶ ὑπὸ τῆς ἀθυμίας κεκακωμένους καὶ οὐδὲ λογίσασθαί τι ἢ συνιέναι δυναμένους ὑγιὲς διὰ τὸ πλῆθος τῶν κατεχόντων κακῶν, οὐδὲν θεὶς θυσιῶν οὐδὲ ἀπαιτήσας ταῦτα παρ' ἡμῶν, ἀπήλλαξας τῆς συμφορᾶς. Ἔδειξε δὲ τοῦ Θεοῦ τὸ εὐεργετικόν, ἄνω μὲν δι' ὧν παρέσχεν αὐτοῖς ἄρξας οἰκείᾳ φιλανθρωπίᾳ τῆς εἰς αὐτοὺς εὐεργεσίας, ἐνταῦθα δὲ δι' ὧν ἀπήλλαξε τῆς αἰχμαλωσίας οὐδὲν ἄξιον ἐπιδειξαμένους. Οὕτω καὶ τὸν λαὸν δείκνυσιν ἄξιον τοῦ τυχεῖν φιλανθρωπίας, ὅτι τε ἐπέγνω τὸ ἁμάρτημα, καὶ ὅτι χείρους οἱ κατέχοντες, καὶ ὅτι ἐπιγνώσεται τὴν χάριν τυχόν, καὶ σχολάσει τοῖς ὑπὲρ τῶν γεγονότων ὕμνοις, ἀλλὰ καὶ ὅτι τὰς θυσίας[3] ἀδιαλεί-

---

1. Πρβλ. Ψαλ. 50,17. **2.** Ψαλ. 50,18. **3.** Πρβλ. Ψαλ. 50,19.

πτως πληρώσει τοῦ λοιποῦ· τοῦτο γὰρ ἐν τοῖς ἑξῆς λέγει. Τούτοις δὲ χρῆται τοῖς λόγοις, ὥστε καὶ τοῦ Θεοῦ τὸ ἀγαθὸν ἐμφῆναι καὶ τούτους παιδεῦσαι μὴ ἁπλῶς αἰτεῖν τὴν χρηστότητα, σπουδάζειν δὲ ὥστε καὶ τὰ παρ' αὐτῶν μὴ ἐλλείπειν.

20 «Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών»

Ἀρεσάσθω σοι ἀγαθόν τι περὶ αὐτῆς βουλεύσασθαι, θέλησον αὐτὴν τῶν οἰκείων ἀγαθῶν πληρῶσαι.

«Καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ»

Ἀπόδος αὐτῇ πάλιν τὸν πρότερον κόσμον, ἀνακαινίσας καὶ ποιήσας περίβλεπτον. Εἰ δὲ κατὰ τὴν ἐπιγραφὴν ὑπὲρ τῆς οἰκείας ἁμαρτίας ταῦτα ὁ μακάριος Δαβὶδ ἔλεγεν, τί τὸ κατεπεῖγον ἦν μεμνῆσθαι τῆς Ἱερουσαλήμ[1]; Ποίαν γὰρ ἦν ὑπομείνασα τότε καθαίρεσιν;

21 «Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα»

Τῆς γὰρ πόλεως οἰκοδομηθείσης πάλιν καὶ τοῦ ναοῦ κατασκευασθέντος, ἡδεῖά σοι καὶ τῶν θυσιῶν ἡ προσαγωγὴ φανήσεται ἐν τῷ καθήκοντι τόπῳ κατὰ τὸ τοῦ νόμου βούλημα γενομένη.

«Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους»

Τὸ τηνικαῦτα γὰρ καὶ ἡμεῖς πληρώσομεν τὰ δέοντα, προσάγοντες τὰς θυσίας καὶ τοὺς μόσχους ἀνάγοντες[2].

Ψαλμὸς 51

342 Ἐπιστρατευσάντων ποτὲ Ἀσσυρίων ταῖς δέκα φυλαῖς, ἅπαντες μὲν οἱ περὶ τὸν Ἐφραῒμ ἀπῆλθον αἰχμάλωτοι. Πολλοὶ δὲ καὶ τὴν τοῦ νόμου θρησκείαν προσεδωκότες καὶ ὅλους ἑαυτοὺς τοῖς Ἀσσυρίοις πιστοποιήσαντες μετέβαλον τὸν τρόπον, τῆς ἐκείνων ἐχόμενοι γνώμης καὶ θεοὺς ἐπιγραφόμενοι τοὺς παρ' ἐκείνων

---

1. Πρβλ. Ψαλ. 50,20. **2.** Πρβλ. Ψαλ. 50,21.

νομιζομένους. Τοιοῦτος ἦν καὶ ὁ Ῥαψάκης[1], Ἰουδαῖος μὲν τὸ γένος, μεταβαλλόμενος δὲ τὴν εὐσέβειαν. Ὅτε τοίνυν αἰχμαλώτους λαβόντες οἱ Ἀσσύριοι τοὺς τῶν δέκα φυλῶν ἐπῆλθον καὶ τὴν Ἱερουσαλήμ, ὡς καὶ ταύτην ἐρημώσοντες εὐκόλως, σταθεὶς ἔξωθεν τοῦ τείχους ὁ Ῥαψάκης διελέγετο τοῖς ἐν τῇ πόλει ὥστε ἀνοῖξαι μὲν τὰς πύλας, δέξασθαι δὲ τὸν Ἀσσύριον, ποτὲ μὲν ἀπειλῶν, ποτὲ δὲ ὀνειδίζων ὡς οὐδὲν αὐτοὺς ὠφελεῖν τοῦ Θεοῦ δυναμένου, ποτὲ δὲ καὶ ὑπισχνούμενος «εἰς κρείττονα» γῆν αὐτοὺς ἀπελεύσεσθαι καὶ κρείττονα καρπώσασθαι χώραν εἰ παραδοῖεν τὴν πόλιν[2], — ταῦτα πόῤῥωθεν ὁ μακάριος Δαβὶδ ἐν τῷδε προλέγει τῷ ψαλμῷ.

3 «Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός»

Ἐπειδὴ τῇ ἀσεβείᾳ τῶν ῥημάτων, καὶ τῇ μοχθηρίᾳ τῆς γνώμης, καὶ τῇ ὠμότητι τοῦ τρόπου μετὰ πολλῆς ἐκέχρητο τῆς παῤῥησίας ὁ Ῥαψάκης, ὡς πρὸς αὐτόν φησι· τί κέχρησαι τῇ κακίᾳ μετὰ πολλῆς τῆς ἀναιδείας καὶ ὥσπερ καυχώμενος ἐπ' αὐτῇ, δέον αἰσχύνεσθαι μᾶλλον; Τὸ δέ «ὁ δυνατός» κατ' εἰρωνείαν εἶπεν, ἐπειδὴ μεγάλα φρονῶν τοῦτο ἄνω καὶ κάτω φθεγγόμενος ἐφαίνετο.

3-4 «Ἀνομίαν ὅλην τὴν ἡμέραν; Ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου»

343 «Ὅλην τὴν ἡμέραν»[3] ἐκείνην λέγει καθ' ἣν κυκλώσαντες ἐφύλαττον τὰ Ἱεροσόλυμα. Διὰ πάσης, φησί, τῆς ἡμέρας φθέγγεται ἄδικα ἀκορέστως, οὐ διαλιμπάνων ἐν τοῖς κακοῖς. Τό «ἐλογίσατο ἡ γλῶσσά σου»[4], ἀντὶ τοῦ ἀδίκους λογισμοὺς ἐφθέγξατο ἡ γλῶσσά σου· οὐ γὰρ αὐτὴ ἡ λογιζομένη, ἀλλ' ἡ τοῖς λογισμοῖς ἐξυπηρετουμένη.

4 «Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον»

«Δόλον» καλεῖ ἐκεῖνα τὰ ῥήματα, οἷς ἀπατᾶν αὐτοὺς ἐπειρᾶτο ὥστε προδοῦναι τὴν πόλιν, λέγων ἀπελεύσεσθαι καὶ πολὺ τῆς ἡμετέρας βελτίονα· ἐπενόησας γάρ, φησί, πανουργίαν, δι' ἧς ᾠή-

---

1. Πρβλ. Δ' Βασ. 18,17,26,28,29. 19,8. Ἡσ. 36,2. **2.** Πρβλ. Δ' Βασ. 18,19-36. **3.** Ψαλ. 51,3. **4.** Ψαλ. 51,4.

θης ἀπατῆσαι αὐτοὺς καὶ προδοῦναι τὴν πόλιν, παρασκευάσας ἄρδην ἀφανίσαι πάντας μετὰ πολλῆς τῆς εὐκολίας. Τοῦτο γὰρ εἶπεν τό «ὡσεὶ ξυρόν» ἐκ μεταφορᾶς τοῦ ξυροῦ ῥᾳδίως τε καὶ ἀθρόως τὰς τρίχας ὑποτεμνομένου.

5 «Ἠγάπησας κακίαν ὑπὲρ ἀγαθωσύνην»

Προετίμησας τῶν ἀγαθῶν τὰ κακά, μᾶλλον τοῖς Ἀσσυρίοις προσθέμενος ἢ τὰ ἡμέτερα καὶ τὰ τοῦ Θεοῦ φρονῶν.

«Ἀδικίαν ὑπὲρ τὸ λαλῆσαι δικαιοσύνην»

Κατὰ κοινοῦ τό «ἠγάπησας»[1]. Εἵλω δέ, φησί, μᾶλλον ἄδικα λαλεῖν ἢ δίκαια· ἄδικον γὰρ ἦν τὸ πείθειν αὐτοὺς προδοῦναι τὴν πόλιν τοῖς ἐχθροῖς.

6 «Ἠγάπησας πάντα τὰ ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν»

«Ῥήματα καταποντισμοῦ»[2] καλεῖ ἅπερ ἐφθέγγετο ὡς ἱκανὰ ἀνελεῖν καὶ ἀφανίσαι τοὺς Ἰουδαίους, ἐκ μεταφορᾶς τῶν καταποντουμένων. Μᾶλλον δέ, φησίν, ἐσπού**344**δαζες τοιαῦτα φθέγγεσθαι, δι' ὧν πάντως ἡμᾶς ἀφανίζειν ἤλπισας, καὶ ῥήμασιν ἐκέχρησο δόλου καὶ ὑποκρίσεως μεστοῖς. Τὸ δέ «ἠγάπησας» λέγει δεικνὺς ὡς διαθέσει τὸ κακὸν ἔπραττεν, ὅπερ ἐστὶν ἐπίτασις τῆς ἁμαρτίας.

7 «Διὰ τοῦτο ὁ Θεὸς καθελεῖ σε εἰς τέλος»

Διὰ τοῦτο παντελῆ τὴν καθαίρεσιν ὑπομενεῖς καὶ τελείαν ἐπάξει σοι τὴν τιμωρίαν ὁ Δεσπότης. Τὸ δέ «εἰς τέλος» εἶπεν ὡς ἤδη μὲν καθαιρεθέντος δι' ὧν αἰχμάλωτος ἐλήφθη, τελείαν δὲ ὑποστησομένου τὴν καθαίρεσιν παρὰ τοῦ Θεοῦ. Πῶς;

«Ἐκτίλαι σε καὶ μεταναστεύσει σε ἀπὸ σκηνώματος καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων»

«Ἀπὸ σκηνώματος», ἵνα εἴπῃ ἀπὸ κατοικήσεως, τουτέστιν ἀπὸ τοῦ κατοικεῖν ἐν ἀνθρώποις. Ἀνασπάσει σε, φησίν, ὁ Θεὸς ἀπὸ τῆς τῶν ἀνθρώπων κατοικίας, — ἀντὶ τοῦ ἀναιρήσει· οὕτως

---

1. Ψαλ. 51,5. **2.** Ψαλ. 51,6.

γὰρ ἦν τῆς τῶν ἀνθρώπων κατοικίας ἐκσπασθῆναι διὰ τοῦ θανάτου. Διὸ ἐπήγαγεν «καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων»[1], ῥίζωμα λέγων τὸ γένος, ἐπειδὴ πᾶσιν ἀνθρώποις ἐν τάξει ῥίζης ἐστὶ τὸ γένος. Σὲ τοίνυν φησὶ μετὰ παντός σου τοῦ γένους ἀφανίσει καὶ ἀνασπάσει ὁ Θεὸς ἀπὸ κατοικήσεως ἀνθρώπων καὶ ἀπὸ τῶν ζώντων.

8 «Καὶ ὄψονται δίκαιοι καὶ φοβηθήσονται»

Καὶ σὺ μέν, φησί, ταῦτα ὑπομενεῖς, οἱ δέ «δίκαιοι» τουτέστιν οἵ σου λαοί, θεασάμενοι τὴν σὴν ἀπώλειαν φόβῳ κατασχεθήσονται· ἱκανὴ γὰρ ἡ εἴς σε τιμωρία κἀκείνους φοβῆσαι, καίτοι διὰ τὴν εἰς ἐκείνους εὐεργεσίαν τοιαῦτά σου πάσχειν μέλλοντος.

«Καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν»

Πῶς οὖν «καὶ φοβηθήσονται καὶ γελάσονται»[2]; «Φοβηθήσονται» διὰ τὸ μέγεθος τῆς πληγῆς, «γελάσονται» διὰ τὴν τοῦ πάσχοντος ἀλαζονείαν. Τί γάρ «ἐροῦσι» καί «γελάσονται»;

9 «Ἰδοὺ ἄνθρωπος, ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ, ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ»

345 Ὅτι τὸν Θεὸν οὐ θέμενος πρὸ τῶν ὀφθαλμῶν, — ὠνείδιζε μὲν ἐπὶ τῇ εἰς αὐτὸν εὐσεβείᾳ, ὡς οὐδὲν ὠφελουμένους ἐκ τούτου, μεγάλα δὲ ἐφρόνει ἐπὶ τῇ οἰκείᾳ περιουσίᾳ, τῷ τε πλήθει τοῦ στρατοπέδου καὶ τῶν ἵππων, — ταῦτα λέγοντος «γελάσονται» ὁρῶντες αὐτοῦ τῶν ῥημάτων τὴν ἀλαζονείαν, ὅτι μεγάλα ἐπαγγελλόμενος τοιαύτην ἔδωκε δίκην.

«Καὶ ἐδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ»

Καὶ τοῦ μὲν Θεοῦ τὸ μέγεθός φησιν οὐ λογιζόμενος, ἐπὶ δὲ τῇ οἰκείᾳ περιουσίᾳ μεγάλα φρονῶν, μετὰ μείζονος τῆς δυνάμεως κέχρηται τῇ οἰκείᾳ κακίᾳ· ματαιότητα[3] γὰρ καλεῖ τὴν μοχθηρίαν ὡς εἰκαίαν καὶ οὐδὲν αὐτὸν ὠφελῆσαι δυνηθεῖσαν.

10 «Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ»

Κἀκεῖνος μὲν πείσεται τοιαῦτα, «ἐγὼ δὲ ἐν τῷ οἴκῳ τοῦ Θε-

---

1. Ψαλ. 51,7. 2. Ψαλ. 51,8. 3. Πρβλ. Ψαλ. 51,9.

οὗ»[1] διαφυλαχθήσομαι δίκην ἐλαίας κατακάρπου, ἀεὶ φυλαττόμενος τῇ τοῦ Θεοῦ βοηθείᾳ καὶ ἀκμάζων ἐν αὐτῇ, καὶ οὐδέποτε μεθιστάμενος ἐντεῦθεν ἀπὸ πολεμίων ἐφόδου, ἐπειδὴ καὶ ἡ ἐλαία διηνεκὲς ἐν τῇ φύσει τὸ θάλλειν ἔχει.

«Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»

Ταῦτα δέ μοι ὑπῆρξεν, ἐπειδὴ διηνεκῶς ἐλπίζων τῆς αὐτοῦ φιλανθρωπίας τεύξεσθαι, εἰκότως καὶ ἀπολαύω τῶν προσδοκωμένων.

11 «Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα, ὅτι ἐποίησας»

Καὶ οὐ μόνον ἐλπίζων διατελέσω, ἀλλὰ γὰρ καὶ ὑπέρ «ὧν ἐποίησας»[2] ἤδη διηνεκῶς εὐχαριστήσω.

«Καὶ ὑπομενῶ τὸ ὄνομά σου, ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου»

Καὶ διαμενῶ, φησί, τῆς σῆς ἐπικλήσεως οὐκ ἀφιστάμενος, ὑπομένων δὲ κἂν ἐν θλίψεσιν ἐξετασθήσομαι, ἐκ τῶν προλαβόντων ἔχων τὴν πεῖραν ὅτι ἄγαν ὠφελιμώτατον ἡ ἐπίκλησις ἡ σὴ γίνεται τοῖς κεκτημένοις αὐτήν.

Ψαλμὸς 52

346 Τὴν αὐτὴν καὶ ὅδε ὁ ψαλμὸς ὑπόθεσιν ἔχει· βραχὺ γοῦν τι καὶ ὑπήλλακται τῷ ιγ'. Εἰς τὸν Ῥαψάκην γὰρ καὶ τὰ τότε γενόμενα εἴρηται τῷ μακαρίῳ Δαβὶδ ὁ ψαλμὸς ὥσπερ οὖν κἀκεῖνος.

2 «Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ Οὐκ ἔστιν Θεός»

Τοῦτο γὰρ ἔλεγε, τίς ὁ Θεὸς ὃς ῥύσεται ὑμᾶς ἐκ χειρὸς τῶν Ἀσσυρίων[3]; Παρεξοδικώτερον ἑρμηνεύομεν ἐπειδήπερ ἐν τῷ ιγ' ἑρμηνεύεται.

---

1. Ψαλ. 51,10. **2.** Ψαλ. 51,11. **3.** Πρβλ. Ἠσ. 36,18.

«Διεφθάρησαν καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις, οὐκ ἔστιν ποιῶν ἀγαθόν»

Ἐδείχθη καθόλου περὶ τῶν Ἀσσυρίων λέγων «οὐκ ἔστι ποιῶν ἀγαθόν»[1], τουτέστι πάντες κακοί.

3-4 «Ὁ Θεὸς ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων τοῦ ἰδεῖν εἰ ἔστιν συνίων ἢ ἐκζητῶν τὸν Θεόν. Πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν, οὐκ ἔστιν ποιῶν ἀγαθόν, οὐκ ἔστιν ἕως ἑνός»

Τοῦτο οὖν αὐτό φησιν· καὶ ἐξετάσαι βουλόμενος ὁ Θεὸς εἶδεν ἐκ τῶν οὐρανῶν, καὶ ἐξετάσας εὗρεν ὅτι μηδεὶς ἐν αὐτοῖς συνιεὶς[2] τὸ χρήσιμον, ἀλλὰ πάντες μὲν μοχθηροί, ἀγαθοποιῶν δὲ οὐδείς[3].

5-6 «Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν; Οἱ κατεσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο. Ἐκεῖ φοβηθήσονται φόβον, οὗ οὐκ ἦν φόβος, ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων»

[672] Μεθ' ὑπερβάτου ἐστίν· οὕτω γὰρ ἐπεσημηνάμεθα κἀκεῖ. Ἡ γὰρ ἀκολουθία αὕτη· «Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, οἱ κατεσθίοντες τὸν λαὸν ἐν βρώσει ἄρτου, ὅτι ὁ Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων»[4]; Τὰ **347** δὲ λοιπὰ διὰ μέσου, — τουτέστιν οὐκ ἂν μάθοιεν αὐτοὶ οἱ τῆς ἀνομίας ἐργάται, οἱ τὸν λαὸν κατεσθίειν καὶ καταναλίσκειν ὥσπερ τινὰ τροφὴν ἀναγκαίαν αὐτοῖς πειρώμενοι, ὅτι πάντας ἀναλίσκεις καὶ ἀφανίζεις τοὺς ἀνθρωπαρέσκους; — ὡς ἀπὸ τοῦ Ῥαψάκου[5], ἐπειδὴ πρὸς χάριν ἀνθρώπων ἀσεβείας ἐφθέγγετο μεστά. Τὸ δέ «τὸν Θεὸν οὐκ ἐπεκαλέσαντο, ἐκεῖ φοβηθήσονται φόβον οὗ οὐκ ἦν φόβος»[6], διὰ μέσου κεῖται, ἀντὶ τοῦ Θεοῦ μνήμην μὴ ποιησάμενοι, ἐφοβήθησαν ἃ μὴ προσεδόκησαν· καταφρονήσαντες γὰρ τῶν ἐν τῇ Ἱερουσαλήμ, ὡς εὐτελῶν καὶ ὀλίγων, παρὰ πᾶσαν ἐλπίδα τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν ἐδέξαντο.

---

1. Ψαλ. 52,2. **2.** Πρβλ. Ψαλ. 52,3. **3.** Πρβλ. Ψαλ. 52,4. **4.** Ψαλ. 52,5-6. **5.** Πρβλ. Δ' Βασ. 18,17. **6.** Ψαλ. 52,5-6.

6 «Κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς»

Ἅπαντες γάρ, φησίν, οἵ τε τοῦ λαοῦ καὶ ὁ Ῥαφάκης αὐτὸς αἰσχύνης ἐπληρώθησαν, τοῦ Θεοῦ τὸ μηδὲν πᾶσαν αὐτῶν ἀποφήναντος τὴν δύναμιν καὶ οὕτως ἐν μιᾷ ῥοπῇ πάντας ἀνελόντος[1].

7 «Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ;»

Ἐπειδὴ ἐν τῇ Σιὼν κατοικεῖν παρ' αὐτοῖς ὑπείληπτο ὁ Θεός, τίς ἡμῖν, φησίν, ἀπὸ τοῦ Σιὼν ὄρους παρέξει τὴν σωτηρίαν; — Ἀντὶ τοῦ ὁ Θεός, ὡς ὁμολογούμενον ἀποσιωπήσας, ἐπεὶ μηδὲ ἐνῆν παρ' ἑτέρου τινὸς ἐκδέξασθαι βοήθειαν ἐκ τοῦ Σιὼν ὄρους ἢ τοῦ Θεοῦ τοῦ καὶ διάγειν ἐκεῖ πιστευομένου.

«Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ»

Ἐπειδάν, φησί, κἀκείνων ἀνακαλέσηται τὴν αἰχμαλωσίαν, περὶ τῶν δέκα λέγων φυλῶν, τῷ τηνικαῦτα ἀληθῆ δεξόμεθα τὴν εὐφροσύνην. Ἐμνημόνευσεν δὲ αὐτῶν, εἰκότως ὡς πρόσφατον εἰς αἰχμαλωσίαν[2] ἀπαχθέντων, δεικνὺς ὅτι συναλγεῖν αὐτοῖς δίκαιον.

Ψαλμὸς 53

348 Ἔστι μὲν καὶ ὅδε περὶ τῆς αὐτῆς ὑποθέσεως ὁ ψαλμός. Λέγει δὲ αὐτὸν ὡς ἀπὸ προσώπου τοῦ Ἐζεκίου· κἂν γὰρ μίαν πολλῶν ψαλμῶν ὑπόθεσιν εἶναι συμβαίνει, ἀλλὰ ποικίλως καὶ διαφόρως χρῆται τοῖς λόγοις.

3 «Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσόν με»

Ἐπειδὴ τοῦτο μάλιστα ἐκεῖνοι ὠνείδιζον, κεκυκλωκότες τὴν πόλιν, ὡς οὐδὲν αὐτοὺς ὀνῆσαι δύναται τὰ παρὰ τοῦ Ἐζεκίου λεγόμενα, — ταῦτα δὲ ἦν, ὡς προσῆκεν ἐπὶ τὸν Θεὸν πεποιθέναι, ὃς ἀπαλλάξαι πάντως αὐτοὺς τοῦ κινδύνου, — καλῶς εἶπεν τό «ἐν

---

1. Πρβλ. Δ' Βασ. 19,35. **2.** Πρβλ. Ψαλ. 52,7.

τῷ ὀνόματί σου σῶσόν με»[1], τουτέστιν ἐπειδὴ τὸ σὸν ὄνομα ἐπικαλούμενος χλευάζομαι παρ' ἐκείνων, ἐν αὐτῷ τούτῳ τὴν σωτηρίαν μοι παράσχου, ὥστε μὴ πολέμου, μὴ παρατάξεως δεηθῆναι, ἀλλὰ μόνῃ τῇ σῇ προσευχῇ τυχεῖν τῶν σπουδαζομένων, ἵνα μάθωσιν οὗτοι πόση τῶν τὴν σὴν βοήθειαν ἐπικαλουμένων ἡ ἰσχύς.

«Καὶ ἐν τῇ δυνάμει σου κρῖνόν με»

Τινές 'κρινεῖς με' διὰ τοῦ μ καὶ ε ἀναγινώσκουσι ἐπὶ τῆς αἰτιατικῆς πτώσεως· ἀναγνωστέον δὲ κρινεῖς μοι διὰ τοῦ μ καὶ ο καὶ ι ἐπὶ τῆς δοτικῆς, ἀντὶ τοῦ ἐμοὶ κρινεῖς. Ὅταν μὲν γὰρ λέγῃ κρῖνον αὐτοὺς ἢ αὐτόν, κατάκρινον λέγει· ὅταν δὲ αὐτοῖς ἢ αὐτῷ, μέ, μοί, ἀντὶ τοῦ δίκασον. Ἐνταῦθα δὲ οὐ κατακριθῆναι αἰτεῖ, ἀλλ' ἀντὶ τοῦ τῇ σῇ δυνάμει χρησάμενος κρῖνον ἐμοί τε καὶ τούτοις, καὶ οὕτως ἀδικουμένῳ βοήθησον.

4 «Ὁ Θεός, εἰσάκουσον τῆς προσευχῆς μου»

349 Μὴ ἀποπέμψῃ μου τὴν δέησιν.

«Ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου»

Φρόντισον, καὶ μετὰ διαθέσεως ἄκουσον τῶν τῆς προσευχῆς μου ῥημάτων[2].

5 «Ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ»

Οὐδὲ γὰρ πρὸς οἰκείους μοι ὁ πόλεμος, ἀλλ' ἐχθροὶ καὶ ἀλλόφυλοι οἱ πολεμοῦντες, ὥστε μηδὲ ἄξιον εἶναι φείσασθαι αὐτῶν.

«Καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου»

Ἀλλὰ καὶ ἰσχυροὶ οἱ τὴν πρὸς ἐμὲ ἐνιστάμενοι μάχην.

«Οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν»

Καὶ οὐδὲ εἰς ἔννοιαν λαμβάνοντες τὸ παρά σου κριτήριον, ὥστε κἂν διὰ τοῦτο σύμμετρον ἢ πεφεισμένην τὴν καθ' ἡμῶν ὀργὴν ἐπιδείξασθαι. Οὐκοῦν φησιν ὅσῳ καὶ ἀλλότριοι[3] καὶ ἰσχυροὶ καὶ ἀσεβεῖς, τοσούτῳ δίκαιος τῆς παρά σου βοηθείας ἐγώ.

---

1. Ψαλ. 53,3. **2.** Πρβλ. Ψαλ. 53,4. **3.** Πρβλ. Ψαλ. 53,5.

6 «Ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήμπτωρ τῆς ψυχῆς μου»

Ἀλλὰ κἂν πρὸ τῶν πραγμάτων οὐκ ἠβουλήθησαν συνιέναι τὴν παρά σου δύναμίν τε καὶ βοήθειαν, ἀλλ' ἐξ αὐτῆς γνώσονται τῆς πείρας, ὅτι τε βοηθεῖς καὶ κινδυνεύοντος ἀντιλαμβάνῃ, καὶ αἰσθήσονται μάτην ἡμᾶς ὀνειδίζοντες πρὸ τούτου. Κἀνταῦθα δὲ πρόσκειται τό «Ἰδού» ἀπὸ τοῦ ἰδιώματος.

7 «Ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου»

Τὰ γάρ «κακά» ἐπ' ἐκείνους μετοίσει, καλῶς τό «Ἀποστρέψει»[1] εἰπών, ἐπειδὴ προσεδόκων μὲν οἱ Ἀσσύριοι τούτους ἀναιρήσειν· τοὐναντίον δὲ ἀπώλοντο μὲν ἐκεῖνοι, ἐρρύσθησαν δὲ οὗτοι τῶν κακῶν.

«Ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς»

350 Εἴρηται ὡς πολλάκις τοῦ Θεοῦ τῆς ἀληθείας μέμνηται εἰς παράστασιν τοῦ βεβαίου τῶν γιγνομένων· ἀληθῆ οὖν καὶ βεβαίαν καὶ ἰσχυρὰν τὴν ἐξολόθρευσιν αὐτῶν ἐργάσεται, τουτέστι σφόδρα αὐτοὺς ἀφανίσει.

8 «Ἑκουσίως θύσω σοι»

Τούτων δὲ γενομένων, μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς προθυμίας τὰς εὐχαριστηρίους προσάξω σοι θυσίας, — καλῶς τὸ προθύμως «ἑκουσίως»[2] εἰπών, ἐπειδὴ ταῦτα μάλιστα προθύμως ποιοῦμεν ἅπερ ἂν ἑκοντὶ διαπραττώμεθα.

«Ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε, ὅτι ἀγαθόν»

Εὐχαριστήσω δέ, φησίν, ὑπὲρ τῶν γεγονότων, ἐπειδὴ καὶ κάλλιστον τὸ εὐχαριστεῖν· βεβαιοῖ γὰρ τὰ δοθέντα ἀγαθά.

«Ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου»

Ὑπὲρ ἀμφοτέρων δὲ εὐχαριστήσω· ἀμφότερα γὰρ ἅπερ ἐχαρίσω μεγάλα, ὅτι τῶν κινδύνων «ἐρρύσω» καὶ ὅτι τῶν ἐχθρῶν ἰδεῖν με τὴν ἀπώλειαν παρεσκεύασας.

---

1. Ψαλ. 53,7. **2.** Ψαλ. 53,8.

Ψαλμὸς 54

351 Τῆς αἰχμαλωσίας ἀπαλλαγέντες τῆς ἐν Βαβυλῶνι παραδόξως τῇ τοῦ Θεοῦ δυνάμει, κατεσκεύασαν μὲν τὸν ναὸν καὶ οἰκείαν πάλιν ᾤκησαν γῆν[1], ἀπειλήφει δὲ καὶ ἡ πόλις τὸν οἰκεῖον ἅπαντα κόσμον, ἀλλὰ καὶ βαθείας ἀπήλαυον τῆς εἰρήνης. Καὶ δὴ τοῦ χρόνου προβαίνοντος, ἀρχιερεὺς τοῦ ἔθνους γεγένηται Ὀνίας ἀνὴρ δικαιότατος καὶ εὐσεβέστατος, — τότε δὲ τοὺς ἀρχιερεῖς καὶ τὴν ἀρχὴν τοῦ ἔθνους ἐμπεπιστεῦθαι συνέβαινεν[2]. Τῇ τοίνυν ἐπιστασίᾳ τοῦ Ὀνίου, μετὰ πάσης ἀκριβείας τῶν νομίμων φυλαττομένων καὶ τῆς εἰς τὸν Θεὸν εὐσεβείας ἄριστα πληρουμένης, Σίμων[3] τις ἐκ τῆς φυλῆς Βενιαμίν — Σελεύκου[4] τότε βασιλεύοντος τῆς Ἀσίας ἁπάσης, Συρίας τε καὶ Φοινίκης — προστασίαν τινὰ πεπιστευμένος τοῦ ἱεροῦ, διηνέχθη μὲν οὐκ εὐλόγως πρὸς τὸν Ὀνίαν, ἐν δὲ τῇ πρὸς αὐτὸν ἡττηθεὶς διαφορᾷ κοινοῦται Ἀπολλωνίῳ[5] τῷ στρατηγῷ, φήσας ἀποκεῖσθαι πάμπολλα χρήματα ἐν τῷ ναῷ, ἃ δυνατὸν ληφθέντα χρήσιμα τῷ βασιλεῖ γενέσθαι πρὸς στρατολογίαν. Γίνεται δὲ τοῦτο καὶ τῷ βασιλεῖ γνώριμον διὰ τοῦ στρατηγοῦ, καὶ δεξάμενος τὰ παρὰ τοῦ στρατηγοῦ μηνυθέντα, Ἡλιόδωρόν[6] τινα τῶν οἰκείων ἀποστέλλει ληψόμενον τὰ χρήματα. Καὶ δὴ παραγεγονὼς ὁ Ἡλιό**352**δωρος, ἔγνω χρημάτων μὲν οὐκ εἶναι τοσοῦτον πλῆθος ἐν τῷ ἱερῷ ὅσον ἡ τοῦ Σίμωνος ἐβούλετο διαβολή[7], εἶναι δὲ ὀλίγα καὶ ταῦτα παρακαταθήκας[8] ἑτέρων, οἳ πρὸς τὴν ἀξιοπιστίαν τοῦ τόπου καὶ τὴν τοῦ Θεοῦ δύναμιν ἀποβλέψαντες τὰς παρακαταθήκας ἀπέθεντο. Συνεβούλευεν δὲ ὁ Ὀνίας μηδὲν ἐπιχειρῆσαι λαβεῖν τῶν ἀποκειμένων· ὕβρις γάρ φησιν εἰς τὸ θεῖον τὸ γινόμενον, καὶ λυπήσεις ἐκεῖνον οὗ τὴν παρακαταθήκην ἀποσυλήσεις. Ἔμελε τούτων οὐδὲν τῷ Ἡλιοδώρῳ μείζονα πάντων κρίναντι τὸ τοῦ βασιλέως εἰς πέρας ἀγαγεῖν πρόσταγμα[9]· εὐχαὶ μὲν οὖν καὶ θρῆνοι κατὰ τὴν πόλιν ἐγίγνοντο

---

1. Πρβλ. Β′ Παρλ. 36,20-23. Α′ Ἔσδρ. κεφ. 5 ἑξ. **2.** Πρβλ. Β′ Μακκ. 3,1 ἑξ. **3.** Πρβλ. Β′ Μακκ. 3,5-6. 4,1-7. **4.** Πρβλ. Δ′ Μακκ. 4,2-3. **5.** Πρβλ. Β′ Μακκ. 3,5. Δ′ Μακκ. 4,2-6. **6.** Πρβλ. Β′ Μακκ. 3,7-8. **7.** Πρβλ. Β′ Μακκ. 3,11. **8.** Πρβλ. Β′ Μακκ. 3,15. **9.** Πρβλ. Β′ Μακκ. 3,13.

ἐπὶ τούτοις[1], ἱκετευόντων τὸν Θεὸν μὴ καταλιπεῖν ἀνεκδίκητον τὴν τόλμαν, εἰσῄει δὲ τῇ ἑτέρᾳ ὡς τὰ χρήματα ληψόμενος. Καὶ ὁ Θεὸς ταῖς ἱκεσίαις τοῦ πλήθους ἐπινεύσας, καὶ τοῦ ἀρχιερέως τὴν εὐσέβειαν ἀποδεξάμενος, φοβερωτάτῃ τινὶ ἐπιφανείᾳ τοῦ τολμήματος ἀπεσκεύασεν. Ὤφθη γὰρ εἰσιέναι μέλλοντι ἵππος[2] διὰ τοῦ ἀέρος φοβερὸς μὲν ὄψιν, φαιδρὸς δὲ τὸ σχῆμα, ἐποχούμενόν τε ἔχων μετὰ χρυσῆς τῆς πανοπλίας, ὃς καὶ μετὰ πολλοῦ τοῦ ῥυζήματος ταῖς ἐμπροσθίαις ὁπλαῖς τὸν Ἡλιόδωρον ἔπληξεν· δύο τε νεανίαι, φοβεροὶ καὶ οὗτοι τὴν θέαν, ἐπίδοξοί τε τὸ σχῆμα, περιστάντες ἐντεῦθεν κἀκεῖθεν ἐμαστίγουν[3]. Καὶ οὕτως ἀπὸ τῆς ὀπτασίας καὶ τῶν πληγῶν καταπεσὼν ἤρθη μικροῦ νεκρὸς ὑπάρχων. **[676]** Δεήσεις ὑπὲρ τούτων πρὸς τὸν Ὀνίαν ἐγίγνοντο παρὰ τῶν συνόντων τῷ Ἡλιοδώρῳ ἱκετεῦσαι τὸν Θεὸν χαρίσασθαι αὐτῷ τοῦ προσδοκωμένου θανάτου τὴν ἀπαλλαγήν· ὃ καὶ ποίησας ὁ Ὀνίας εὐθὺς, καὶ θυσίας προσαγαγὼν ὑπὲρ αὐτοῦ, ἀπήλλαξε τῆς κατεχούσης νόσου, ἐπιφανέντος τε αὐτῷ τοῦ Θεοῦ καὶ πολλὰς ἔχειν χάριτας τῷ ἀρχιερεῖ παρακελευσαμένου[4]. Οὕτω διασωθεὶς καὶ θυσίας τῷ Θεῷ προσκομίσας ἐπανῆλθεν πρὸς τὸν βασιλέα διηγησάμενος τὰ γεγονότα. Ἀλλ' οὐχ ἀφίστατο τῆς οἰκείας μοχθηρίας ὁ Σίμων, παρέμενεν δὲ πολλαῖς κατ' αὐτοῦ κεχρημένος ταῖς διαβολαῖς[5]. Καὶ διὰ τοῦτο μέχρι τοῦ βασιλέως Ὀνίας γενόμενος, ἔγνω τὰς κατ' αὐτοῦ παῦσαι διαβολάς, ὥστε καὶ τῷ ἔθνει περιποιῆσαι τὴν προσήκουσαν εἰρήνην.

Ἀλλ' ἐν τούτοις ὄντος τοῦ Ὀνίου τελευτᾷ μὲν ὁ Σέλευχος[6] παραλαμβάνει δὲ τὴν βασιλείαν ὁ Ἐπιφανὴς Ἀντίοχος[7], ἐφ' οὗ Ἰάσων[8] τις ἀδελφὸς τοῦ Ὀνίου ἔφησε πολλῶν χρημάτων πρόσοδον τῷ βασιλεῖ προσάξαι εἰ λάβοιτο τῆς ἀρχιερωσύνης αὐτός, δώσειν δὲ καὶ ἕτερα πλείονα εἰ καὶ γυμνάσιον κατασκευάσειεν[9] ἐν τῇ πόλει καὶ τὴν περιτομὴν αὐτῶν λύσειεν, καὶ ὅλως ἐξαλλάξαι τὰ νόμιμα συγχωρηθῇ. Ἐπείσθη τούτοις τοῖς ῥήμασι, παραδίδωσί τε

1. Πρβλ. Β' Μακκ. 3,17-21. **2.** Πρβλ. Β' Μακκ. 3,25. **3.** Πρβλ. Β' Μακκ. 3,26. **4.** Πρβλ. Β' Μακκ. 3,35-36. **5.** Πρβλ. Β' Μακκ. 4,1-2. **6.** Πρβλ. Δ' Μακκ. 4,15. **7.** Ἔνθ' ἀν. **8.** Πρβλ. Δ' Μακκ. 4,16. **9.** Πρβλ. Δ' Μακκ. 4,20.

αὐτῷ τὴν ἀρχήν, καὶ ὁ μὲν Ὀνίας εὐσεβέστατός τε καὶ δικαιότατος ὢν ἀνὴρ ἔξω τῆς ἀρχιερωσύνης κατέστη. Ὁ δὲ Ἰάσων τῆς τε ἀρχιερωσύνης καὶ τῆς ἐξουσίας ἐπιλαβόμενος, εὐθὺς ἐπὶ τὸν ἑλληνικὸν **353** χαρακτῆρα μετήγαγεν τοὺς Ἰουδαίους, γυμνάσιόν τε κατεσκεύασεν παρὰ τὸ ἰουδαϊκὸν ἔθος, καὶ τὰ νόμιμα δὲ ἐξαλλάξαι παρασκευάσας ἅπαντας μὲν ἀνελεῖν τῆς εἰς Θεὸν θεραπείας καὶ τῶν τοῦ Νόμου προσταγμάτων ἔπεισεν, προσέχειν δὲ τοῖς ἔθεσι τοῖς ἑλληνικοῖς, γυμνασίοις καὶ παλαίστραις καὶ τοῖς τοιούτοις· ἠμελεῖτο δὴ λοιπὸν καὶ τὰ τῆς περιτομῆς, κατεφρονεῖτο καὶ τῶν σαββάτων ἡ τήρησις, καὶ ὅλως εἰς ἑλληνικὸν σχῆμα τὰ κατὰ τὴν πόλιν μετέπεσεν[1]. Ταῦτα ὁρῶν ὁ μακάριος Ὀνίας ἐπὶ πολὺ γινόμενα ἠθύμει καὶ ἠγανάκτει καὶ ἐστέναζεν· ὡς δὲ καὶ προβαῖνον ἑώρα τὸ κακὸν καταλιπὼν ἀνεχώρησεν, καὶ εἰς τὴν Αἴγυπτον βαλὼν θυσιαστήριόν τε ἐπήξατο καὶ ναὸν κατεσκεύασεν, καὶ τῆς εἰς τὸν Θεὸν εὐσεβείας ἐπεμελήσατο, τοῖς ἐκεῖ Ἰουδαίοις τὰ δέοντα περὶ τὴν τοῦ Θεοῦ θεραπείαν ὑποτιθέμενος.

Ταῦτα ὁ μακάριος προφητεύει Δαβὶδ ἐν τῷ παρόντι ψαλμῷ· καὶ τὸ τοῦ Ὀνίου πρόσωπον ἀναλαβὼν ταῦτα ἐφθέγγετο, ὅσα εἰκὸς ἦν λέγειν ἐκεῖνον ἐπιβουλευόμενον ὑπὸ τῶν οἰκείων, ἐκβαλλόμενον τῆς ἱερωσύνης ὑπὸ τῶν Ἀντιόχου, ὁρῶντα τὴν μοχθηρίαν τῶν τότε τὴν πόλιν οἰκούντων, διά τε τὰς ἐν αὐτῇ πλεονεξίας καὶ τὴν τῶν νομίμων ἐναλλαγήν, καὶ τὴν ἑκάστοτε γιγνομένην τῶν κακῶν ἐπίτασιν, ἤδη καὶ περὶ φυγῆς βουλευόμενον.

2 «Ἐνώτισαι, ὁ Θεός, τὴν προσευχήν μου»

Φρόντισον ἀκοῦσαι· οὐδὲ γὰρ περὶ μικρῶν ποιοῦμαι τὴν δέησιν[2].

«Καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου»

[677] Μὴ διαπτύσῃς μηδὲ καταφρονήσῃς μικρὰν αὐτὴν καὶ εὐτελῆ λογισάμενος· ὑπεριδεῖν γὰρ λέγεται τὸ καταφρονῆσαι ὡς μικροῦ καὶ οὐδενός.

---

1. Πρβλ. Β' Μακκ. 4,1-16. **2.** Πρβλ. Ψαλ. 54,2.

3 «Πρόσχες μοι καὶ εἰσάκουσόν μου»

Διαφόρως ἐπὶ τὴν προσευχὴν καλεῖ τὸν Θεόν, μετὰ σπουδῆς αἰτῶν γενέσθαι τὴν ἀκρόασιν, ὥστε τῶν κακῶν ὑπὲρ ὧν αἰτεῖ τὸ μέγεθος ἐμφῆναι.

«Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐταράχθην»

Ἀδολεσχίαν καλεῖ παντὸς πράγματος συνέχειαν. Τὸ οὖν «ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου καὶ ἐταράχθην»[1], τουτέστι συνεχῆ τὴν λύπην ἔσχον καὶ τὴν ταραχὴν ἀπὸ τοῦ πλήθους τῶν κακῶν, ἄλλων ἐπ' ἄλλοις ἀεὶ συμβαινόντων.

4 «Ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ»

354 Λυπεῖ γάρ με οὐ μικρῶς τά τε παρὰ τῶν ἰδίων καὶ τὰ παρὰ τῶν ἐναντίων. Ἐχθροὺς δὲ λέγει καὶ ἁμαρτωλούς, τὸ μὲν ἀπὸ τῆς γνώμης, τὸ δὲ ἀπὸ τοῦ εἴδους τῆς πράξεως ἤτοι τῆς προθέσεως. Βούλεται γὰρ ἑαυτὸν οὐ μισούμενον δεῖξαι μόνον, ἀλλὰ καὶ ἀδίκως μισούμενον.

«Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν»

«Ἐξέκλιναν»[2], τουτέστιν ἐξήνεγκαν, ἐπειδὴ τὸ ἑστὸς καὶ κλινόμενόν που μεταφέρεται πάντως ἐφ' ὅπερ ἂν κλιθῇ. Πᾶσαν οὖν φησιν ἐπ' ἐμὲ μετήνεγκαν τὴν ἀνομίαν, πᾶν ὅτι κακὸν κατ' ἐμοῦ μηχανησάμενοι. Τὸ δέ «ἐξέκλιναν» εἶπεν καλῶς, δεικνὺς ὅτι οὐχ εἰς αὐτὸν μόνον ἡμάρτανον, ἀλλὰ γὰρ ἔργον ἔχοντες τὸ κάκιστα ζῆν καὶ πᾶν ὅ,τι διαπράττεσθαι κακόν, νῦν τῆς οἰκείας μοχθηρίας εἰς αὐτὸν ἐπλήρουν τὸν σκοπόν, — καὶ ἄνω δὲ ἁμαρτωλοὺς ἐκάλεσεν καὶ ἐνταῦθα ἀνομίαν τὴν κατ' αὐτοῦ πρᾶξιν τῶν τρόπων καὶ τῶν πράξεων τὸ εἶδος διαβάλλων.

«Καὶ ἐν ὀργῇ ἐνεκότουν μοι»

Κότος λέγεται ὀργή, μῖσος· τὸ οὖν «ἐνεκότουν μοι», ἀντὶ τοῦ ἐμνησικάκουν. Καλῶς δὲ εἶπεν «ἐν ὀργῇ», ἀντὶ τοῦ μετὰ ὀργῆς, ὥστε δεῖξαι τῆς μνησικακίας τὴν ἐπίτασιν. Διὰ τί δὲ τὸ ἐμνησικά-

---

1. Ψαλ. 54,3. **2.** Ψαλ. 54,4.

χουν εἶπεν; Ἐπειδὴ διηνέχθη πρότερον πρὸς αὐτόν, εἶτα ἡττηθεὶς ὁ Σίμων ἐπὶ τοῦτο ἐτράπη[1].

5 «Ἡ καρδία μου ἐταράχθη ἐν ἐμοί, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ»

Ἐπὶ τούτοις πολλῆς τῆς ταραχῆς ἐπληρώθην τὴν ψυχήν, δεδιὼς λοιπὸν καὶ προσδοκῶν οὐδὲν ἕτερον ἢ θάνατον[2].

6 «Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμέ»

Οἶδεν γὰρ ὁ φόβος καὶ ἡ προσδοκία τοῦ θανάτου τρόμον ἐμποιεῖν[3].

«Καὶ ἐκάλυψέν με σκότος»

Τοῦτο τῆς ἀθυμίας ἴδιον. Ὅταν γάρ τις διὰ μέγεθος τῶν κινδύνων ἀπελπίσῃ τὴν σωτηρίαν, ἀθυμίᾳ κρατηθεὶς ὥσπερ σκότῳ τινὶ περιβάλλεται, μηδὲ διακρίνειν τὰ παρόντα προσηκόντως δυνάμενος.

7 «Καὶ εἶπα, τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω;»

355 Ὁρῶν οὖν τὸ πλῆθος τῶν κακῶν καὶ οὐδεμίαν ὑπολιμπανομένην ἐλπίδα τῶν κρειττόνων, ἐκεῖνο λοιπὸν ἐδοκίμαζον — κἀνταῦθα γὰρ τό «εἶπα» ἀντὶ τοῦ ἐδοκίμασα —, εἴ πως οἷόν τε ἦν πτερωθέντα δίκην περιστερᾶς ἀποπτῆναι[4], καὶ μακρὰν γενόμενον οὕτως εὑρεῖν ἀνάπαυσιν τῶν κακῶν.

8 «Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ»

Κἀνταῦθα τό «ἰδού» πρόσκειται κατὰ τὸ ἑβραϊκὸν ἰδίωμα. Λέγει γὰρ ὅτι εἰ προσέλαβον πτήσεως δύναμιν, φυγών τε καὶ μακρὰν γενόμενος τῶν οἰκείων εἱλόμην γενέσθαι κατὰ τὴν ἔρημον κἀκεῖ διάγειν ἢ τῶν τῆς πόλεως ἀνέχεσθαι κακῶν. Σύμμαχος, 'πόῤῥω ἂν ἐποίησα τὴν ἀναχώρησίν μου'· τὸ γάρ «ηὐλίσθην»[5], ἀντὶ τοῦ ᾤκησα.

---

1. Πρβλ. Β' Μακκ. 4,1-3. **2.** Πρβλ. Ψαλ. 54,5. **3.** Πρβλ. Ψαλ. 54,6. **4.** Πρβλ. Ψαλ. 54,7. **5.** Ψαλ. 54,8.

9 «Προσεδεχόμην τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ καταιγίδος»

Καὶ τοιούτων δέ φησι γενομένων, ἐγὼ τὴν παρά σου βοήθειαν ἀνέμενον, ὡς ἱκανοῦ σῴζειν τε καὶ ἀπαλλάττειν τῆς ὀλιγοψυχίας, — ἣν ἀπὸ τοῦ πλήθους τῶν κακῶν ὑπέμενον πολλάκις, μικροῦ καὶ πρὸς αὐτὸν ἐγγίσας τὸν θάνατον, — εἴτε καὶ τῆς ἐφόδου τῶν ἐχθρῶν· καταιγίδα[1] γὰρ ἐκάλεσεν τὴν ἔφοδον καὶ τὴν κατ' αὐτοῦ τῶν ἐχθραινόντων ὁρμὴν ὡς θανάτου γέμουσαν καὶ κινδύνων, ἀπὸ τοῦ τὴν καταιγίδα ἀθρόως ἐπάγειν τοὺς θανάτους.

10 «Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν»

Σύμμαχος, τό «καταδίελε τὰς γλώσσας αὐτῶν»[2], οὕτω λέγει· 'συμφώνους, ποίησον τὰς γλώσσας αὐτῶν'. 'Αφάνισον αὐτοὺς καὶ ἀσυμφώνους ποίησον ἀλλήλοις, ἵνα εἰς αἱρέσεις ἐμπεσόντες ἀλλήλους ἀνέλωσί τε καὶ τιμωρήσωνται. «Τὰς γλώσσας» δὲ εἶπεν ἐπὶ τοῦ ἀσυμφώνου, ἐκ μεταφορᾶς τῶν ἀλλογλώσσων καὶ οὔτε συμφωνεῖν οὔτε συμπράττειν ἀλλήλοις δυναμένων, οἷον δὴ καὶ ἐπὶ τῆς πυργοποιΐας γεγένηται τῇ διαιρέσει τῶν γλωσσῶν παυθέντος αὐτοῖς τοῦ σπουδαζομένου.

«Ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει»

356 'Αναγκάζομαι δὲ ταῦτα αἰτεῖν, οὐ τιμωρηθῆναι τοὺς οἰκείους ἐπιθυμῶν, ἀλλ' ὁρῶν πλεονάζοντα τὰ κακὰ καὶ τὴν πόλιν γέμουσαν ἀτοπίας τε καὶ πάσης ἔριδος, ἵν' οὕτω τιμωρηθέντων ἐκείνων λάβῃ λύσιν τὰ κατὰ τὴν πόλιν κακά.

11 «Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς»

«Κυκλώσει»[3], ἀντὶ τοῦ κυκλοῖ· ἐναλλαγὴ γάρ ἐστι χρόνου κἀνταῦθα.

12 «Καὶ ἀνομία καὶ κόπος»

Κόπον[4] λέγει τὰς ἀδικίας, αἷς καμάτων καὶ ὀδυνῶν ἐπλήρουν τοὺς πάσχοντας.

---

1. Πρβλ. Ψαλ. 54,9. **2.** Ψαλ. 54,10. **3.** Ψαλ. 54,11. **4.** Πρβλ. Ψαλ. 54,12.

«Καὶ ἀδικία ἐν μέσῳ αὐτῆς»

Βούλεται εἰπεῖν ὅτι πολὺ τὸ κακὸν ἐπλεόνασεν ἐν τῇ πόλει, τούτῳ κεκύκλωται ἡ πόλις. Τοῦτο «ἐν μέσῳ» στρεφόμενον καὶ εἰς ὁποῖον ἂν γένῃ μέρος τῆς πόλεως, ἐκεῖ τὰ κακὰ εὑρήσεις, τὴν ἀδικίαν καὶ τὴν ἁμαρτίαν.

«Καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος καὶ δόλος»

Τόκον καλεῖ τὴν πλεονεξίαν, δόλον τὴν πανουργίαν· πλεονεξίαν δὲ καλεῖ τὸν τόκον, ἐπειδὴ ἀπηγόρευτο ἐπὶ τῶν οἰκείων ἐν τῷ Νόμῳ. Ἀδιάληπτον οὖν φησιν ἐν αὐτῇ στρέφεται τὸ κακόν, πανουργία τὸ πᾶν καὶ πλεονεξία. Εἰκότως δὲ ταῦτα ὁ μακάριος Ὀνίας δυσφορῶν λέγει, πρότερον μὲν αὐτοὺς ἄγων μετὰ πολλῆς τῆς εὐσεβείας καὶ τῶν νομίμων σφόδρα παρασκευάζων ἐπιμελεῖσθαι καὶ τὴν πόλιν ἐν εὐκοσμίᾳ φυλάττων, ὁρῶν δὲ ἐπὶ τὸ ἐναντίον πάντα μεταβεβλημένα, πάντων τῶν κακῶν χαιρόντων καὶ τὴν ἀδικίαν μετὰ πολλῆς ἐργαζομένων τῆς παῤῥησίας.

13 «Ὅτι εἰ ἐχθρὸς ὠνείδισέν με, ὑπήνεγκα ἄν, καὶ εἰ ὁ μισῶν ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησεν, ἐκρύβην ἂν ἀπ' αὐτοῦ»

Δείκνυσιν ὅτι δικαίως εἵλετο τὴν **357** πόλιν καταλιπὼν ἀναχωρῆσαι, καὶ ὅτι δικαίως αὐτοὺς ἀξιοῖ τιμωρηθῆναι, μάλιστα μὲν διὰ τὸ πλεονάζειν τὰ κακὰ τῇ πόλει καὶ διὰ τὸ λελύσθαι πᾶσαν εὐκοσμίαν, οὐκ ἔλαττον καὶ δι' ἐκεῖνο ὅτι οὐ παρ' ἐχθρῶν τὰ εἰς αὐτὸν γιγνόμενα ἀλλὰ παρὰ τῶν δοκούντων οἰκείων καὶ φίλων. Εἴτε γάρ «ἐχθρός» ἦν ὀνειδίζων, ἔφερον, εἴτε ὁ μεγαλοῤῥημονῶν, τουτέστιν ὁ καταχαυχώμενος, ὑπεχώρουν οὐδὲν ἀντιλέγων ἀλλὰ λογιζόμενος ὅτι πολέμιος ὢν ἀκόλουθα τῷ οἰκείῳ τρόπῳ διαπράττεται. Τὸ μὲν οὖν «ὠνείδισεν»[1] εἶπεν ὡς ὄντων πολλῶν οἰκείων τῶν ἐπὶ δυσπραγίᾳ ὀνειδιζόντων, οἳ λυπηθέντες παρ' αὐτοῦ καθ' ὃν καιρὸν τῆς ἀρχιερατείας ἐπιμελόμενος ἤλεγχεν αὐτοὺς ἀδικεῖν πειρωμένους, οἳ ἐν ταῖς συμφοραῖς ὁρῶντες αὐτὸν ὠνείδιζον ἐφ' οἷς ἔπασχεν. Τὸ δὲ ἐμεγαλοῤῥημόνουν διὰ τοὺς ἐπαναστάντας καὶ μάλιστα διὰ τὸν Σίμωνα[2] κυρίως, ὃς πρότερον διενε-

---

1. Ψαλ. 54,13. **2.** Πρβλ. Β' Μακκ. 3,4-5. 4,1-6.

χθεὶς πρὸς αὐτὸν οὐ δικαίως ἡττήθη, εἶτα μηχαναῖς ἑτέραις ἐπαγαγὼν αὐτῷ τὰς συμφορὰς κατεκαυχᾶτο ὡς τὸ σπουδαζόμενον αὐτῷ ἐξανύσας.

14 «Σὺ δέ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου»

[677] Σύμμαχος, 'ἀλλὰ σὺ ἄνθρωπος ὁμότροπος καὶ συνήθης καὶ γνώριμος'. Τὸ δέ «ἡγεμών μου» καλῶς ὡς πρὸς τὸν Σίμωνα, ἐπειδὴ τοῦ μακαρίου 'Ονίου ἀρχιερατεύοντος προστασίαν τινὰ ἐγκεχείριστο[1]· οὕτως ἡγεμόνας[2] καὶ ἄρχοντας βασιλέων καλοῦμεν τοὺς ὑπ' αὐτῶν πράττοντας, εἴτε παρ' αὐτῶν τὴν ἀρχὴν ἐγκεχειρισμένους.

15 «Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανας ἐδέσματα»

«'Εγλύκανας ἐδέσματα»[3], τουτέστιν συνέφαγες μετὰ πολλῆς τῆς ἡδονῆς, οὐχ ὡς ξένος παρ' ἐμοὶ φαγὼν ἀλλ' ὡς γνήσιος φίλος μετὰ πολλῆς τῆς ἡδονῆς καὶ τῆς τέρψεως καὶ τοῦ θάρσους συμφαγών.

«Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ»

Τούτων ἐμνημόνευσεν ἁπάντων, ὅτι ἄνθρωπος, ὅτι ἰσόψυχος, ὅτι ἡγεμών, ὅτι γνωστός, ὅτι ἐγλύκανεν ἐδέσματα, ὅτι συνεπορεύθη ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, δεικνὺς ὡς ἐν πολλοῖς τὴν πρὸς αὐτὸν ἔχοντες κοινωνίαν.

20 «Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα»

358 Δι' ὅλων μέντοι τοὺς οἰκείους αἰτιώμενος φαίνεται μᾶλλον· ἐκεῖνοι γὰρ ἦσαν οἱ πάντων αἴτιοι γενόμενοι τῶν κακῶν. Δέξονται γοῦν, φησί, τὴν τιμωρίαν εἰκότως· οὐδὲ γάρ ἐστι χρήματα δόντας ἀνταλλάξασθαι τὴν τιμωρίαν καὶ ἐξιλεώσασθαι τὸν Θεόν[4], ὃν οὔτε ἐφοβήθησαν οὔτε εἰς διάνοιαν ἔθεντο, τοιαῦτα διαπραττόμενοι κακὰ καὶ τὴν τῶν νομίμων λύοντες εὐταξίαν. Οἷα γὰρ ἐποίησαν;

---

1. Πρβλ. Β' Μακκ. 3,4-5. **2.** Πρβλ. Ψαλ. 54,14. **3.** Ψαλ. 54,15. **4.** Πρβλ. Ψαλ. 54,20.

21 «Ἐξέτεινεν τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι»

Ὥρμησαν, φησίν, ἐπὶ τὸ τιμωρήσασθαι ἡμᾶς. Ἐκ μεταφορᾶς δὲ τῶν ἀποδιδόντων ἅπερ ὀφείλουσιν ἐκ παντὸς λόγου ἐπὶ τῇ ἀποδόσει τὴν χεῖρα ἐκτεινόντων, ἠβουλήθη δεῖξαι ὅτι μετὰ πολλῆς τῆς σπουδῆς καὶ τῆς ἐπείξεως ἐκέχρηντο τὴν κατ' αὐτοῦ ὕβριν τε καὶ ἀδικίαν. Τὸ οὖν «ἐν τῷ ἀποδιδόναι»[1] ὥσπερ ἐν ἀποδόσει χρέους· πολλαχοῦ γὰρ δέδεικται ἡμῖν ἄνευ τοῦ ὡς λέγων τὴν παραβολὴν καὶ ἐν τάξει τιθεὶς τοῦ πράγματος τὸ ὁμοίωμα.

«Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ»

Ἐμίαναν καὶ ὕβρισαν τοῦ Θεοῦ τὰ νόμιμα. Οὕτω λέγει Σύμμαχος. 'Παρεβίβασαν συνθήκην'· παρέβησαν γὰρ πολλαχοῦ, εἴτε τοῦ ἱεροῦ τὰ χρήματα προδοῦναι βουληθέντες τοῖς ἀλλοφύλοις[2], εἴτε ἀλλοφύλους ἐπαγαγόντες τῷ ἔθνει, καὶ τῆς λοιπῆς τῶν νομίμων φυλακῆς πάντη καταμελήσαντες.

22 «Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ»

Διὰ ταύτην γοῦν τὴν αἰτίαν καὶ τὴν τῶν νομίμων παράβασιν διεῖλον καὶ ἀφώρισαν αὐτοὺς ἀπ' ἐμοῦ, αὐτῷ τῷ προσώπῳ καὶ τῷ βλέμματι αὐτῶν τὴν ὀργὴν καὶ τὸ μῖσος ἐμφαίνοντες τὸ κατ' ἐμοῦ· ὀργῆς γὰρ πρόσωπον λέγει τὸ πεπληρωμένον ὀργῆς, καὶ διὰ τῆς οἰκείας θέας τὴν ἐπὶ τῆς ψυχῆς ὀργὴν ἐμφανίζων. Τῷ οὖν «διεμερίσθησαν»[3] προσυπακούεται τὸ ἀπ' ἐμοῦ.

«Καὶ ἤγγισεν ἡ καρδία αὐτῶν»

359 Καὶ τοσαύτην ἐπεδείκνυντο κατ' ἐμοῦ τὴν ὀργὴν οἱ πρὸ τούτου τὸ ἐμοὶ πλησιάζειν καὶ ἐγγίζειν μεθ' ὅλης καρδίας καὶ διαθέσεως προσποιούμενοι· ἠλέγχθη γὰρ ἐκ τῶν μετὰ ταῦτα προσποίησις ὄν. Τὸ γάρ «ἤγγισεν ἡ καρδία αὐτῶν»[4], τουτέστιν ἤγγιζον ὡς ἀπὸ καρδίας, ὡς ἀφ' ὅλης ψυχῆς καὶ διανοίας.

«Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον, καὶ αὐτοί εἰσι βολίδες»

---

1. Ψαλ. 54,21. **2.** Πρβλ. Β' Μακκ. 3,6 ἑξ. **3.** Ψαλ. 54,22. **4.** Ἔνθ' ἀν.

Σύμμαχος· 'λειότερα βουτύρου τὰ στόματα αὐτῶν, πολεμεῖ δὲ ἡ καρδία αὐτῶν'. Τοῖς μὲν γὰρ ῥήμασιν ἐκέχρηντο οὕτω γλυκέσι καὶ ἡδέσιν ὥσπερ ἔλαιον τὴν τῶν λόγων ἀλείφοντες χρηστότητα τὸν ἀκούοντα. Ἦσαν δέ «οἱ λόγοι αὐτῶν βολίδες», — βολίδας δὲ καλεῖ ὄργανόν τι πολεμικόν· ὑπόκρισις γὰρ ἦν ὁ λόγος ὁ δοκῶν χρηστότητος πεπληρῶσθαι, μώλωπας ἐργαζόμενος τοῖς ἀπατωμένοις.

23 «Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει»

Ὡς ἀφ' ἑαυτοῦ λοιπὸν ὁ Προφήτης πρὸς αὐτόν· παῦσαι, φησί, φροντίζων διὰ τὸ πλῆθος τῶν κακῶν, καὶ τὸ πᾶν ἀνάθου τῷ Θεῷ[1] αὐτὸς γάρ σοι βοηθήσει[2] καὶ πάντων σε πληρώσει τῶν καλῶν, πάσης ῥυσάμενος στενοχωρίας.

«Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ»

Εἰ γὰρ καὶ ἔδοξας λυπεῖσθαι πρὸς βραχύ, ἀλλ' οὐκ ἐάσει σε διηνεκῶς ἐν μέσῳ τῶν κακῶν περιαντλεῖσθαι καὶ περιάγεσθαι.

24 «Σὺ δέ, ὁ Θεός, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς»

Αὐτὸς γὰρ ὁ Θεὸς κατασπάσει καὶ καταβαλεῖ τοιούτοις αὐτοὺς κακοῖς, ἐν οἷς πάντως διαφθαρήσονται[3], ὥσπερ ἐν φρέατι κατεχόμενοι καὶ ἀνάδυσιν ἐξ αὐτῶν τινα καὶ ἀπαλλαγὴν εὑρεῖν οὐ δυνάμενοι.

«Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσιν τὰς ἡμέρας αὐτῶν»

360 Οὗτοι οὖν φησιν οἱ μοχθηροί, καὶ πανοῦργοι, καὶ τῶν αἱμάτων ἐρῶντες τῶν σῶν τῇ τοῦ Θεοῦ περιβληθήσονται τιμωρίᾳ, καὶ οὐ φθάσουσι τὸ ἥμισυ τῆς οἰκείας ζωῆς, ἀντὶ τοῦ οὐκ ἐκτενοῦσιν ἐπὶ μήκιστον τὴν ζωήν· οὐδὲ γὰρ ὡς ὡρισμένης αὐτοῖς ἡμέρας τοῦ θανάτου λέγει, ἀλλ' ἀντὶ τοῦ δυνάμενοι ὅσον ἐκ τῆς οἰκείας συστάσεως ἐπὶ πλεῖον βιῶναι, ὀξύτερον τὴν τοῦ Θεοῦ τιμωρίαν τὸν θάνατον δέξονται.

---

1. Πρβλ. Ματθ. 6,25. Λουκ. 12,22. Α' Πέτρ. 5,7. **2.** Πρβλ. Ψαλ. 54,23. **3.** Πρβλ. Ψαλ. 54,24.

«Ἐγὼ δὲ ἐλπιῶ ἐπί σε, Κύριε»

Ὥστε φησὶ τοιαῦτα πείσας ἑαυτὸν φρονεῖν περὶ τοῦ Θεοῦ, ταῦτα δὲ μὴ μᾶλλον λέγε πρὸς αὐτόν, ὅτι τούτων ἕνεκεν τῆς εἴς σε ἐλπίδος οὐκ ἐκστήσομαι[1], πεπεισμένος ὡς ἐμὲ μὲν ἀπαλλάξεις ποτὲ τῶν κακῶν, τουτουσὶ δὲ πάντως ὑπὲρ ὧν ποιοῦσι διαφόροις ταῖς τιμωρίαις περιβαλεῖς· τὸ γὰρ εἶπεν κατὰ τὸ σύνηθες ἑαυτῷ κἀνταῦθ ἀπεσιώπησεν.

Ψαλμὸς 55

Ὀνίου τοῦ ἀρχιερέως τὴν πόλιν καταλελοιπότος καὶ τῶν κατὰ τὴν πόλιν κακῶν εἰς ἐπίδοσιν χωρούντων, βωμός τε προστάγματι τοῦ βασιλέως ἐπὶ τῷ τοῦ Διὸς ὀνόματι κατὰ τὴν πόλιν ἀνέστη[2]. Καὶ πολλῶν θύειν ἀναγκαζομένων, οἱ μὲν γνώμῃ πρὸς τὸ πρᾶγμα ἐχώρουν, οἱ δὲ καὶ ὑπὸ τῆς ἀνάγκης συνωθούμενοι[3], Ματταθίας δή τις ἐκ τῶν Ἰουδαίων ἀνὴρ δικαιότατος, δηλώσας τὸν Νόμον ἀνεῖλε μὲν τὸν ἀναγκάζοντα θύειν, ἀνεῖλε δὲ καὶ **361** τὸν ἐπὶ τὴν θυσίαν ὁρμήσαντα ἑκόντι. Οὕτω τε συστρατεύσας τῶν Ἰουδαίων τοὺς εὐσεβεστέρους εἴχετο τῆς κατὰ τῶν ἐναντίων μάχης[4]. Ἀλλὰ τελευτᾷ μὲν οὗτος εὐθύς, παραδίδωσι δὲ τοῖς υἱοῖς τὴν ἀρχήν, Ἰούδαν τὸν ἐπικαλούμενον Μακκαβαῖον στρατηγεῖν τε καὶ ἐξάρχειν τῶν πολεμίων παρακελευσάμενος ὡς μείζονα καὶ τὴν προθυμίαν καὶ τὴν ἰσχὺν κεκτημένον παρὰ τοὺς ἀδελφούς, καὶ ὅλως τοῦ ἄρχειν ἱκανόν. Ἀναδεξάμενοι δὲ τοὺς ὑπὲρ τοῦ ἔθνους κινδύνους πολλοὺς καὶ συνεχεῖς, τοῦτο μὲν πρὸς τοὺς Ἀντιόχου στρατηγούς, τοῦτο δὲ πρὸς τοὺς περιοίκους ἔσχον τὰς μάχας, ἐκείνων ἀνελεῖν αὐτοὺς παντὶ τρόπῳ βουλομένων[5]. Ἦν δὲ καὶ τοῦτο πάντων χεῖρον ἡ τῶν οἰκείων προδοσία· οὐδὲ γὰρ ὀλίγοι τινὲς πρὸς τὰ τῶν ἐναντίων ἔβλεπον καὶ τῆς ἀρχῆς τῶν κακῶν αἴτιοι γεγόνασιν. Τούτων τοίνυν προαγόρευσιν ποιεῖται τόνδε ψαλμὸν ὁ μακάριος Δαβίδ, ἐκ τοῦ τῶν Μακκαβαίων προσώπου λέγων ὅσα ἐκείνοις εἰπεῖν ἥρμοττεν οὖσιν ἐν ταῖς συμφοραῖς.

---

1. Πρβλ. Ψαλ. 54,24. **2.** Πρβλ. Β′ Μακκ. 6,1-2. **3.** Πρβλ. Α′ Μακκ. 1,41-52. **4.** Πρβλ. Α′ Μακκ. 2,15-27. **5.** Πρβλ. Α′ Μακκ. 2,65-3,2.

2 «Ἐλέησόν με ὁ Θεός, ὅτι κατεπάτησέν με ἄνθρωπος· Ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με»

«Κατεπάτησεν»[1], ἀντὶ τοῦ συνέθλιψε, τῷ πλήθει τῶν κακῶν καὶ κατηνάλωσεν. Ἀδιαλείπτως πολεμοῦντες ἡμᾶς ἔθλιφον· δέδεικται γὰρ πολλαχοῦ τὸ διηνεκῶς καὶ ἀδιαλείπτως, «ὅλην τὴν ἡμέραν» λέγων, ἢ πᾶσαν ἡμέραν.

3 «Κατεπάτησάν με οἱ ἐχθροί μου ὅλην τὴν ἡμέραν»

Διαφόρως ποικίλλει τὸν λόγον, τὸ αὐτὸ λέγων ὅτι ἔπαθον ἀνήκεστα. Ἴδιον δὲ τοῦτο τοῦ μακαρίου Δαβίδ, ὅταν βούληται λέγειν τοῦ κακοῦ τὴν ἐπίτασιν[2].

«Ὅτι πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους ἡμερῶν»

Ἔνια τῶν ἀντιγράφων τὸ ὅτι «πολλοὶ οἱ πολεμοῦντές με ἀπὸ ὕψους ἡμερῶν»[3] οὐκ ἔχει, ἴσως τινῶν δευτερολογίαν περιττὴν νομισάντων καὶ διὰ τοῦτο τῆς βίβλου **362** περιελόντων, — οὓς ἐλεεῖν ἄξιον ὡς περιττόν τι τῆς Γραφῆς νομίσαντας — ἀμφότερα δὲ κεῖται παρὰ τῷ Προφήτῃ καὶ μᾶλλον ἀναγκαίως. Τὸ γάρ «ἀπὸ ὕψους ἡμερῶν» λέγει, ἀντὶ τοῦ ἄνωθεν, καὶ ἐξ ἀρχῆς, ἀπὸ τῶν ἄνω ἡμερῶν. Ἐπειδὴ γὰρ τὸ ἀνώτερον ἡμῶν πάντως καὶ ὑψηλότερον, «ὕψους ἡμερῶν» εἶπεν ἀντὶ τοῦ τῶν ἄνω· βούλεται δὲ εἰπεῖν ὅτι ἐξ ἀρχῆς καὶ ἄνωθεν κατεφρόνησα τῶν πολεμούντων μοι καὶ θλιβόντων με, οὐδέποτε δείσας αὐτοὺς καὶ καταπλαγείς, καίτοι γε ἄνωθεν ἔχων τοὺς ἐχθροὺς οὐδέποτε διαλείποντας τῆς πρὸς ἐμὲ φιλονεικίας. Λέγει δὲ τοῦτο ἀπὸ προσώπου τῶν Μακκαβαίων, οὐχ ὡς περὶ ἑαυτῶν λεγόντων, ἀλλ' ὡς ἀπὸ κοινοῦ τοῦ λαοῦ· ὑπὲρ πάντων γὰρ καὶ τὸν λόγον ἐποιοῦντο. Ἄνωθέν φησιν ἔσχον τοὺς πολεμοῦντας, — μέμνημαι γὰρ τῶν κατ' Αἴγυπτον, μετὰ ταῦτα ἀλλοφύλων, ὅσων καὶ οἵων καθ' ἕκαστον ἐπειράθην καιρόν —, ἀλλὰ κατεπλάγην οὐδένα· τὸ μηδὲν γὰρ τοὺς πάντας ἐλογισάμην τῇ σῇ βοηθείᾳ πάντων παραγιγνόμενος. Ἀναγκαίως οὖν κεῖται καὶ τὸ δεύτερον· τοῦτο γὰρ ἦν τὸ μέγα, τὸ ἄνωθεν καὶ τοὺς πολε-

---

1. Ψαλ. 55,2. 2. Πρβλ. Ψαλ. 93,3. 3. Ψαλ. 55,3.

μοῦντας ἔχοντα ἀεὶ καταφρονῆσαι τῶν ἐχθρῶν μηδέποτε καταπλαγέντα.

4 «Ἡμέρας οὐ φοβηθήσομαι, ἐγὼ δὲ ἐλπιῶ ἐπί σε»

Ἀντὶ τοῦ οὐδέποτε, ἀλλ' οὐδεμίαν, φησίν, ἡμέραν οὐκ ἂν φοβηθείην αὐτούς· πέποιθα γὰρ τῇ εἴς σε βοηθείᾳ[1].

5 «Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου»

Ἐπειδὴ τὸ ἐπαίνων ἄξιον πάντως καὶ θαυμαστόν φησι τῇ σῇ βοηθείᾳ, θαυμαστοὶ οἱ λόγοι μου καὶ πάσης γέμοντες ἀληθείας δειχθήσονται. Τοῦτο γὰρ αὐτὸ τὸ λέγειν με ὅτι μηδένα δέδοικα τῶν πολεμίων διὰ τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν, δειχθήσεται μεγάλως, ἀληθῶς καὶ εἰκότως λεγόμενον.

«Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ»

Διὰ γὰρ τῆς εἴς σε ἐλπίδος παρ' οὐδενός τι παθεῖν προσδοκῶ[2]. Καλῶς δὲ εἶπεν «σάρξ», ἀπὸ τοῦ εὐτελεστέρου μᾶλλον σμικρύνων τοὺς πολεμοῦντας ὡς ἀσθενεῖς καὶ δυναμένους οὐδέν.

6 «Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο»

363 Καλῶς εἶπε τό «ἐβδελύσσοντο», — Θεοδοτίων 'ἐζήτησαν'. Τοῦτο γὰρ λέγει ὅτι ἀεὶ παρετήρουν μου τοὺς λόγους, βουλόμενοι λαβὰς εὑρεῖν κατ' ἐμοῦ. Ἔοικε δὲ τοῦτο περὶ τῶν οἰκείων λέγειν, οἳ πάντα ἐπιτηροῦντες τὰ παρ' αὐτῶν λεγόμενα διαβάλλειν ἐπειρῶντο πρὸς τοὺς πολεμίους, ὥστε μειζόνως αὐτοὺς παροξύνειν κατ' αὐτῶν. Οὐκ ἀπεικότως δὲ εἶπεν τό «ἐβδελύσσοντο», ἀντὶ τοῦ ἐζήτησαν· ἐπειδὴ γὰρ μισητὸν τὸ βδελυκτόν, ἐπετήρουν δὲ αὐτοὶ τοὺς λόγους ἐπὶ τὸ διαβάλλοντες αὐξῆσαι τὸ κατ' αὐτοῦ μῖσος παρὰ τοῖς πολεμίοις, καλῶς ἀπὸ τοῦ σκοποῦ καὶ τοῦ ἀποβαίνοντος τὴν πρᾶξιν ἐκάλεσεν τὸ ἐπιτηρεῖν τε καὶ βλάβας κατ' αὐτοῦ ζητεῖν, βδελύσσεσθαι[3] εἰπών, ἐπειδὴ τοῦτο εἰργάζοντο κατ' αὐτοῦ.

---

1. Πρβλ. Ψαλ. 55,4. **2.** Πρβλ. Ψαλ. 55,5. **3.** Πρβλ. Ψαλ. 55,6.

«Κατ' ἐμοῦ πάντες οἱ διαλογισμοὶ αὐτῶν εἰς κακόν»

Πάντας φησὶ τοὺς διαλογισμοὺς αὐτῶν ἠσχόλουν κατ' ἐμοῦ εἰς τό τι κακὸν εὑρεῖν τε καὶ μηχανήσασθαι, ἢ τὰ λεγόμενα τηροῦντες καὶ διαβάλλοντες, ἢ παροξύνοντες καθ' ἡμῶν τοὺς ἐχθρούς, ἢ ὅλως τι καθ' ἡμῶν εὑρίσκοντες.

7 «Παροικοῦσι καὶ κατακρύψουσιν, αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι, καθάπερ ὑπέμειναν τὴν ψυχήν μου»

Κατὰ τὴν ἀκολουθίαν οὕτως εἶχε· «παροικοῦσι» κατακρύπτοντες καί «τὴν πτέρναν μου» φυλάττοντες, «καθάπερ ὑπέμειναν τὴν ψυχήν μου»[1]. Ἴδιον δὲ τοῦτο τῷ μακαρίῳ Δαβὶδ καὶ πολλαχοῦ τῶν ψαλμῶν εὑρισκόμενον, εἴτε ἀπὸ τοῦ ἑβραϊκοῦ ἰδιώματος, εἴτε ἀπὸ τῆς ἑρμηνείας οὕτω φαινόμενον τὸν πολλάκις ἀντιλέγοντα, ὥσπερ διαιροῦντα δύο λέγειν δοκεῖν — οἷον ὡς ὅταν λέγῃ «φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν»[2], ἀντὶ τοῦ φθέγγονται «καὶ λαλήσουσιν ἀδικίαν»· δοκεῖ γὰρ δύο λέγειν, καὶ μάλιστα τοῦ καὶ συνδέσμου μεσιτεύοντος, — ὅτι «φθέγξονται καὶ λαλήσουσιν» — ἓν δέ ἐστιν ὅ φησιν, ὅτι φθέγγονται ἀδικίαν λαλοῦντες. Οὕτω **364** καὶ ἐν τῷ μθ´ τό «Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν»[3] ἑρμηνεύοντες, ἐπεσημηνάμεθα ὅτι ἕν ἐστιν ὃ βούλεται εἰπεῖν, δύο εἶναι δοκοῦντα.

Λέγει δὲ αὐτὸ Σύμμαχος οὕτω· 'συνήγοντο λάθρα, καὶ τὰ ἴχνη μου παρετηροῦντο προσδοκῶντες τὴν ψυχήν μου'. Ἐνέδρας, φησίν, εἰργάζοντο καὶ ἐπετήρουν ἃ ἔπραττον, ὅπως ἄν με ἢ συλλαβόμενοι ἀνέλωσιν, ἢ προδόντες τοῖς πολεμίοις. Τὸ μὲν οὖν κατακρύπτεσθαι εἶπεν ἀντὶ τοῦ λαθραίως, — ἴδιον γὰρ τῶν λανθάνειν βουλομένων τὸ κρύπτεσθαι —, «πτέρναν» δὲ τὴν ὁδόν, ἀντὶ τοῦ τὴν πρᾶξιν, ὡς καὶ ἐν τῷ μη´ τό «ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με»[4] εἴρηται δὲ ἐκεῖ καὶ ὅθεν λαβὼν τὴν πρᾶξιν οὕτω καλεῖ. Τὸ δὲ παρατηρεῖν φυλάττειν ἐκάλεσεν, ἐπειδὴ τῶν φυλαττόντων τὸ τηρεῖν ἴδιον, ὡς καὶ συμπίπτειν ἄμφω πολλάκις γοῦν ἀντὶ τοῦ φυλάττειν τὸ τηρεῖν φαμέν. Τὸ δὲ προσδοκᾶν ὑπομένειν, ἐπειδὴ ὁ

---

1. Ψαλ. 55,7. 2. Ψαλ. 93,4. 3. Ψαλ. 49,1. 4. Ψαλ. 48,6.

ὑπομένων πάντως ἔσεσθαί τι προσδοκῶν ὑπομένει μέχρις ἂν γένηται. Τὸ μέντοι συνάγεσθαι παροικεῖν, ἐπειδὴ τῶν παροικούντων που ἴδιον τὸ ἐκεῖ συνεῖναι καὶ διάγειν καὶ ἅπαντα πράττειν οὗπερ ἂν παροικῶσιν· διὰ τοῦτο τό «συνάγονται» καί«παροικοῦσιν» ἐκάλεσεν, ἵνα δείξῃ τῆς πρὸς τοῦτο συνόδου τὸ σπουδαῖον, ὅτι ὡς παροικοῦντες τῷ τόπῳ καὶ ἀναγκαίας ἐκ τῆς οἰκήσεως καὶ τῆς ἐκεῖ διαγωγῆς τὰς συνόδους ποιούμενοι, οὕτω διεμελέτων τὰ κατ' ἐμοῦ. Συνῄεσαν οὖν φησι κρύπτοντες, ἀντὶ τοῦ λάθρα, καὶ τὰ παρ' ἐμοῦ πραττόμενα ἐπιτηροῦντες· σπουδάζοντες γὰρ καὶ προσδοκῶντες μονονουχὶ τὴν ἔξοδον ἰδεῖν τῆς ψυχῆς τῆς ἐμῆς, ἅπαντα ἔπραττον. Πρὸς τοῦτο τὴν τε ἐναλλαγὴν ταύτην εἰρήκαμεν γεγενῆσθαι τῶν ῥητῶν, καὶ τόδε μὲν ἀντὶ τοῦδε εἰρῆσθαι, τόδε δὲ ἀντὶ τοῦδε.

'Αλλὰ καὶ τὴν Συμμάχου ἔκδοσιν ἀντιπαραθέντες ἐδείξαμεν ἑκάστην τῶν λέξεων ὅπως κειμένην ἐν τῇ θείᾳ Γραφῇ κατὰ τὴν τῶν Ἑβδομήκοντα ἔκδοσιν, ὅπως Σύμμαχος ἐν τῇ οἰκείᾳ ἐκδόσει φαίνεται εἰρηκώς. Ἡρμηνεύσαμεν δὲ διὰ τί τόδε, ὥστε καὶ τὴν διάνοιαν σαφηνίσαι καὶ δεῖξαι ὅτι οὐκ ἀπᾴδοντα εἰρήκασιν, ἀλλὰ καὶ πολλὴν ἔχοντα τὴν ἐγγύτητα ἀπὸ τῶν σημαινομένων. Ἡ δὲ διαφορὰ ἐν τῷ τὸν μὲν σαφέστερον εἰπεῖν ἀπὸ τῆς διανοίας φροντίσαντα, τοῦ δὲ ἀμαυρότερον ἐμφαντικωτέραις ταῖς λέξεσιν καὶ κατὰ τὴν ἐν τῷ ἑβραϊκῷ διάνοιαν ἐκδοῦναι βουληθέντος, — ὃ καὶ πολλαχοῦ καὶ μικροῦ ἐν τοῖς πλείοσίν ἐστιν εὑρεῖν. Ὅθεν οἱ Ἑβδομήκοντα μὲν **365** ἐσπούδασαν μᾶλλον τὴν ἐν τῷ ἑβραϊκῷ ἔμφασιν ἀδιάφορον φυλάξαι, ὁ δὲ Σύμμαχος τῆς σαφηνείας ἐπιμελεῖσθαι ἔδειξεν, ἐπιτυγχάνειν δὲ οὐ πανταχοῦ τῆς οἰκείας ἀξίως ἐπιχειρήσεως· πολλαχοῦ γὰρ παρὰ τὴν σαφήνειαν ἀσχολῶν, ἑαυτὸν δῆθεν πολὺ ἀπᾴδοντα τῆς διανοίας τίθησιν.

Ὅθεν τινές, οὐ πρὸς τὴν ἀκολουθίαν ἰδόντες, ᾠήθησαν ἀπὸ τῆς κατὰ τὸ πρόχειρον σαφηνείας κρείττονα εἶναι τὴν Συμμάχου ἔκδοσιν. Εἰ δέ τις πρὸς τὴν ἀκολουθίαν ἴδοι καὶ τὴν ὑφὴν τῆς γραφικῆς διανοίας, οὐκ ἄν ποτε ἑτέραν ἔκδοσιν τῆς τῶν Ἑβδομήκοντα προτιμήσειεν, οὐχ ὅτι καιρίως ἅπαντα τούτοις ἡρμήνευται μᾶλλον, — ἔστι γὰρ ἐν οἷς ἀσθενέστερον τὴν ἑρμηνείαν ἐξήνεγκαν, ἐνίοτε δὲ καὶ ἀπέτυχον τῶν ἄλλων σαφέστερον καὶ ἀκολουθότε-

ρον εἰπόντων —, ἀλλ' ὅτι καθόλου τοῖς ἄλλοις συγκρινόμενοι κρείττους εὑρίσκονται πολλῷ κἂν ἀσυνηθέστερον εἰπόντες τὰ πλείονα. Τοῦ δὲ τοὺς μὲν Ἑβδομήκοντα τῆς ἐμφάσεως φροντίσαι μᾶλλον, τὸν δὲ Σύμμαχον τοῦ σαφεστέρου ἐπιμεληθῆναι, πολλὰ μὲν τῷ ζητοῦντι τὰ γνωρίσματα.

Κείσθω δὲ ἓν ἢ δύο πρὸς πᾶσαν σύστασιν τοῦ λεγομένου, οἷον ἐν τῷ ξζ' «ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσιν»[1]· Σύμμαχος λέγει 'συνόδῳ παμμεγεθῶν', καὶ ἄλλοι μὲν συνηκολούθησαν τῇ τοῦ ἑβραϊκοῦ διανοίᾳ, ὁ δὲ μᾶλλον ἐσαφήνισεν. Οὕτω καὶ ἐπὶ τῷ «ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς»[2], Σύμμαχος 'ἐκ πρώτης' λέγει· οὗτος γὰρ μᾶλλον σαφῶς εἶπε τὸ κείμενον. Ἡ δὲ αἰτία τούτων ἐστὶν αὕτη, ὅτι ὁ Ἑβραῖος τὰ πολλὰ ὥσπερ ἐμφαντικῶς λέγει βουλόμενος, καὶ τοῦτο ἔχων ἰδίωμα δι' ὁμοιωμάτων λέγειν καὶ παραβολῶν. Ταῦτα δὲ μόλις πρὸς παράστασιν ἱκανά· λέγει γὰρ αὐτὰ οὐχ ὡς ὁμοιώματα, ἀλλ' ἀντὶ πραγμάτων τιθείς, οἷον τὸ νῦν ῥηθὲν ταύρων εἶπεν ἀντὶ τοῦ παμμεγεθῶν, οὐχ εἰπὼν ὡς ταύρων ἀλλὰ ταύρων ἁπλῶς· ἀπὸ γὰρ τοῦ ἐν ταῖς ἀγέλαις τῶν βοῶν τοὺς ταύρους μάλιστα μεγάλους φαίνεσθαι, τὸ παμμέγεθος λαβὼν εἶπε ταύρων, αὐτὸ τεθεικὼς ἀντὶ τῆς σημασίας, — οὕτω καὶ τό «κατὰ ἀνατολάς», ἐπειδὴ ἀρχὴ ἡμέρας ἡ πρώτη ἀνατολὴ τοῦ ἡλίου, τὸ ἐκ πρώτης φαύσεως ἀνατολὴν καλέσας, καὶ οὐκ εἰπὼν ὡς «κατὰ ἀνατολάς». Ὁμοίως οὖν κἀνταῦθα καὶ ἐν τοῖς τοιούτοις οἱ μὲν Ἑβδομήκοντα τὴν ἔμφασιν τοῦ ἐμφαντικοῦ μὴ παραφθεῖραι ἔσπευσαν, Σύμμαχος δὲ τὴν διάνοιαν εἰπεῖν ἐν πολλοῖς προείλετο **366** τοῦ ἀκρώδους τῆς ἐμφάσεως φροντίσας, πολλαχοῦ μέντοι καὶ ὡς ἑρμηνείαν τὴν αὐτὴν ἐξηλλαγμέναις ταῖς λέξεσιν εἰπὼν διάνοιαν, οἷον δὴ καὶ ἐπὶ τῷ νῦν ἐπὶ τὸ πλεῖστον εὑρίσκεται. Τούτων δέ τις τῶν νῦν εἰρημένων ἔχων τὴν μνήμην ἐν πολλοῖς ἀκριβέστατον αὐτὰ καὶ σαφέστατον ἕξει κανόνα τὴν ἑρμηνείαν ἐπιτηρῶν.

8 «Ὑπὲρ τοῦ μηθενὸς ὤσεις αὐτούς»

Τινές 'σώσεις' ἀναγινώσκουσιν, ἀντὶ τοῦ σωτηρίαν αὐτοῖς πα-

---

1. Ψαλ. 67,31. **2.** Ψαλ. 67,34.

ρέξεις. Οὐ τοῦτο δὲ λέγει ὁ Ψαλμωδός, ἀλλ' «ὤσεις»[1], ἀντὶ τοῦ ἀπώσεις· βούλεται γὰρ εἰπεῖν ὅτι ὡς τὰ μηδὲν ὄντα ἀπωθήσεις αὐτοὺς καὶ ἀποστήσεις, εἰς ἔργον ἐκβαλεῖν ἐάσας ὧν ἐπιχειροῦσιν καθ' ἡμῶν διαπράττεσθαι οὐδέν. Καλῶς δὲ τό «ὤσεις» εἶπεν, ὥστε δεῖξαι ὅτι καὶ τούτων ἀφίστανται, καὶ αὐτοὶ τιμωρίᾳ περιβάλλονται. Ὁ γὰρ ὠθούμενος μακράν τε ἀποπέμπεται καὶ κατάπτωσιν ἀναγκαίως ὑπομένει ὅταν ἰσχυρὸν τὸν ὠθισμὸν εἶναι συμβαίνει.

«Ἐν ὀργῇ λαοὺς κατάξεις»

Καὶ τῇ οἰκείᾳ φησὶν ὀργῇ σφοδρότερον κατ' αὐτῶν κινηθείς, ταπεινώσεις αὐτοὺς καὶ καθελεῖς ἀπὸ τῆς προσούσης αὐτοῖς δυναστείας· ὀργὴν γὰρ καλεῖ τὴν τιμωρίαν ἐπὶ τοῦ Θεοῦ.

9 «Ὁ Θεός, τὴν ζωήν μου ἐξήγγειλά σοι»

Πᾶσαν μου τὴν ζωήν, φησί, καὶ πάντα σοι τὰ κατ' ἐμαυτὸν ἐγνώρισα καί σοι ἀνεθέμην, ἀντὶ τοῦ ἐμαυτὸν σοι ἐπέῤῥιφα. Τὸ δέ «ἐξήγγειλα» λέγει ἀπὸ τῶν τὰ καθ' ἑαυτοὺς ἀπαγγελλόντων τε καὶ γνωριζόντων φίλοις, ὥστε εἰς βοήθειαν αὐτοὺς ἐπισπάσασθαι.

«Ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν τῇ ἐπαγγελίᾳ σου»

Ἐπειδὴ πόῤῥωθεν διὰ τῶν Προφητῶν προεμήνυσεν ὁ Θεὸς τὸ ἐσόμενον, τοῦτό φησι κατέστησάς με ἐν δάκρυσιν[2], ἐν συμφοραῖς, ἀκολούθως τῇ παρά σου ἐπαγγελίᾳ.

10 «Τότε ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω»

367«Τότε ἐπιστρέψουσιν», τότε ὡς πρὸς τὰ ἄνω. Ἐπειδὴ τοίνυν, φησί, καὶ τὴν ζωὴν ἀνεθέμην ἐγώ σοι τὴν ἐμήν, καὶ τὰ λυπηρὰ τῆς καθ' ἡμῶν ἐπαγγελίας πεπλήρωταί σοι[3], δίκαιον λοιπὸν καὶ τοὺς ἐχθροὺς δοῦναι τιμωρίαν. Τὸ οὖν «ἐπιστρέψουσιν εἰς τὰ ὀπίσω»[4], ἀντὶ τοῦ ἐπιστραφήτωσαν δέ «εἰς τὰ ὀπίσω», ἵνα εἴπῃ ἀποσταῖεν λοιπὸν ἀφ' ἡμῶν καὶ ἐντραπεῖεν εἰς φυγήν[5]. Τὸ οὖν τότε ὡς

1. Ψαλ. 55,8. **2.** Πρβλ. Ψαλ. 55,9. **3.** Ἔνθ' ἀν. **4.** Πρβλ. Ψαλ. 77,66. **5.** Πρβλ. Ψαλ. 141,5.

πρὸς τὰ ἄνω, ἀντὶ τοῦ τότε πείσονται ταῦτα οἱ ἐχθροὶ καὶ ὑποστήσονται δικαίως, ἐπειδὰν ἐγώ τέ σοι ἐμαυτὸν ἀναθῶμαι καὶ τὰ τῆς ἐπαγγελίας πέρας λάβῃ τῆς σῆς, ἵνα εἴπῃ ὅτι τούτων γενομένων ἐκεῖνοι δώσουσι δίκας.

«Ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε, ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σύ»

Ἐντεῦθεν λοιπὸν οὐκέτι καλοῦντά σε καὶ τὴν παρά σου βοήθειαν ὑπέρθεσιν εὑρεῖν, ἀλλ' ὁμοῦ τε καλῶ καὶ ἕπεται ἡ παρά σου βοήθεια. Τὸ γάρ «ἰδοὺ ἔγνων ὅτι Θεός μου εἶ σὺ»[1] ἀντὶ τοῦ καὶ γνωριῶ ὅτι σύ μου εἶ ὁ προστάτης, ἵνα εἴπῃ ὅτι ἀπολαύω τῆς προστασίας τῆς σῆς, — ἀντὶ τοῦ πράγματος τὴν γνῶσιν κατὰ τὸ σύνηθες τεθεικώς, — ἐπειδ' οὗπερ ἂν ἀπήλαυσε, τοῦτο πάντως καὶ οὕτως ἔχειν ἐγνώρισεν.

11 «Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα»

Αὐτός μου δείξει τοὺς λόγους θαυμαστούς,[2] εἰς ἔργον ἐκφέρων ἅπερ αἰτῶ.

«Ἐπὶ τῷ Θεῷ αἰνέσω λόγον»

Τὸ αὐτὸ λέγει ἐπὶ τῷ πλατυσμῷ καὶ τῇ δευτερώσει, κοσμιώτερον δεικνὺς τὸ παρὰ τοῦ Θεοῦ γιγνόμενον.

12 «Ἐπὶ τῷ Θεῷ ἤλπισα, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος»

Αὐτῷ γὰρ πεποιθὼς οὐ δέδοικα, φησί, μή τι πάθω.[3]

13 «Ἐν ἐμοί, ὁ Θεός, αἱ εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σοι»

368 Ὅσα ἐπηγγειλάμην ἀποδοῦναι[4] τυχὼν τῆς παρά σου βοηθείας, ταῦτα καὶ ἀποδώσω. «Ἐν ἐμοί» γάρ εἰσιν, ἀντὶ τοῦ οὐκ ἀπέβαλον τὴν μνήμην, οὐκ ἀπέβαλον τὴν περὶ τὸ πρᾶγμα διάθεσιν, ἀλλ' ἔχω αὐτὰς ἐν ἐμαυτῷ καὶ μέμνημαι, ὥστε σοι ἐν καιρῷ μετὰ τὴν τῶν κακῶν ἀπαλλαγὴν ἀποδοῦναι ἅπερ ἐπηγγειλάμην.

---

1. Ψαλ. 55,10. **2.** Πρβλ. Ψαλ. 55,11. **3.** Πρβλ. Ψαλ. 55,12. **4.** Πρβλ. Ψαλ. 55,13.

14 «Ὅτι ἐρρύσω τὴν ψυχήν μου ἐκ θανάτου, καὶ τοὺς πόδας μου ἐξ ὀλισθήματος»

Τὰς ὑπὲρ τούτων, φησίν, εὐχὰς ἐπηγγειλάμην τε καὶ ἀποδίδωμι, ὅτι τε ἀπήλλαξάς με κινδύνων καὶ θανάτων, καὶ ὅτι μικροῦ παρατραπέντα καὶ καταπεσόντα καὶ ἀπολόμενον ἤγειρας καὶ ἔστησας[1], οὐδὲ περιτραπῆναι ὑπὸ τῶν πολεμίων ἐάσας. Τίνες μέντοι αἱ ὑπὲρ τούτων εὐχαί;

«Εὐαρεστήσω ἐνώπιον τοῦ Θεοῦ ἐν φωτὶ ζώντων»

Τοῦτο γὰρ ἀκολουθόν ἐστι τῷ «ἐν ἐμοί, ὁ Θεός, εὐχαὶ ἃς ἀποδώσω αἰνέσεώς σοι»[2], — τὰ δὲ λοιπὰ διὰ μέσου. Παρενθεὶς γὰρ τὰς εὐεργεσίας, ὑπὲρ ὧν τὰς εὐχὰς ἐποιήσατο, τότε ἐπήγαγε καὶ τὰς εὐχὰς αὐτάς, αἵτινές εἰσι λέγων. Ταύτας γὰρ λέγει τὰς εὐχάς, ὧν καὶ μεμνῆσθαι, φησί, καὶ ἀποδώσειν ἐπαγγέλλεται, τὸ εὐαρεστεῖν Θεῷ. Τοῦτο οὖν, φησίν, ἐπηγγειλάμην καὶ τοῦτο πληρώσω, μεγάλων τῶν παρά σου τυχὼν καλῶν. Τὸ δέ «ἐν φωτὶ ζώντων»[3], ἀντὶ τοῦ μέχρις ἂν ὦ κατὰ τόνδε τὸν βίον καὶ ἀπολαύω τοῦδε τοῦ φωτὸς οὗπερ πάντες ἀπολαύουσιν οἱ ζῶντες, μέχρι τότε καὶ τῆς εὐαρεστήσεως ἐπιμελήσομαι τῆς σῆς, μεμνημένος ὧν ἔτυχον. Καλῶς δὲ τοῦτο καὶ εὔχεσθαι εἶπε καὶ ἀποδώσειν ἐπηγγείλατο, εἰ ῥυσθείῃ τῶν πολεμίων, ὡς δι' ἁμαρτίας πασχόντων καὶ εἰκότως τῇ τῆς διορθώσεως ἐπαγγελίᾳ τὴν λύσιν λαμβανόντων.

Ψαλμὸς 56

369 Περὶ τῶν αὐτῶν προλέγει, ἀλλ' ἐν μὲν τῷ προτέρῳ ὡς ἐν συμφοραῖς ὄντων καὶ πασχόντων μεγάλα φησὶ καὶ διὰ τοῦτο τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν αἰτούντων, ἐνταῦθα δὲ ὡς ἐπὶ γεγενημέναις νίκαις καὶ κατὰ τῶν ἐχθρῶν εὐχαριστούντων, ἢ ὡς ὀλίγου τινὸς ὄντος ἔτι τοῦ περιλιμπανομένου κακοῦ.

---

1. Πρβλ. Ψαλ. 114,3. **2.** Ψαλ. 55,13. **3.** Ψαλ. 55,14.

2 «Ἐλέησόν με ὁ Θεός, ἐλέησόν με»

Δαψιλῆ μοι, φησί, παράσχου τὴν παρά σου φιλανθρωπίαν· τοῦτο γὰρ τῷ διπλασιασμῷ σημαίνειν βούλεται.

«Ὅτι ἐπί σοι πέποιθεν ἡ ψυχή μου, καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ»

Τό «ἐπί σοι» καὶ τό «ἐν σκιᾷ τῶν πτερύγων»[1] τὸ αὐτὸ λέγει. Καὶ γὰρ ἐπί σοι, φησίν, ἔχω πᾶσαν τὴν πεποίθησιν σκεπασθῆναι ταῖς σαῖς πτέρυξιν ἐλπίζων[2], — ἵνα εἴπῃ τὴν ἀπόλαυσιν τῆς σῆς περιμένω βοηθείας, ἐκ μεταφορᾶς τῶν ὀρνίθων, αἳ τοὺς νεοττοὺς ὑπὸ τὰς πτέρυγας φυλάττουσιν.

«Ἕως οὗ παρέλθῃ ἡ ἀνομία»

Τό «ἕως οὗ» οὐχ ὁριστικῶς λέγει, — οὐδὲ γὰρ ἂν εἶπεν μέχρι τότε ἐλπίζω, ὕστερον δὲ οὐκέτι, — ἀλλὰ κατὰ ἀναίρεσιν λέγει τοῦ ἐναντίου. Καὶ συνήθως δὲ οὕτω λέγει, οἷον τῷ τοῦ Θεοῦ πρώτῳ λαῷ τό «ἕως ἂν καταγηράσητε ἐγώ εἰμι»·[3] οὐχ ὅτι μετὰ τοῦτο οὐκ ἔσται, — ἀσεβὲς γὰρ καὶ νοῆσαι —, ἀλλ' ἀντὶ τοῦ οὐχ οἷόν τέ με ἐν μέσῳ ἔξω γενέσθαι τοῦ εἶναι, οὕτω καὶ τοῦ Ἀποστόλου τό «δεῖ γὰρ αὐτὸν βασι**370**λεύειν ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ»[4], ἀντὶ τοῦ οὐκ ἔνεστιν αὐτοῦ ἐν τῷ μέσῳ παρασαλευθῆναι τὴν Βασιλείαν. Οὕτω καὶ ἐνταῦθα τὸ «ἕως οὗ παρέλθῃ ἡ ἀνομία»[5] ἀκολούθως τοῖς ἄνω ἐπαγαγών, τουτέστιν ὅτι μένω ἐλπίζων ἐπί σε ἄχρις ἂν τέλος λάβῃ τὰ ἐπικείμενα κακὰ καὶ ὁ πόλεμος, καὶ οὐχ οἷόν τε ἐκστῆναί με τῆς ἐπί σε ἐλπίδος μέχρις ἂν τύχω τοῦ προσδοκουμένου. Ἀνομίαν δὲ ἐκάλεσεν τὰς εἰς αὐτόν, ὡς ἀνόμως καὶ ἀδίκως παρὰ τῶν ἐχθρῶν καὶ ἄνευ παντὸς δικαίου λόγου γιγνομένας.

3 «Κεκράξομαι πρὸς τὸν Θεὸν τὸν Ὕψιστον, τὸν Θεὸν τὸν εὐεργετήσαντά με»

Καὶ γὰρ μέχρις ἂν τούτων ἀπολαύσω, διαμενῶ σε καλῶν τὸν

---

1. Ψαλ. 56,2. **2.** Πρβλ. Ψαλ. 20,4. **3.** Ἠσ. 46,4. **4.** Α' Κορ. 15,25. **5.** Ψαλ. 56,2.

καὶ ἤδη τὴν εὐεργεσίαν χαρισάμενον καὶ τῶν μεγάλων ἀπαλλάξαντα κακῶν· ἀφ' ὧν γὰρ ἔτυχον ἤδη πέπεισμαι καὶ πάλιν τυχεῖν. Καὶ λοιπὸν διηγεῖται τὴν παρὰ τοῦ Θεοῦ εὐεργεσίαν [1] ὁμοῦ καὶ τὴν χάριν σημαίνων καὶ πείθων ὅτι δικαίως καὶ ὑπὲρ τῶν λειπομένων πιστεύει.

4 «Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με»

Τοιαῦτα γάρ φησιν ἃ πεποίηκεν. Καλῶς δὲ τό «ἐξαπέστειλεν», ὡς ἐπὶ βασιλέως δυνατοῦ βοήθειαν καὶ συμμαχίαν ἀποστείλαντος. «Ἐξ οὐρανοῦ»[2] δὲ εἰπὼν ἔδειξε τῆς βοηθείας τὸ ἰσχυρόν· αὐτὸς γάρ φησι συμμαχήσας ἔσωσεν.

«Ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με»

Ἐν τῷ πρὸ τούτου λέγει «κατεπάτησέν με ἄνθρωπος»[3]. Καλῶς οὖν ὧδε «τοὺς καταπατοῦντάς με» — ἐκείνους φησὶ τοὺς παντὶ τρόπῳ διαπατεῖν καὶ διαλύειν βουλομένους, — τοσούτοις περιέβαλε κακοῖς, ὥστε ὀνειδίζεσθαι παρὰ πάντων ἐπὶ ταῖς συμφοραῖς.

«Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ καὶ τὴν ἀλήθειαν αὐτοῦ»

Εἶπεν τίς ἡ ἀποσταλεῖσα παρὰ τοῦ Θεοῦ συμμαχία, ἡ φιλανθρωπία καὶ ἡ ἀλήθεια, συνήθως αὐτὰ συνάψας ἀλλήλοις, ἵνα τῷ μὲν ἐλέῳ τὴν φιλανθρωπίαν σημάνῃ καὶ τὴν χάριν, τῇ δὲ ἀληθείᾳ τὸ ἰσχυρὸν καὶ βέβαιον τῆς χάριτος.

5 «Καὶ ἐρρύσατο τὴν ψυχήν μου ἐκ μέσου σκύμνων»

371 Καὶ ταύτῃ τῇ βοηθείᾳ ἀφείλετό με καὶ ἀπήλλαξεν τῶν πολεμίων, καίτοι ὥσπερ ἐπὶ λεόντων κεκυκλωμένων[4] σκύμνους γὰρ ἐνταῦθα τὰ τῶν λεόντων ἔκγονα λέγει, ἵνα δείξῃ τὸ δεινὸν καὶ θρασὺ τῶν πολεμίων.

---

1. Πρβλ. Ψαλ. 12,6. **2.** Ψαλ. 56,4. **3.** Ψαλ. 55,2. **4.** Πρβλ. Ψαλ. 123,7.

«Ἐκοιμήθην τεταραγμένος»

Ἐγὼ οὖν, φησίν, ὑπὸ τοῦ πλήθους τῶν κακῶν μέσου ληφθεὶς τῶν τοσούτων καὶ τηλικούτων πολεμίων, ὑπὸ ταραχῆς τε καὶ ἀπορίας ἐταπεινώθην, ἐπειδὴ ὥσπερ ὁ ὕπνος ἄπρακτον ἀποφαίνει τὸν καθεύδοντα, οὕτω καὶ ταπείνωσις παρὰ πολεμίων ἐγγινομένη καὶ ταραχὴ περιβαλοῦσα, τὸν κατεχόμενον ἀργὸν πάντῃ ποιεῖ καὶ τῷ πάσχειν πρόχειρον.

«Υἱοὶ ἀνθρώπων, οἱ ὀδόντες αὐτῶν ὅπλα καὶ βέλη»

Υἱοὺς ἀνθρώπων λέγει, ἀντὶ τοῦ ἀνθρώπους· ὡς καὶ ἐν τῷ πρὸ τούτου τό «κατεπάτησέν με ἄνθρωπος»[1] καὶ τό «οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος»[2] οὕτω κἀνταῦθα. Ἀλλ' εἰ καὶ τῶν ἀνθρώπων τούτων φησὶν οἱ ὀδόντες ὅπλα τε καὶ βέλη ἵνα εἴπῃ ὅτι ὥσπερ ὀδοῦσί τισι κατεσθίοντες, οὕτω τοῖς ὅπλοις καὶ τοῖς βέλεσιν ἅπαντας ἀναλίσκειν δυνατοὶ διὰ τὴν προσοῦσαν αὐτοῖς ἰσχύν.

«Καὶ ἡ γλῶσσα αὐτῶν μάχαιρα ὀξεῖα»

Εἰ δὲ καὶ τῇ μαχαίρᾳ σφάττουσιν, εὐκόλως ὡσεὶ γλῶτταν αὐτὴν ῥᾳδίως κινοῦντες κατὰ τῶν ἐναντίων[3], — ἐπειδὴ γὰρ λέοντας ἐκάλεσεν, **372** καλῶς εἶπεν τὸ ὀδόντας, καὶ γλῶσσα τοῦτό φησι, — τοῖς πολεμικοῖς ὀργάνοις οὕτω ῥαδίως κέχρηνται κατὰ τῶν ἐναντίων ὥσπερ λέων ὀδοῦσί τε καὶ γλώττῃ. Ἀλλὰ τί;

Σφάττουσι, φησί, τῇ γλώττῃ εὐκόλως ἐνδιαβάλλοντες, ὡς μαχαίραν αὐτὴν ῥαδίως κινοῦντες. Ἐπειδὴ γὰρ λέοντας ἐκάλεσε τοὺς πρὸς τὸ διαβάλλειν ἑτοίμους, εἰκότως ὀδόντων καὶ γλώσσης ἐμνημόνευσε, τροπικώτερον τὰ τῆς ὑποθέσεως παρῳδῶν, καὶ δεικνὺς μηδὲν ἀπῳδεῖν λεόντων τῇ ἀγριότητι τοὺς κατηγορίαις καὶ διαβολαῖς κατὰ τῶν πλησίον χρωμένους.

6 «Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου»

---

1. Ψαλ. 55,2. **2.** Ψαλ. 55,5. **3.** Πρβλ. Ψαλ. 56,5.

Ἀλλ' αὐτὸς τῇ οἰκείᾳ βοηθείᾳ δεῖξον σεαυτόν τε μέγαν καὶ ὑψηλόν[1], καὶ ἐν αὐτοῖς ὄντα τοῖς οὐρανοῖς τῷ παραδόξῳ τῆς εἰς τούτους τιμωρίας. Οὕτω γὰρ κατὰ «πᾶσαν» ἐπίδοξος ἔσῃ τὴν γῆν[2], πάντων θαυμαζόντων καὶ ἐκπληττομένων τὸ γεγονός.

7 «Παγίδα ἡτοίμασαν τοῖς ποσί μου»

Πάλιν τὰς παρ' ἐκείνων ἐπιβουλὰς διηγεῖται· συνεχῶς γὰρ στέφει τὸν λόγον, ποτὲ μὲν τὴν τῶν ἐναντίων λέγων ἐπιβουλήν, ποτὲ δὲ τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν ἐξαγγέλλων. Ἐνέδρας μοί φησι κατεσκεύασαν πολλάκις, ὥστε με συλλαβεῖν.[3]

«Καὶ κατέκαψαν τὴν ψυχήν μου»

Ἀλλὰ καὶ εἰς ἀγῶνά με πολλάκις κατέστησαν, ταπεινώσαντες τῷ πλήθει τῶν κακῶν[4] καὶ περὶ τῆς σωτηρίας αὐτῆς ἀγωνιάσαι πολλάκις παρασκευάσαντες.

«Ὤρυξαν πρὸ προσώπου μου βόθρον, καὶ ἐνέπεσον εἰς αὐτόν»

Πόσα δὲ ἐμηχανήσαντο κατ' ἐμοῦ οὕτω βαρέα τε καὶ χαλεπά, ὥστε ἐμπεσόντα μηδὲ ἔκδυσιν εὑρίσκειν τινὰ καὶ ἀπαλλαγὴν προσδοκᾶν· τοῦτο γὰρ λέγει «βόθρον»[5], τὸ δυσαπάλλακτον καὶ ἀδιεξόδευτον κακόν. Καὶ τοιαῦτα μηχανησάμενοι κατ' ἐμοῦ, αὐτοὶ τοῖς κακοῖς περιεβλήθησαν·[6] ὤφθην μὲν γὰρ ἐγὼ τῆς παρά σου τυχὼν βοηθείας, τιμωρίαν δὲ ἔδωσαν ἐκεῖνοι τοῦ καθ' ἡμῶν τολμήματος.

: *8 «Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καὶ ψαλῶ»*

373 Ὅτι τὸ ἕτοιμον ἑδραῖον[7] λέγει, καὶ διὰ τί, εἴρηται ἡμῖν ἑτέρωθι. Φησὶ τοίνυν ὅτι βέβαιον ἔχω τὸν λογισμὸν καὶ ἀπαρασάλευτον, — καρδίαν γὰρ τὸν λογισμὸν καλεῖ, ἀπαρασάλευτον δέ· διὰ τοῦτο «ᾄσομαι καὶ ψαλῶ»,[8] τουτέστι τελείας τυχὼν τῆς παρά σου βοηθείας καὶ εὐεργεσίας ὕμνοις καὶ ᾠδαῖς χρήσομαι πρεπου-

1. Πρβλ. Ψαλ. 70,19. **2.** Πρβλ. Ψαλ. 56,6. Ψαλ. 71,19. **3.** Πρβλ. Ψαλ. 140,9. **4.** Πρβλ. Ψαλ. 142,3. **5.** Ψαλ. 56,7. **6.** Πρβλ. Ψαλ. 7,16. **7.** Πρβλ. Ψαλ. 32,14. **8.** Ψαλ. 56,8.

σαις ὑπὲρ τῶν γεγενημένων. Ὅμοιον δὲ ἐστι τοῦτο τῷ κειμένῳ ἐν τῷ πρὸ τούτου ψαλμῷ. Καὶ γὰρ ἐκεῖ φησιν «ἐν ἐμοί, ὁ Θεός, εὐχαί ἃς ἀποδώσω αἰνέσεώς σοι»[1] ἀντὶ τοῦ ἐν ἐμαυτῷ κατέχω καὶ μέμνημαι τῶν ἐπαγγελμάτων, ἑτοίμως ἔχων ἀποδοῦναι ἐν καιρῷ· οὕτω κἀνταῦθα, ἥδρασταί μοί φησιν ὁ λογισμὸς εἰς τὴν ἀπόδοσιν τῆς χάριτος. Χρῆται δὲ αὐτοῖς οὐχ ἁπλῶς, ἀλλ' ἐπειδὴ τῆς ἐπανόδου τυχόντες τῆς ἀπὸ Βαβυλῶνος[2] οὐ πρὸ πολλοῦ ἀγνώμονες ἐδείχθησαν τῇ ἐπὶ τὸ χεῖρον μεταβολῇ, ὥσπερ ἀσφαλίζεται διὰ τῶν λόγων ὁ Προφήτης, ὥστε κἂν νῦν γοῦν μὴ ἀγνώμονας φανῆναι.

9 «Ἐξεγέρθητι ἡ δόξα μου»

Λοιπὸν ὥσπερ ἐγκελευόμενος περὶ τοῦ τὴν εὐχαριστίαν πληροῦν, «ἐξεγέρθητι», φησίν, «ἡ δόξα μου»[3] ἀντὶ τοῦ κινοῦ μοι πρὸς ψαλμῳδίαν καὶ ὑμνῳδίαν Θεοῦ. Δόξαν γὰρ ἰδίαν καλεῖ τὴν εἰς τὸν Θεὸν ὑμνῳδίαν, ἐπειδήπερ ἐκόσμει τε αὐτὸν καὶ ἐπίδοξον καθίστη ἡ περὶ τὸν Θεὸν συνείδησις.

«Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα»

Ὡσπερεὶ τοῖς ὀργάνοις ἐγκελευόμενός φησι κινηθήτω «κιθάρα», κινηθήτω «ψαλτήριον», ἀντὶ τοῦ ἄγε δὴ πληρούσθω ὕμνος, φθεγγέσθω ψαλτήριον, κινείσθω κιθάρα[4], πάντα ὅσα προσήκει πρὸς ὕμνον Θεοῦ γενέσθω.

«Ἐξεγερθήσομαι ὄρθρου»

374 Ὀρθιόν φησιν ἐμαυτὸν διεγείρω πρὸς τὴν ὑμνῳδίαν, ἀπὸ τοῦ καιροῦ τὸ σπουδαῖον εἰπεῖν βουληθείς.

10 «Ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε, ψαλῶ σοι ἐν ἔθνεσιν»

Εὐχαριστήσω σοι περὶ πάντων τῶν οἰκείων, ὑπὲρ τῶν γεγονότων, «ψαλῶ σοι ἐν ἔθνεσιν»[5], ἀνοίσω δέ σοι ὕμνους καὶ ἀλλοτρίων

---

1. Ψαλ. 55,13. **2.** Πρβλ. Α' Ἔσδρ. 5,1. 8,1-7. **3.** Ψαλ. 56,9. **4.** Πρβλ. Ψαλ. 107,3. **5.** Ψαλ. 56,10.

παρόντων, οἳ ἀπὸ τῆς τῶν γεγονότων ἐκπλήξεως παρέσονται θεαταὶ τῶν εἰς τὸν ναὸν πληρουμένων.

11 «Ὅτι ἐμεγαλύνθη ἕως τῶν οὐρανῶν τὸ ἔλεός σου»

Ἐδείχθη γὰρ ἡ φιλανθρωπία σού φησι δίκην οὐρανῶν ὑψηλή[1], τοσοῦτον ἡμῶν νικήσασα τὰς κακίας ὅσον ἡμῶν οὐρανὸς ὑπέρκειται.

«Καὶ ἕως τῶν νεφελῶν ἡ ἀλήθειά σου»

Ἐπισυνῆπται τῷ ἀνωτέρῳ τὴν ἀλήθειαν, τὸ ἔλεος συνήθως ἐπισυνάπτων. Βούλεται γὰρ εἰπεῖν ὅτι ἡ φιλανθρωπία σου ἡ περὶ ἡμᾶς, ἣν ἰσχυρὰν καὶ βεβαίαν ἡμῖν παρέσχες, ὑπὲρ τὰς νεφέλας καὶ τοὺς οὐρανοὺς ἐδείχθη[2]· ἀμφότερα γὰρ τότε τῶν νεφελῶν καὶ τῶν οὐρανῶν ἀμφοτέροις περιτίθησιν. Ἐπείπερ οὐχὶ σκοπὸς ἦν αὐτῷ τὸ μὲν εἰπεῖν μεῖζον, τὸ δὲ ἔλαττον· πῶς γὰρ οἷόν τε συμπεπλεγμένα; Ἀλλ᾽ ἡ διαίρεσις ἀπὸ τῆς τοῦ λόγου τάξεως γεγένηται.

12 «Ὑψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου»

Καλῶς τῇ εὐχαριστίᾳ καὶ αἴτησιν προστίθησιν, ἀντὶ τοῦ ἐπίμεινον, νῦν δεικνύμενός φησι καὶ γνωριζόμενος ὅστις εἶ τὸ μέγεθος, καὶ ὅτι τῶν οὐρανῶν ὑπέρκεισαι.[3] Τοῦτο γάρ σε θαυμαστὸν καὶ ἐπίδοξον παρὰ πᾶσι ποιήσει τοῖς ἐπὶ τῆς γῆς, ἱκανῶν ὄντων τῶν παρὰ σου γιγνομένων πάντας παιδεύειν ἀνθρώπους ὅστις εἶ.

Ψαλμὸς 57

375 Πολλῆς καὶ παραδόξου τοῖς Μακκαβαίοις παρασχεθείσης τῆς παρὰ τοῦ Θεοῦ βοηθείας, ἐχώρει μὲν ἐπὶ τὸ κρεῖττον ὁσημέραι τὰ κατ᾽ αὐτούς, πολλὴν δὲ τὴν ἐπὶ τὸ χεῖρον ἐπίδοσιν ἐλάμβανε τὸ τῶν ἐναντίων. Καὶ δὴ τούτων οὕτω γιγνομένων, πολλοῖς οἱ ἐναντίοι τοῖς δόλοις ἐχρῶντο, ὡς ἂν ἡττώμενοι ταῖς μάχαις πανουρ-

---

1. Πρβλ. Ψαλ. 35,6. **2.** Πρβλ. Ψαλ. 56,11. Ψαλ. 107,5. **3.** Πρβλ. Ψαλ. 56,12. Ψαλ. 8,2.

γίᾳ καὶ τῇ τῆς φιλίας ὑποκρίσει κατορθῶσαι τὸ σπουδαζόμενον δυνηθῶσιν. Καὶ πρῶτον μὲν Δημήτριος[1] ὁ βασιλεὺς Βακχίδην τὸν ἑαυτοῦ στρατηγὸν ἀπέστειλεν Ἀλκίμῳ τινὶ τῶν Ἰουδαίων τὴν ἱερωσύνην καὶ τὴν ἡγεμονίαν ἐγχειρίσαι τοῦ ἔθνους. Οἳ καὶ παραγεγονότες ἐπὶ τῆς Ἰουδαίας ἐπειρῶντο λόγοις ὑποκρίσεως μεστοῖς τόν τε Ἰούδαν συλλαβέσθαι καὶ τοὺς ἀδελφούς. Ὡς δὲ τοῦτο ποιῆσαι οὐκ ἴσχυσαν, συνιέντων ἐκείνων τὴν ἐπιβουλήν, ἑτέρους τινὰς τῶν Ἰουδαίων ἀπατήσαντες καὶ λαβεῖν δυνηθέντες, ἀνεῖλον ἅπαντας. Μετὰ δὲ τοῦτο τελευτήσαντος μὲν τοῦ Ἰούδα, Ἰωνάθαν δὲ τοῦ ἀδελφοῦ διαδεξαμένου τὴν ἀρχήν, Τρύφων τις πολλῇ τῇ πανουργίᾳ χρησάμενος, συνελάβετό τε αὐτὸν καὶ συγκλείσας ἀνεῖλεν, καὶ ὅλως πολλοῖς ἐχρήσαντο τοῖς δόλοις κατ' αὐτοῦ, τοῦτο μὲν οἱ ἀδελφοί, τοῦτο δὲ καὶ οἱ ἀπεχθῶς ἔχοντες πρὸς αὐτόν[2]. Ταῦτα δὴ πόῤῥωθεν σημαίνων ὁ μακάριος Δαβὶδ ἐν τῷδε προαγορεύει τῷ ψαλμῷ.

2 «Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε»

Καθ' ὑπόκρισιν ἀναγνωστέον. Εἴπερ ἀληθῶς φησιν ὑμῖν μέλει τοῦ δικαίου, καὶ τὴν χρηστότητα ταύτην οὐ ματαίως ἐπιδείκνυσθε.

«Εὐθείας κρίνατε, οἱ υἱοὶ τῶν ἀνθρώπων»

Τοῦ δικαίου γενέσθαι κριταὶ σπουδάσατε[3]· οὕτως γὰρ ἀπ' αὐτῶν δυνήσεσθε δεῖξαι τῶν πραγμάτων τὴν **376** γνώμην καὶ τὸν σκοπὸν τῶν πραττομένων ἂν τοῦ δικαίου φροντίσαντες καὶ τὸ ἀληθὲς ἐξετάσαντες ἡμῖν μὲν ὡς ἀδικουμένοις κατὰ τὸ δυνατὸν ἐπαμύνειν ἐθελήσητε, τοὺς δὲ πολεμοῦντας ἡμῖν ἀποστήσετε ὡς πράττοντας ἄδικα.

3 «Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε ἐν τῇ γῇ»

Τὸ γὰρ ἐναντίον φησὶν ἐκ τῶν πραγμάτων γνωρίζω, ὅτι ἀνομίαν ἐπὶ τῆς καρδίας ἐργάζεσθε, — τουτέστιν ὅτι ταῦτα βουλεύε-

---

1. Πρβλ. Α' Μακκ. κεφ. 9. **2.** Πρβλ. Α' Μακκ. 12,48 ἑξ. **3.** Πρβλ. Ψαλ. 57,2.

σθε καὶ λογίζεσθε κατὰ διάνοιαν, τὸ ὅπως ἂν ἡμᾶς ἀνέλητε. Τὸ δέ «ἐν τῇ γῇ»[1] ἀπὸ τοῦ ἰδιώματος τοῦ ἐν τοῖς Ψαλμοῖς εὑρισκομένου φησίν, ὡς τό «πονηρία ἐν ταῖς παροικίαις αὐτῶν»[2], ἀντὶ τοῦ πονηρίας ἐν τῷδε πράττουσι τῷ βίῳ, καὶ τό «ἐπ' ὀργὴν γῆς ἐλάλουν».[3] Οὕτω κἀνταῦθα· πολλά φησιν, «ἐν τῇ γῇ» τυγχάνοντες ἐργάζεσθε κατὰ καρδίαν κακά, — τοῦτο δὲ καὶ ἡμῖν σύνηθες τὸ λέγειν πολλάκις περὶ τῶν ἀνθρώπων ὅσα ποιοῦσιν ἐν τῷδε τῷ βίῳ κακά.

«Ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν»

Δοκιμάζω δέ φησιν ἃ κατὰ τὴν καρδίαν λογίζεσθε, ἀφ' ὧν πράττετε κατὰ τὸ προφανές· τοῦτο γὰρ λέγει τό «αἱ χεῖρες», ἐπειδή περ σαφῆ τὰ τῆς χειρὸς ἔργα. Καλῶς δὲ τό «συμπλέκουσιν», ἀντὶ τοῦ τοιαῦτα ἐπινοεῖτε καὶ πράττετε ἀφ' ὧν οὐδὲ διαφυγεῖν ἐστιν ἐλπίσαι, ἐκ μεταφορᾶς τῶν συμπεπλεγμένων ἃ μάλιστα δυσδιάλυτα εἶναι συμβαίνει.

4 «Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας»

Τῷ «ἀπηλλοτριώθησαν»[4] προσυπακούεται τὸ τοῦ Θεοῦ κατὰ ἀποσιώπησιν εἰρημένον τῷ Προφήτῃ. Καὶ οὐ θαυμάζομέν φησιν ἐφ' οἷς πράττετε, ἐπείπερ ἔργον ὑμῖν καὶ βίος τὸ ἀπηλλοτριῶσθαι τοῦ Θεοῦ· ἀεὶ γὰρ τῷ κακῷ χαίροντες καὶ τὰ ἄδικα μετὰ πολλῆς πράττοντες τῆς σπουδῆς, ἀλλότριοι τοῦ Θεοῦ διὰ τῶν πράξεων ἐδείχθητε. Τὸ δέ «ἀπὸ μήτρας», ἀντὶ τοῦ ἀφ' οὗ διεπλάσθησαν «ἀπηλλοτριώθησαν», εἴτε ὑπερβολικῶς, ἵνα εἴπῃ τὸ ἀεί, εἴτε καὶ ὡς τοῦ Θεοῦ κατὰ πρόγνωσιν ἀλλοτρίους αὐτοὺς ἔκτοτε ἡγησαμένου, — ὥσπερ οὖν καὶ τὸν **377** προφήτην Ἱερεμίαν[5] πρὸ τῆς διαπλάσεως ἐν τοῖς ἁγίοις καταλελογισμένον ἔχειν ἀπὸ τῆς προγνώσεως τῶν κατ' αὐτὸν φησιν ὁ Θεός.

«Ἐπλανήθησαν ἀπὸ γαστρός, καὶ ἐλάλουν ψευδῆ»

Τὸ αὐτὸ πάλιν ἑτέρως λέγει. Ἐξότε φησὶν ἐτέχθησαν, πλανώμενοι διατελοῦσιν ἀπὸ τοῦ Θεοῦ, οὐδέποτε τοῖς αὐτοῦ δόγμασιν

---

1. Ψαλ. 57,3. **2.** Ψαλ. 54,16. **3.** Ψαλ. 34,20. **4.** Ψαλ. 57,4. **5.** Πρβλ. Ἱερ. 1,5.

ἐμμένοντες. Τοῦτο δὲ μᾶλλον ἁρμόσει τοῖς οἰκείοις· τῶν γὰρ ἐχόντων οἰκειότητά τινα καὶ γνῶσιν τὸ πλανᾶσθαι ἴδιον. Τὸ καί «ἐλάλουν ψευδῆ», Σύμμαχος 'λαλοῦντες ψευδῆ'. Δῆλον οὖν φησιν, ὅτι οἱ τῷ ψεύδει χαίροντες καὶ τοῦτο διὰ στόματος ἔχοντες, πόῤῥωθεν πλανῶνται τοῦ Δεσπότου.

5 «Θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως»

Τοιαύτην ἔχουσι τὴν ὀργὴν θανάτου γέμουσαν· ἴδιον γὰρ τοῦτο ὀργιζομένου τοῦ ὄφεως[1] ποιεῖν.

5-6 «Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, φαρμάκου τε φαρμακευομένου παρὰ σοφοῦ»

Ἐπίτασιν εἶπεν τῆς ὀργῆς ἐπιφέρων «ὡσεὶ ἀσπίδος». Χεῖρον γὰρ ἡ τῆς ἀσπίδος πληγή· οὕτω γὰρ ὀργίλοι καὶ μονιμώτατοι τὸ μῖσος καὶ περὶ τὸ φονεύειν σπουδαῖοι, ὡς μηδὲν ἀπεοικέναι τῆς ἀσπίδος, ἣ καὶ θάνατον ἐργάζεται πλήττουσα καὶ τοὺς ἐπᾴδοντας οὐκ ἐπιστρέφεται, πάντων καὶ τῶν γοητεύειν δυναμένων καταφρονοῦσα. Οὕτω γάρ φησι καὶ τούτους οὐδέν ἐστιν ὃ μετατίθησι τῆς ὀργῆς. Λέγεται δὲ καὶ ἴδιον εἶναι τοῦτο τῆς ἀσπίδος πολλάκις οὐκ ἐπιστρέφεσθαι τὰς τῶν ἐπᾳδόντων φωνάς. Πλὴν ὅπως ποτ' ἂν ἔχῃ δῆλον ὅ φησιν. Τινὲς δὲ τό «φαρμάκου» τε συνῆψαν, οὕτως ἀναγνόντες 'φαρμακοῦται φαρμακευομένη' «παρὰ σοφοῦ»[2] ἐναλλάξαντες γὰρ τό «φαρμακευομένου», τεθείκασι 'φαρμακευομένη'. Τοῦτο δὲ ἀπὸ ἀπειρίας πεπόνθασιν. Ἔστι γὰρ δὺο μέρη λόγου, «φαρμάκου», εἶτά τε. Λέγει γὰρ οὕτως· ἐοίκασί φησι τῇ ἀσπίδι, ἣ μήτε ἐπακούει τῆς τῶν ἐπᾳδόντων φωνῆς, μήτε τοῦ «φαρμάκου» τοῦ παρ' ἐκείνων «φαρμακευομένου», — φάρμακον **378** αὐτὴν τὴν ἐπῳδὴν καλέσας. Καὶ τοῦτο δηλοῖ Σύμμαχος σαφέστερον οὕτω λέγων 'ᾠδὴν ἐπᾳδόντων'.

7 «Ὁ Θεὸς συντρίψει τοὺς ὀδόντας αὐτῶν ἐν τῷ στόματι αὐτῶν»

Εἰρηκὼς τὸν δόλον αὐτῶν καὶ τὴν κακίαν ἐνταῦθα λοιπὸν τὴν

---

1. Πρβλ. Ψαλ. 57,5. 2. Ψαλ. 57,6.

καταληψομένην αὐτοὺς σημαίνει τιμωρίαν, — ἀεὶ δὲ τοὺς ὀδόντας ἐπὶ τῆς πολλῆς λαμβάνει συντριβῆς.[1] Τοῦτο κἀνταῦθά φησιν, ὅτι οὕτως αὐτῶν τὴν δύναμιν «συντρίψει» καὶ πάντας αὐτοὺς ἀναλώσει, ὡς μηδέ «τοὺς ὀδόντας αὐτῶν»[2] σώους ἐν αὐτοῖς καταλιπεῖν.

«Τὰς μύλας τῶν λεόντων συνέθλασεν Κύριος»

Ἀντὶ τοῦ συνθλάσει, κατ' ἐναλλαγὴν χρόνου. Τοὺς δὲ ὀδόντας εἰπὼν καλῶς ἐπήγαγε «τὰς μύλας», «μύλας» καλῶν τοὺς ἐνδοτέρους τῶν ὀδόντων οἷς τὸ μύλου δίκην ἀλήθειν πρόσεστι τὴν τροφήν, — τοῦτο λέγων ὅτι καὶ τοὺς ἐνδοτέρους τῶν ὀδόντων «συντρίψει», ἐπιτακτικώτερον τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν σημᾶναι βουλόμενος. Λέοντας δὲ αὐτοὺς καλεῖ διὰ τὸ θρασὺ τοῦ τρόπου.

8 «Ἐξουδενωθήσονται ὡς ὕδωρ διαπορευόμενον»

Οὕτω, φησίν, ὑπὸ τῆς τιμωρίας ἀναλωθήσονται καὶ εἰς οὐδὲν περιστήσονται, ὥσπερ τὸ ὕδωρ τὸ ἐπὶ τῆς γῆς ἐκχυθὲν συμποθὲν ἀναλίσκεταί τε καὶ ἀφανίζεται. Σύμμαχος δὲ οὕτω λέγει· 'διαλυθήσονται ὡς ὕδωρ παρερχόμενον ἑαυτῷ'· σαφέστερον γὰρ ἐδήλωσε τὸ λεγόμενον τῷ εἰπεῖν 'παρερχόμενον ἑαυτῷ'. Ἔστι γὰρ ὕδωρ κατὰ γνώμην ἀνθρώπων πορευόμενον κατασκευάσμασί τισιν, ὅπερ οὐ πάντως ἀναλίσκεται, φυλάττεται δὲ διὰ τῶν κατασκευαζομένων ὀχετῶν ἀγόμενον· τὸ δὲ οὕτω καὶ ἁπλῶς καὶ ὡς ἔτυχεν ἐπὶ τῆς γῆς ἐκχυθέν, τοῦτο καὶ συμποθὲν ἀναλίσκεται πάντως.[3]

«Ἐντενεῖ τὸ τόξον αὐτοῦ ἕως οὗ ἀσθενήσουσιν»

Ἐσχημάτισε τὴν τοῦ Θεοῦ τιμωρίαν ὡς ἐπὶ τόξου συνεχῶς πέμποντος τὰ βέλη καὶ πάντας ἀναι**379**ροῦντος· μέχρι γὰρ τοσούτου, φησί, ταῖς ἀφέσεσι χρήσεται τῶν βελῶν, μέχρις ἂν πάντας κατατοξεύων ἐκδαπανήσῃ καὶ ἀσθενεῖς ἐργάσηται.

9 «Ὡσεὶ κηρὸς τακεὶς ἀνταναιρεθήσονται»

Ἀντὶ τοῦ ἀπολοῦνται, ἀφανισθήσονται ὡς «κηρός» ὑπὸ πυρὸς

---

1. Πρβλ. Ψαλ. 3,8. **2.** Ψαλ. 57,7. **3.** Πρβλ. Ψαλ. 57,8.

τηκόμενος[1] καὶ εἰς τὸ μηδὲν περιϊστάμενος. Ταῖς δὲ ὁμοιώσεσι κέχρηται διαφόραις εἰς παράστασιν αὐτῶν τῆς ἀπωλείας, ἄνω μὲν ὡς ὕδωρ εἰπών, ἐνταῦθα δέ «ὡσεὶ κηρός», δι' ἀμφοτέρων δὲ τὸν ἀφανισμὸν αὐτῶν σημαίνων.

«Ἔπεσεν πῦρ ἐπ' αὐτούς, καὶ οὐχ εἶδον τὸν ἥλιον»

Καλῶς «πῦρ» ἐνταῦθα τοῦ Θεοῦ τὴν ὀργὴν ἐκάλεσεν· ἐπειδὴ γὰρ εἶπεν ὡς κηρός, — κηροῦ δὲ ἴδιον τὸ πυρὶ τήκεσθαι —, καλῶς ἐπήγαγε τό «ἔπεσεν πῦρ ἐπ' αὐτούς»[2]. Ὥσπερ πῦρ ἐπ' αὐτοὺς ἐπενεχθὲν τήκει καὶ μειοῖ τὸν κηρόν, οὕτως ἡ τοῦ Θεοῦ ὀργὴ ἐπενεχθεῖσα ἅπαντας ἀφανίσει. Τὸ δέ «οὐχ εἶδον τὸν ἥλιον», ἀντὶ τοῦ ἀπώλοντο, ἀνηρέθησαν· τῶν γὰρ τελευτώντων ἴδιον τὸ μηκέτι τοῦ ἡλιακοῦ φωτὸς[3] ἀπολαύειν.

10 «Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον, ὡσεὶ ζῶντας ὡσεὶ ἐν ὀργῇ καταπίεται ὑμᾶς»

Σύμμαχος σαφέστερόν φησι 'πρὶν ἢ αὐξήσουσιν αἱ ἄκανθαι ὑμῶν, ὥστε γενέσθαι ῥάμνον, ἔτι ζῶντας ὡς ὁλόξηρον λαίλαψ ἀρεῖ'. Ῥάμνον ἡ θεία Γραφὴ καλεῖ τὴν μεγάλην ἄκανθαν καὶ λευκήν, ἢ καὶ δένδρῳ παραπλησία διὰ τὸ μέγεθος· ἔστι δὲ καὶ ξηρὰ κατὰ φύσιν, καὶ βραχύ τι πυρὸς ὀσφρανθεῖσα εὐθὺς καταναλίσκεται. Τοῦτο οὖν βούλεται εἰπεῖν ὅτι αἱ ἄκανθαι ὑμῶν — ἄκανθαν γὰρ καλεῖ τὴν πονηρίαν διὰ τὸ πληκτικὸν καὶ ἐπιβουλευτικόν... Πρὶν ἢ οὖν φησι τὴν πονηρίαν ὑμῶν εἰς ἔργον ἐκβῆναι, αὐξηθεῖσαν ταῖς ἐπινοίαις καὶ μείζονα γενομένην, ὑμᾶς ἔτι στρεφομένους ἐν τοῖς κακοῖς καὶ δοκοῦντας ζῆν τε καὶ κινεῖσθαι ἐν αὐτοῖς, **380** δίκην πυρὸς ἐπιπεσοῦσα τοῦ Θεοῦ ἡ τιμωρία πάντας ἀφανίσει καὶ καταναλώσει. Τὸ οὖν πρὶν ἢ αὐξήσουσιν εἶπεν «πρὸ τοῦ συνιέναι»[4], ἀντὶ τοῦ πρὸ τοῦ κἂν εἰς ἔννοιαν λαβεῖν ὑμᾶς τὴν πονηρίαν καὶ τὴν καθ' ἡμῶν ἐπιβουλὴν εἰς αὔξησιν ἀγαγεῖν, φθάσει ὑμᾶς ἡ τοῦ Θεοῦ τιμωρία καταναλώσασα.

---

1. Πρβλ. Ψαλ. 67,3. **2.** Ψαλ. 57,9. **3.** Πρβλ. Ἐκκλ. 6,5. **4.** Ψαλ. 57,10.

11 «Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν»

[677] Ἡ δὲ εἰς ὑμᾶς, φησι, τιμωρία εὐφροσύνην παρέξει τοῖς δίκαιοις, τοῖς νῦν ὑφ' ὑμῶν ἐπιβουλευομένοις.

«Τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ»

Τὸ νίπτεσθαι ἡ θεία Γραφὴ συνεχῶς λαμβάνει ἐπὶ τοῦ ἢ κοινωνεῖν τινι ἢ μὴ κοινωνεῖν· τοῦτο γὰρ ἔθος τοῖς παλαιοῖς διὰ τοῦ νίπτεσθαι τὰς χεῖρας σημαίνειν ὁπότερον ἂν ἐβούλοντο. Οὕτω καὶ Πιλᾶτος ἐν τοῖς Εὐαγγελίοις φαίνεται τῷ νίψασθαι τὰς χεῖρας[1] σημαίνων ὅτι μὴ κοινωνῇ τῷ φόνῳ τῷ κατὰ τοῦ Χριστοῦ. Οὕτω καὶ ἑτέρωθί φησιν ὁ μακάριος Δαβίδ, «νίψομαι ἐν ἀθῴοις τὰς χεῖράς μου»[2], τουτέστι τὴν πρὸς αὐτοὺς ἀσπάσομαι κοινωνίαν. Ἐνταῦθα οὖν τοῦτο λέγει, ὅτι ὁ δίκαιος ἐν τῇ σφαγῇ καὶ τῷ θανάτῳ τοῦ ἁμαρτωλοῦ δειχθήσεται μηδεμίαν **[680]** ἔχων πρὸς αὐτοὺς κοινωνίαν, τουτέστιν ἀποφανθήσεται δίκαιος[3]. Ὅταν γὰρ ἐκεῖνοι διὰ τούτων κολάζωνται, οὗτοι δὲ μένωσι μηδὲν πάσχοντες, δείκνυται τούτων ἡ ἀρετή.

12 «Καὶ ἐρεῖ ἄνθρωπος εἰ ἄρα ἐστὶν καρπὸς τῷ δικαίῳ»

Τινὲς τό «ἄρα ἐστὶν καρπὸς τῷ δικαίῳ»[4] κατ' ἐρώτησιν ἀνέγνωσαν, ὡσανεὶ πυνθανομένων ὅτι **381** εἴ ἐστιν ἄρα; Ὅπερ ἔθος ἡμῖν ἐν τοῖς συλλογισμοῖς λέγειν, — εἰ μὴ τόδε, ἄρα τόδε, ἀντὶ τοῦ οὐκοῦν τόδε. Οὕτω κἀνταῦθα λέγει ὅτι τούτων γενομένων, πάντες ἐροῦσιν ὅτι ἀληθῶς ἐστι τῷ δικαίῳ «καρπός» καὶ οὐκ ἄμισθὶ τὴν δικαιοσύνην ἐργάζεται· ἰδοὺ γὰρ ὑπὸ τούτων ἐτιμωρήθησαν οἱ ἐπιβουλεύοντες αὐτοῖς.

«Ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοῖς ἐν τῇ γῇ»

Κατ' ἀπόφασιν καὶ τοῦτο, ἀντὶ τοῦ ἀληθῶς ἐστιν ὁ ἐπιμελόμενος αὐτῶν Θεὸς καὶ δικάζων μὲν αὐτοῖς ἀδικουμένοις ἐπὶ τῆς γῆς, τιμωρούμενος δὲ τοὺς τολμῶντας αὐτοὺς ἀδικεῖν. Τινὲς δέ «κρίνων» (αὐτούς) ἀνέγνωσαν· οὐκ ἔστιν δέ, ἀλλά «κρίνων αὐ-

---

1. Πρβλ. Ματθ. 27,24. **2.** Ψαλ. 25,6. **3.** Πρβλ. Ψαλ. 57,11. **4.** Ψαλ. 57,12.

τοῖς».'Εκείνως μὲν γὰρ εἰ λέγοιτο καταχρίνων σημαίνει, οὑτωσὶ δὲ δικάζων αὐτούς, ἀντὶ τοῦ ἐπαμύνων αὐτοῖς ἀδικουμένοις. 'Επεσημηνάμεθα δὲ πολλαχοῦ ὅτι ὅταν ἐπὶ τῆς ἐκδικήσεως λέγῃ ἐπὶ τῆς δοτικῆς ἐκφωνεῖ πτώσεως, αὐτοῖς κρῖνον, ἐμοὶ κρῖνον, αὐτῷ κρῖνον[1] καὶ ὅσα τοιαῦτα· ὅταν δὲ τὸ ἐναντίον λέγῃ τὸ κρίνειν καὶ καταδικάζειν, τότε λέγει ἐπὶ τῆς αἰτιατικῆς πτώσεως ἢ αὐτούς, ἢ εἴ τι τοιοῦτον, — ὡς ὅταν λέγῃ «κρῖνον αὐτούς, ὁ Θεός»[2], ἀντὶ τοῦ κατάκρινον καὶ τιμώρησον.

Ψαλμὸς 58

Τὰ κατὰ Μακκαβαίους[3] καὶ ἐν τῷ μετὰ χεῖρας προαγορεύει ψαλμῷ, ὡς ἐκ τοῦ ἐκείνων προσώπου λέγων ἅπερ εἰπεῖν αὐτοῖς ἥρμοττεν ἐν θλίψεσί τε πολλαῖς ἐξεταζομένοις καὶ τῆς τοῦ Θεοῦ δεομένοις βοηθείας.

2 «'Εξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός»

'Απάλλαξόν με αὐτῶν τῆς ἐπιβουλῆς[4].

«Καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με»

"Ητοι τὸ αὐτὸ λέγει, συνηθῶς ἑαυτῷ πλατύνων τὸ λεγόμενον, τῇ δευτερώσει, ἢ ἐπανισταμένους[5] τοὺς ἰδίους καλῶν.

3 «'Ρῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν»

382 'Οπόταν ἐχθρῶν ὁ μακάριος μέμνηται Δαβίδ, εἴτε ὑπὲρ ἑαυτοῦ λέγων εἴτε καὶ ὑπὲρ ἑτέρων, μέμνηται καὶ ὡς ἁμαρτωλῶν ἢ ὡς ἁμαρτίαν ἐργαζομένων[6], δεικνὺς τῶν ἐχθρῶν τὸν τρόπον, — ὡς ἂν ἐντεῦθεν αὐτὸς δὲ δικαίως αἰτεῖν νομίζοιτο τοῦ Θεοῦ τὴν βοήθειαν[7], κἀκεῖνοι διὰ τὸν τρόπον, τῆς τιμωρίας ἄξιοι φαίνοιντο. Οὐκοῦν ἀπάλλαξόν με, φησί, τούτων ἢ τῶν ὅτι κάκιστον πραττόντων.

---

1. Πρβλ. Ψαλ. 36,33. **2.** Ψαλ. 5,11. **3.** Πρβλ. Α' Μακκ. 1,60-68. **4.** Πρβλ. Ψαλ. 139,2. **5.** Πρβλ. Ψαλ. 58,2. **6.** Πρβλ. Ψαλ. 27,2. **7.** Πρβλ. Ψαλ. 7,11.

«Καὶ ἐξ ἀνδρῶν αἱμάτων σῶσόν με»

Καὶ ἀπάλλαξόν με τούτων τῶν φονικωτάτων τῆς ἐπιβολῆς, — ἄνδρας αἱμάτων[1] τοὺς φονεῖς λέγων.

4 «Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου»

Σπουδὴν ἔθεντο ὥστε με συλλαβόμενοι ἀνελεῖν τε καὶ ἀφελέσθαι τὴν ψυχήν[2]· ἴδιον γὰρ τῶν θηρευτῶν τὸ μετὰ πολλῆς συλλαμβάνειν τὰ ἀγρευόμενα τῆς σπουδῆς.

«Ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί»

Οὐκ ἐκ παρέργου φησὶ τὴν πρὸς ἐμὲ μάχην ἐνίστανται, ἀλλ' ἐπίκεινται μὴ βραχὺν ἐνδιδόντες καιρόν, παντὶ δὲ τρόπῳ πολεμοῦντες ἡμᾶς. Κραταιοὺς δὲ εἶπεν, ὥστε καὶ ἀπὸ τῆς προσούσης αὐτοῖς ἰσχύος μείζονα δεῖξαι τὴν κατ' αὐτοῦ ἐπιβουλήν.

«Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου»

Καίτοι φησὶν οὐδὲν ἐμαυτῷ συνῄδειν πλημμέλημα, ὃ τούτων αἴτιόν ἐστιν καὶ ὑπὲρ οὗ δικαίως ἐγκαλοῦντες, τοσαῦτα ποιοῦσιν. Τοῦτο δὲ οὐχ ὡς πρὸς τὸν Θεὸν λέγει, ἀλλ' ὡς πρὸς ἐκείνους, ὅτι μηδὲν ἠδικημένοι τοιαῦτα διέθηκαν ἡμᾶς. Σύμμαχος δὲ σαφέστερόν φησιν 'ἀναιτίους καὶ ἀναμαρτήτους'.

5 «Κύριε, ἄνευ ἀνομίας ἔδραμον καὶ κατεύθυνα»

Καὶ τοῦτο Σύμμαχος σαφέστερόν φησι 'μὴ οὔσης ἁμαρτίας, ἐπιτρέχουσιν ἵνα πατάξωσί με'. Οὐκ ἔχοντες περὶ τίνος ἐγκαλεῖν, σὺν πολλῇ τῇ προθυμίᾳ καταδιώκουσιν καὶ τῷ πλείστῳ δὲ μέρει κατορθοῦσι τὸ σπουδαζόμενον. Βούλεται δὲ δεῖξαι διὰ πολλῶν ὀξυτάτην ὀφείλοντα λαβεῖν ἑαυτῷ παρὰ τοῦ Θεοῦ τὴν βοήθειαν, ὅτι ἄδικοι οἱ πολεμοῦντες, ὅτι φονικοὶ τὸν τρόπον οὐ φείσασθαι **383** δυνάμενοι, ὅτι μεγάλοι τὴν ῥώμην ὥστε μηδὲ ἐνδέχεσθαι διαμαρτεῖν, ὅτι ἀναιτίως τὴν πρὸς αὐτὸν ἐνίστανται μάχην, τὸ μεῖζον ὅτι τῷ πλείστῳ μέρει καὶ περιγεγόνασι κατορθώσαντες τὸ σπουδαζόμενον. Τί οὖν λοιπόν φησί;

---

1. Πρβλ. Ψαλ. 58,3. 25,9. **2.** Πρβλ. Ψαλ. 58,4.

«Ἐξεγέρθητι εἰς συνάντησίν μοι καὶ ἴδε»

Τινές «εἰς συνάντησίν μου» ἀνέγνωσαν· ἔχει δὲ οὐχ οὕτως. Οὐδὲ γὰρ εἰς ἀπάντησιν ἑαυτοῦ τὸν Θεὸν βοηθεῖν καλεῖ, λέγει δέ «εἰς συνάντησίν μοι»[1]· ὥσπερ γὰρ τὸ κρῖνόν μοι[2] ὅταν λέγῃ, ἀντὶ τοῦ ἐμοὶ κρῖνον καὶ ὑπὲρ ἐμοῦ, οὕτω καί «εἰς συνάντησίν μοι» ὑπὲρ ἐμοῦ φησι καὶ ὑπὲρ τῆς εἰς ἐμὲ βοηθείας ἀπάντησον αὐτοῖς ἐρχομένοις εἰς τὸν κατ' ἐμοῦ πόλεμον, καὶ θεασάμενος αὐτῶν τὴν ἀτοπίαν διακώλυσον αὐτοὺς τὸ σπουδαζόμενον εἰς πέρας ἀγαγεῖν. Σύμμαχος δὲ αὐτὸ σαφέστερον εἶπεν 'ἐξ ἐναντίας ὑπὲρ ἐμοῦ', ἀντὶ τοῦ ἐξ ἐναντίας τῶν ἐχθρῶν· ἔπελθε ὑπὲρ ἐμοῦ, σωματικώτερον αὐτὸ εἰπὼν ἐκ μεταφορᾶς τῶν τοῖς πολέμοις ἀπαντώντων πολλάκις καὶ ἐκκοπτόντων αὐτοῖς τὴν ὁρμήν.

6 «Καὶ σύ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραήλ, πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη»

Σὺ γάρ τοί φησιν, ὁ τῶν ἁπάντων Δεσπότης καὶ ἡμῶν Θεός, ποίησαι δὴ ἐπίσκεψιν ἁπάντων τῶν ἐθνῶν[3] καὶ ἐξέτασιν, καὶ τοῦ δικαίου γενόμενος κριτὴς τιμώρησαι τοὺς τὸν τρόπον μοχθηρούς.

«Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν»

Ἐπισκεψάμενος δέ φησι καὶ ἐξετάσας τὰ κατὰ τοὺς ἀνθρώπους, οὕς ἂν εὕρῃς ἀδικοῦντας καὶ ἁμαρτάνοντας κόλασον μηδενὸς φεισάμενος, μηδενὶ χαρισάμενος.

7 «Ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν, ὡς κύων, καὶ κυκλώσουσι πόλιν»

[680] Ἐναλλαγὴ κἀνταῦθα χρόνου, ἀντὶ τοῦ ἐπιστρεψάτωσαν, καὶ λιμωξάτωσαν, καὶ κυκλωσάτωσαν[4]. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Ἐπειδὴ τῶν κυνῶν **384** ἴδιον κατὰ τὸν τῆς νυκτὸς καιρὸν παριϊέναι τε τὴν πόλιν ἅπασαν καὶ μείζοσι κεχρῆσθαι ταῖς φωναῖς, — ποιοῦσι δὲ αὐτὸ μάλιστα ἐπειδὰν συμβαίνῃ καὶ πεινῆν δεηθέντας τροφῆς —, τοιοῦτό τι περὶ τῶν ἐχθρῶν φησι, μεταστραφήτω-

---

1. Ψαλ. 58,5. **2.** Πρβλ. Ψαλ. 57,12. **3.** Πρβλ. Ψαλ. 58,6. **4.** Πρβλ. Ψαλ. 58,7.

σαν ἀπὸ τῆς νῦν εὐπραγίας εἰς τὸ χεῖρον τῇ παρά σου τιμωρίᾳ· καὶ ὥσπερ κύνες κατὰ τὸν καιρὸν τῆς νυκτὸς ὑπὸ λιμοῦ συνεχόμενοι κύκλῳ βοῶντες τὴν πόλιν ἐκπεριΐασιν, οὕτω καὶ οὗτοι τῇ παρά σου τιμωρίᾳ πληγέντες ὀλολυζέτωσαν ὅμοια τοῖς κυσίν, ὥστε καὶ τὴν φωνὴν τῶν ὀλολυγῶν φαίνεσθαι τῆς τιμωρίας σου τῆς εἰς αὐτοὺς τὸ μέγεθος. Τὴν δὲ ἐναλλαγὴν τοῦ χρόνου δείκνυσι Σύμμαχος εἰπὼν 'ἐπιστρεφάτωσαν εἰς ἑσπέραν'.

8 «Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν»

Κἀνταῦθα τὸ ἰδοὺ προσέῤῥιπται ἀπὸ τοῦ ἑβραϊκοῦ ἰδιώματος. Σύμμαχος δέ φησιν 'αὐτοὶ μὲν ἀποβλύζουσιν τοῖς στόμασιν ἑαυτῶν, καὶ ὡς μαχαίρας τοῖς χείλεσιν αὐτῶν'. Κἀνταῦθα γὰρ ἐνήλλαξε τὸν χρόνον, μέλλοντα εἰρηκὼς ἀντὶ τοῦ ἐνεστῶτος· αὐτοὶ γάρ φησι φθέγγονται ῥήματα διὰ τοῦ στόματος αὐτῶν καὶ τῶν χειλέων πάσης χείρονα μαχαίρας καὶ παντὸς ξίφους εὐτονώτερον πλήττειν δυνάμενα. Ποῖα δὲ ταῦτα;

«Ὅτι τίς ἤκουσεν;»

Ἀντί τοῦ οὐδείς. Ἔστι δὲ κἀνταῦθα τό 'λέγοντες' ἀπὸ κοινοῦ νοούμενον ὡς κατὰ ἀποσιώπησιν εἰρημένον τῷ Προφήτῃ, οἷον καὶ ἐν τῷ δευτέρῳ ψαλμῷ τό «παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ χριστοῦ αὐτοῦ, διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν»[1]· ἀπὸ κοινοῦ γὰρ κἀκεῖ κατὰ ἀποσιώπησιν νοεῖται τό 'λέγοντες', ἵνα ᾖ λέγοντες «διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν». Οὕτως οὖν κἀνταῦθά φησιν «ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν, καὶ ῥομφαίᾳ ἐν τοῖς χείλεσι αὐτῶν, ὅτι τίς ἤκουσεν;»[2].

Ἀκριβέστερον δὲ ἐν τῷ μδ' ψαλμῷ ἐπεσημηνάμεθα ὡς ἔθος τῷ Προφήτῃ τὸ εἶπεν καὶ λέγων καὶ εἴ τι τοιοῦτον κατὰ ἀποσιώπησιν τιθέναι. Βούλεται γὰρ περὶ αὐτῶν εἰπεῖν ὅτι φασὶν οὐ προσῆκε δεδιέναι τινὰ τιμω**385**ρίαν, ἀλλ' ἐπιβῶμεν αὐτοῖς ὅση δύναμις,

1. Ψαλ. 2,2-3. 2. Ψαλ. 58,8-9.

ἀναιροῦντες καὶ κατασφάττοντες· πολλὰ γὰρ καὶ ἕτερα πεποιηκότων ἡμῶν, τίς ἤκουσεν αὐτῶν στεναζόντων, ἢ τίς προσέσχεν αὐτοῖς ἀδικουμένοις, ἢ τίς ἐπήμυνες ἀναιρουμένοις; [681] Οὐχ ὅτι τοῦτο ἔλεγον πάντως οἱ ἐχθροί, ἀλλ' ἀπὸ τοῦ πράγματος κατὰ τὸ οἰκεῖον ἔθος τὸ εἶπεν τεθεικώς, — ὅμοιον γάρ ἐστι τῷ «εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· οὐκ ἐκζητήσει»[1] καὶ τῷ «εἶπον· τίς ὄψεται αὐτούς»[2]. Τὸ αὐτὸ γὰρ κἀνταῦθα εἰπεῖν βούλεται, ὅτι οὕτως ἅπαντα πράττουσιν ὡς οὐκ ἀκούοντος οὐδενός, οὐδὲ φροντίζοντος τῶν γιγνομένων. Ἴδιον δὲ τοῦ μακαρίου Δαβὶδ τὸ διὰ τοῦτο μάλιστα αἰτεῖν τοῦ Θεοῦ τὴν κατὰ τῶν ἁμαρτανόντων τιμωρίαν, διὰ τὸ τῶν πολλῶν ἐν ταῖς ἀδικίαις αἰτιωμένων τὸν Θεὸν ὡς οὐ προνοοῦντα τῶν ἀνθρωπίνων πραγμάτων, δίκαιον εἶναι τῇ ἐκδικίᾳ τῶν γιγνομένων δείκνυσθαι προνοοῦντα τὸν Δεσπότην. Ὥσπερ γὰρ ἀδικοῦντες καὶ πάσχοντες οὐδὲν τοιαύτην τοῖς πολλοῖς τὴν ὑπόνοιαν ἐνεργάζονται, οὕτω τιμωρούμενοι τὸ ἐναντίον πάντας ὑποπτεύειν παρασκευάζουσιν· δείκνυσι γὰρ ἑαυτὸν οὐ διὰ τὸ τί παθεῖν τὴν κατὰ τῶν ἀδικούντων αἰτοῦντα τιμωρίαν, ἀλλ' ὥστε κρείττονα περὶ τοῦ Θεοῦ τοῖς ἀνθρώποις ἐντεῦθεν ἐγγενέσθαι τὴν ὑπόληψιν, ἡμᾶς παιδεύων διὰ πάντων τὸ πρὸς δόξαν τοῦ Θεοῦ συντελοῦν ἐπιζητεῖν.

«Καὶ σύ, Κύριε, ἐκγελάσῃ αὐτούς»

Σύμμαχος 'σὺ δέ, Κύριε, καταγελάσεις αὐτῶν'. Τοιαῦτα δέ φησιν ἐκείνων λεγόντων, γέλωτος καὶ χλεύης ἄξια τὰ ῥήματα αὐτῶν ἀποφανεῖς· οἰομένων γὰρ ἐκείνων οὐδένα εἶναι τὸν ἐπαμύνοντα ἡμῖν, ἐπειδὰν αὐτοὺς τιμωρήσῃ τῇ φοβερᾷ σου δυνάμει ἀκριβῶς, καταγελάστους αὐτῶν τοὺς λόγους ἀποφανεῖς.

«Ἐξουδενώσεις πάντα τὰ ἔθνη»

Ἄνω εἶπεν «πρόσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη»[3]· ἐνταῦθα «ἐξουδενώσεις πάντα τὰ ἔθνη»[4], πολλῇ διόλου τῇ τάξει τοῦ λόγου καὶ διὰ τῶν ἐν μέσῳ χρησάμενος. Δεικνὺς γὰρ ὅτι μὴ ἁπλῶς αἰτεῖ τὴν κατ' αὐτῶν τιμωρίαν, πρότερον ᾔτησεν ἐπιδεῖν τε

---

1. Ψαλ. 9,34. 2. Ψαλ. 63,6. 3. Ψαλ. 58,6. 4. Ψαλ. 58,9.

τὸν Θεὸν καὶ ἐξετάσαι τὰ γιγνόμενα· εἶτα διηγήσατο οἷα πράττουσιν, οὐδὲ εἶναί τινα **386** τὸν προνοοῦντα νομίζοντες, καὶ τότε τὴν τιμωρίαν ἐπήγαγεν τοῦτο λέγων· ὅτι, ἐπὶ τούτοις ἀξίως αὐτούς κολάσεις καὶ τῇ παρὰ σοῦ τιμωρίᾳ τὸ μηδὲν ἀποφανεῖς.

10 «Τὸ κράτος μου πρός σε φυλάξω»

Τὴν ψυχήν μου, φησί, καὶ τὴν δύναμίν μου πᾶσαν πρός σε βλέπουσαν ἔχω παρά σου φυλαττομένην.

«Ὅτι σύ, ὁ Θεὸς ἀντιλήπτωρ μου»

Σὺ γὰρ εἶ βοηθός μου[1].

11 «Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με»

Προκαταλήψεται γάρ με, φησίν, ἡ σὴ φιλανθρωπία, ὥστε πρὶν ἤ τι παρὰ τῶν πολεμίων παθεῖν τῆς εὐεργεσίας τῆς παρά σου τυχεῖν.

«Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου»

Ταῦτα δέ φησι, τουτέστι τὸ ἔλεος[2] αὐτοῦ καὶ τὴν φιλανθρωπίαν αὐτοῦ, ὄψομαι ἐν τοῖς ἐχθροῖς, τουτέστι διὰ τῆς ἐκείνων τιμωρίας γνώσομαι τὴν εἰς ἡμᾶς σου φιλανθρωπίαν.

12 «Μὴ ἀποκτείνῃς αὐτούς, μή ποτε ἐπιλάθωνται τοῦ νόμου σου»

[681] Κατ' ἐρώτησιν ἀναγνωστέον, ἀντὶ τοῦ ἀλλ' οὐ μὴ αὐτούς ἀποκτείνῃς, ὥστε μὴ ἐπιλαθέσθαι τοῦ ὀνόματός σου[3], ὥστε φησὶν οὔτε διὰ τοῦτο οἷόν τε αὐτοὺς κερδάναι τὴν τιμωρίαν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν. Πρὸ τῆς τοῦ Δεσπότου Χριστοῦ παρουσίας τὴν προσήκουσαν καὶ τελείαν πίστιν περὶ τῆς ἀναστάσεως οὐκ ἔχοντες, ἡγοῦντο τοὺς τελευτῶντας παντελῶς τοῦ εἶναι ἐκτὸς γίνεσθαι καὶ μὴ δύνασθαι λόγον τινὰ ἢ μνήμην Θεοῦ ἔχειν[4]. Διὰ τοῦτό φησί που «ὅτι οὐκ ἔστιν ἐν τῷ θανάτῳ ὁ μνημονεύων σου»[5] καὶ ἀλλαχοῦ «οὐχ οἱ **387** νεκροὶ αἰνέσουσίν σε, Κύριε»[6], — καὶ

1. Πρβλ. Ψαλ. 58,10. **2.** Πρβλ. Ψαλ. 58,11. **3.** Πρβλ. Ψαλ. 43,21. **4.** Πρβλ. Α' Κορ. 15,12-23. **5.** Ψαλ. 6,6. **6.** Ψαλ. 113,25.

ὅλως πολλήν ἐστιν εὑρεῖν ταύτην τὴν χρῆσιν ἐν τῇ Παλαιᾷ Διαθήκῃ. Ἐπειδὴ τοίνυν ὡς τῶν μὲν ἐνταῦθα ὑμνούντων τὸν Θεόν, τῶν δὲ ἐκ τῶν τοῦ βίου γιγνομένων οὐδὲ μεμνῆσθαι ἔτι τοῦ Θεοῦ οἷόν τε ὄντων, τοῦτό φησιν· ἀλλ' οὐκ ἀποκτενεῖς αὐτούς[1], φησίν, ἀλλ' ὑπερθήσῃ τὴν κατ' αὐτῶν τιμωρίαν ὡς ἂν μήποτε ἀποθανόντες εἰς λήθην τῆς σῆς ἔλθοιεν δυνάμεως — ἀντὶ τοῦ οὐχ οἷόν τε οὐδὲ διὰ τοῦτο ἀναβάλλεσθαι τὴν τιμωρίαν. Εἰ μὲν γὰρ ἐμέμνηντό σου τῆς δυνάμεως καὶ τὴν γνῶσιν εἶχον τὴν σὴν καὶ ᾔδεσαν ἃ προσῆκον ἦν, εἰκὸς ἦν διὰ τοῦτο φείσασθαι, ὥστε μὴ ἀποθανόντων τὴν σὴν περιαιρεθῆναι μνήμην ἐξ αὐτῶν. Ἐπειδὴ δὲ τοσοῦτον ἀπέχουσιν τοῦ ἐνταῦθά σου μνημονεύειν, ὡς τὸ ἐναντίον ἅπαντα μὲν πράττειν καὶ ἀδικεῖν ὡς οὐκ ὄντος τοῦ ἐφεστῶτος τῷ βίῳ καὶ διακρίνοντος τὰ πραττόμενα, τοιαῦτα δὲ καὶ λέγειν ὡς οὐδεὶς ὁ ἀκούων ἢ ὁ φροντίζων τῶν γιγνομένων καὶ οὐκ ἔνεστί σε ἐκεῖνα λογίσασθαι, ἃ τῆς βελτίστης εἰσὶ μοίρας καὶ τῆς κρείττονος περί σου ὑπολήψεως, μή ποτε νῦν μεμνημένοι λήθῃ παραδοῖεν τὰ κατά σε θανάτῳ τε ἅμα τιμώρησαι καὶ ποικίλαις κακώσεσι, καὶ ταύταις μᾶλλον ἢ τῷ θανάτῳ αὐτοὺς ὑπόβαλε· ὁ γὰρ παρελκυσμὸς τῶν δεινῶν ὑπόμνησιν ἐμποιεῖ τῶν ἁμαρτιῶν. Τοῦτο γὰρ βούλεται διὰ πάντων εἰπεῖν ὅτι οὐδὲν αὐτοῖς πρόσεστιν ἄξιον τοῦ φειδοῦς τυχεῖν τινος.

«Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου»

Οὐκοῦν φησι διὰ πάντα κατὰ τὴν δύναμιν τὴν σήν «διασκόρπισον αὐτούς», τουτέστιν εἰς φυγὴν τρέψον, ἐπειδὴ τῶν ἡττωμένων καὶ εἰς φυγὴν τρεπομένων ἐν τοῖς πολέμοις λοιπὸν τὸ ἀτάκτως διασκορπίζεσθαι.

12-13 «Καὶ κατάγαγε αὐτούς, ὁ ὑπερασπιστής μου, Κύριε, τῇ ἁμαρτίᾳ τοῦ στόματος αὐτῶν, λόγῳ χειλέων αὐτῶν»

Ἐπειδὴ γὰρ εἶπεν μὴ διὰ τοῦτο ἄρα ὑπερθῇ τὴν τιμωρίαν, μή ποτε νῦν σου μεμνημένοι ὑπὸ τοῦ θανάτου εἰς λήθην ἔλθωσι, καλῶς ἐπήγαγεν τό «διασκόρπισον αὐτούς», «καὶ κατάγαγε αὐ-

1. Πρβλ. Ψαλ. 58,12.

τοὺς τῇ ἁμαρτίᾳ τοῦ στόματος αὐτῶν»[1]. Τοὐναντίον γάρ φησι διὰ τοῦτο τιμωρηθῆναι δίκαιοι μᾶλλον ἢ ἀφεθῆναι, ὅτι οὐδεμίαν σου μνήμην ἔχουσιν, **388** οὐδὲ εἶναί τινα κριτὴν τῶν γιγνομένων φασίν, τοσοῦτον ἀφιστᾶσιν τοῦ διὰ τοῦτο κερδάναι τὴν παρά σου τιμωρίαν. «Κατάγαγε» οὖν «αὐτούς», φησίν, εἰς τὸν Ἅδην, σὺ ὁ ἐμὸς βοηθός, διὰ τοῦτο μᾶλλον, διὰ τὴν ἁμαρτίαν «τοῦ στόματος αὐτῶν», διὰ τὸν λόγον τῶν «χειλέων αὐτῶν». Ποῖα δὲ ταῦτα; Τουτέστι διὰ τὸ μηδεμίαν ἔχειν σου μνήμην, τοὐναντίον δὲ λέγειν τε καὶ οἴεσθαι μὴ εἶναι ἀκούοντα τὰ λεγόμενα, — διὰ τοῦτο πολλῷ μᾶλλον δικαίως αὐτοὺς τιμωρησάμενος, ἔργῳ πεῖσον αὐτοὺς ὅτι κρινεῖς τε ἅπαντα καὶ βοηθήσεις ἡμῖν ἀδικουμένοις παντὶ τρόπῳ.

«Καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν»

Ἀντὶ τοῦ, μὴ διαφυγέτωσαν τὴν τιμωρίαν· ἐπειδὴ τοῖς φεύγουσιν καὶ συλληφθεῖσιν ἀναγκαίως ἡ τιμωρία ἕπεται, τιμωρηθήτωσαν ἐν αὐτῇ οὖν «τῇ ὑπερηφανίᾳ αὐτῶν», — ὑπερηφανίαν δικαίως καλέσας τὸ μὴ ἐννοεῖν περὶ τοῦ πάντων Δεσπότου τε καὶ κριτοῦ, ἀλλὰ πάντα πράττειν τε ἀδεῶς καὶ φθέγγεσθαι ἃ μὴ δεῖ.

14 «Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται ἐν συντελείᾳ»

Ἐπειδὴ τα γιγνόμενα πάντως καὶ ἀπαγγέλλονται, πολλάκις ἀντὶ τοῦ γιγνομένου τὴν ἀπαγγελίαν λέγει, ὡς τό «ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην»[2] ἀντὶ τοῦ παρέξεις μοι πάντως · τὸ γὰρ γιγνόμενον, τοῦτο καὶ ἀκουτιεῖν ἔμελλεν. **[684]** Κἀνταῦθα οὖν τό «διαγγελήσονται ἐν συντελείᾳ»[3], ἀντὶ τοῦ ἔσονται. Ἀρὰν δὲ καὶ ψεῦδος καλεῖ τὰ παρ' ἐκείνων γιγνόμενα, ὡς ψεύδους μεστὰ καὶ κατάρας ἄξια· ἀπὸ τοίνυν τούτων φησίν, ὧν πράττουσιν, ἀπὸ τούτων συντελεσθήσονται καὶ ἀποθανοῦνται, — ταῦτα γὰρ αὐτοῖς τῆς συντελείας ἔσται καὶ τοῦ θανάτου τὰ αἴτια. Διόλου δὲ ἑαυτῷ ἠκολούθησεν, ἀπὸ τοῦ τρόπου μείζονος αὐτοὺς τιμωρίας ἀξίους δεῖξαι βουληθείς. Οὕτω γάρ φησιν· οὐκ ἔνεστιν αὐτοὺς κερδάναι τὴν παρά σου τιμωρίαν ὡς μεμνημένους σου ἢ εἰδότας σε,

---

1. Ψαλ. 58,12-13. **2.** Ψαλ. 50,10. **3.** Ψαλ. 58,14.

ὅτι δι' αὐτὸ τοῦτο μᾶλλον ἄξιοι φαίνονται τιμωρίας, ἀφ' ὧν λέγουσί τε καὶ ποιοῦσιν· ταῦτα γὰρ μάλιστα ἀναγκαίαν αὐτοῖς τὴν τιμωρίαν ἐπάγεται, ἔτι δὲ καὶ τὴν συντέλειαν.

«Ἐν ὀργῇ συντελείας, καὶ οὐ μὴ ὑπάρξωσιν»

389 «Ἐν ὀργῇ» τῇ τοῦ Θεοῦ λέγει· ἐπισυνῆπται δὲ καὶ τῷ ἄνω, ἵνα ᾖ τὸ διαγγελήσεται κατὰ κοινοῦ, τουτέστιν ἐν τῇ ὀργῇ τῇ τοῦ Θεοῦ, συντέλεια ἀπὸ συντελείας διαγγελήσεται. Οἱ θάνατοι αὐτῶν, φησίν, ἀλλήλους διαδέξονται, ὡς ὁμοῦ τε τῶν πρώτων ἀκούεσθαι θανάτων καὶ πάλιν ἑτέρων ἀπαγγέλεσθαι, καὶ μετ' ἐκείνους ἑτέραν ἀγγελίαν ἐπιφθάνειν. Οὕτως ἡ τοῦ Θεοῦ ὀργὴ συνεχῆ κατ' αὐτῶν ἐργάσεται τιμωρίαν τε καὶ κόλασιν μέχρις ἂν αὐτοὺς ἀνέλῃ πάντῃ καὶ ἀφανίσῃ ὥστε μὴ ὑπάρχειν μήτε εἶναι.

«Καὶ γνώσονται ὅτι ὁ Θεὸς δεσπόζει τοῦ Ἰακὼβ καὶ τῶν περάτων τῆς γῆς»

Καὶ ἐπειδὴ πολλάκις ἡμῖν ὠνείδισαν, ὡς τῆς παρά σου προστασίας οὐκ ἀξιωθεῖσαν, καὶ διὰ τοῦτο μάλιστα ἀδεέστερον ταῖς καθ' ἡμῶν ἐπιβουλαῖς ἐχρῶντο, διὰ τῆς τιμωρίας γνώσονται ὅτι Δεσπότης τε εἶ καὶ Κύριος οὐχ ἡμῶν μόνων, ἀλλὰ γὰρ καὶ πάσης τῆς γῆς. Διὰ τοῦτο ἡμῖν ἐπάμυνον ὅ τε βούλῃ καὶ τοὺς ἀδικοῦντας τιμωρούμενος ὅσα ἐθέλεις. Ἀπέδωκεν δὲ τὸ πᾶν κατὰ ἀκολουθίαν τῷ «μὴ ἀποκτείνῃς αὐτούς»[1] εἶτα ἀναλαμβάνει ἄνωθεν τὴν κατ' αὐτῶν κατάραν καί φησιν.

15 «Ἐπιστρέψουσιν εἰς ἑσπέραν καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι πόλιν»

Ὅπερ ἄνω εἶπεν ἐπαρώμενος αὐτοῖς, τοῦτο κἀνταῦθα ἀναλαμβάνων λέγει, μετὰ τὸ δεῖξαι αὐτοὺς ἀξίους ὄντας τῆς τιμωρίας. Οὐκοῦν φησιν ἐπειδὴ καὶ φείσασθαι αὐτῶν οὐχ οἷόν τε, ὡς νῦν μέν σου φροντιζόντων, ἐπιλησομένων δὲ εἰ ἀποθάνοιεν, — τοὐναντίον γὰρ ἀγνώμονες ὄντες, ἀπὸ τῆς τιμωρίας τὸ δέον ἐπιγνώσονται —, δικαιωτάτην οὖν τιμωρίαν ὑπομεινάτωσαν, καὶ τῇ

---

1. Ψαλ. 58,12.

παρά σου τιμωρίᾳ βληθέντες ὀλολυζέτωσαν δίκην τῶν κατὰ τὴν πόλιν ἐκπεριϊόντων κυνῶν[1] ἐν τῷ τῆς νυκτὸς καιρῷ.

16 «Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι καὶ γογγύσωσιν»

Ἠκολούθησεν ἑαυτῷ ἐχόμενος τοῦ ὑποδείγματος τοῦ ἐπὶ τῶν κυνῶν, καὶ τὸ ἐπ' ἐκείνων συμβαῖνον ἀρασάμενος αὐτοῖς γενέσθαι. Ὥσπερ **390** γὰρ ἐκεῖνοί φησιν, ὅταν ὑπὸ τοῦ λιμοῦ κατέχονται διασκίδνανται κατὰ τὴν πόλιν διερευνώμενοι εἴ πού τις αὐτοῖς εὑρεθείη τροφή, εἶτα ἐπειδὰν μήτε εὑρεῖν δυνηθῶσιν μήτε ἀπολαύσωσιν εἰς κόρον τῆς τροφῆς, γογγυσμοῖς χρῶνται[2] καὶ ὀλολυγαῖς ὠρυόμενοι τὴν κατέχουσαν αὐτοὺς ἔνδειαν, οὕτω φησι καὶ αὐτοὶ διασκορπισθήτωσαν ἐν τῇ σῇ ἀπειλῇ καὶ ὥσπερ ὑπὸ λιμοῦ τῆς συμφορᾶς πιεσθέντες καὶ μηδενὸς μετασχεῖν καλοῦ δυνηθέντες ὀλολυγαῖς καὶ ταῖς φωναῖς τὴν κατέχουσαν αὐτοὺς τιμωρίαν δεικνύντες διατελείτωσαν.

17 «Ἐγὼ δὲ ᾄσομαι τὴν δύναμίν σου»

Ὥσπερ ἀπὸ τοῦ ἐκείνων τρόπου δείκνυσιν ἀξίους ὄντας τιμωρίας οὕτω καὶ ἑαυτὸν ἄξιον ὄντα τυχεῖν τῆς παρά σου φιλανθρωπίας καὶ συμμαχίας ἀπὸ τῶν πραττομένων δείκνυσιν. Τὴν δὲ μετὰ πάσης ἰσχύος φησὶ παρά σου γιγνομένην εἰς ἡμᾶς βοήθειαν, ταύτην ὑμνῶν διατελέσω.

«Καὶ ἀγαλλιάσομαι τὸ πρωῒ τὸ ἔλεός σου»

Καὶ ὄρθρου διανιστάμενός φησιν, ἀεὶ τὴν μνήμην τῆς εἰς ἡμᾶς σου φιλανθρωπίας μετὰ πολλῆς μεθέξω τῆς εὐφροσύνης, ἀντί τοῦ μετ' εὐφροσύνης ὑμνήσω σου τὴν εἰς ἡμᾶς χάριν.

«Ὅτι ἐγενήθης ἀντιλήπτωρ μου καὶ καταφυγή μου ἐν ἡμέρᾳ θλίψεως»

Ἐπειδὴ ἐβοήθησέν μοι ἐν τῷ καιρῷ τῶν κακῶν[3].

---

1. Πρβλ. Ψαλ. 58,15. **2.** Πρβλ. Ψαλ. 58,16. **3.** Πρβλ. Ψαλ. 58,17.

18 «Βοηθός μου, σοὶ ψαλῶ»

Ἐπειδὴ γὰρ αὐτὸς εἶ ὁ περισῴζων με ἀπὸ τῶν κακῶν, σοὶ τοὺς ὑπὲρ τῆς χάριτος ὕμνους δικαίως ἀποδώσω.

«Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου, τὸ ἔλεός μου»

Σὺ γάρ μου βοηθός, σύ μου καὶ φιλανθρωπία, παρ' οὗ παντὸς ἀγαθοῦ τὴν ἀπόλαυσιν δέχομαι[1].

Ψαλμὸς 59

391 Περὶ τῶν αὐτῶν διαλέγεται κἀνταῦθα ὁ μακάριος Δαβὶδ ὡς ἐκ προσώπου τῶν Μακκαβαίων διηγουμένων μὲν τὰς ἰδίας θλίψεις, αἰτούντων δὲ καὶ τὴν παρὰ τοῦ Θεοῦ φιλανθρωπίαν[2], ἀλλὰ καὶ ὡς ὅτι τεύξονται πιστευόντων. Τοῖς δὲ σχήμασι τῆς διηγήσεως τούτοις κεχρημένος ὁ μακάριος Δαβὶδ ἐπὶ τῶν τοιούτων δηλονότι τὰ ἐσόμενα προφητεύων λέγει.

3 «Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς»

Μακρὰν σεαυτοῦ πεποίηκας ἡμᾶς, χωρίσας ἡμᾶς καὶ ἀποστήσας τῆς παρά σου προνοίας, κατέσπασάς τε ἡμᾶς ἀπὸ πολλῆς τῆς δόξης, εἰς ἀτιμίαν ἐλθεῖν παρεσκεύασας καὶ ἀπὸ πολλῆς εὐπραγίας εἰς μεγίστας συμφοράς. Τοῦτο δὲ περὶ τοῦ Θεοῦ, οὐχ ὡς ποιήσαντος λέγει, ἀλλὰ τὴν συγχώρησιν συνηθῶς ἀντὶ πράξεως τεθεικώς.

«Ὠργίσθης καὶ ᾠκτείρησας ἡμᾶς»

[684] Ἀλλ' εἰ καὶ ταῦτα παθεῖν συνεχώρησας, οὐ μὴν ἐναφῆκας τοῖς κακοῖς, ὀξυτάτην τὴν παρά σου φιλανθρωπίαν ἡμῖν παρεχόμενος[3].

4 «Συνέσεισας τὴν γῆν καὶ συνετάραξας αὐτήν»

Γῆν ἐνταῦθα λέγει τὴν τῆς ἐπαγγελίας ἀντὶ τοῦ εἰς ταραχὴν

---

1. Πρβλ. Ψαλ. 58,18. **2.** Πρβλ. Α' Μακκ. 5,48-54. **3.** Πρβλ. Ψαλ. 59,3.

καὶ θόρυβον ἡμᾶς κατέστησας τῷ πλήθει τῶν κακῶν, — «τὴν γῆν» δὲ εἶπεν ὥστε δεῖξαι τῆς ταραχῆς τὴν ἐπίτασι, ὡσανεὶ πάσης αὐτῆς συγκινηθείσης.

«Ἴασαι τὰ συντρίμματα αὐτῆς, ὅτι ἐσαλεύθη»

Ἐπειδὴ τὰ αὐτῶν πάθη ἀνέλαβεν ἐπὶ τῆς γῆς, τῇ οἰκείᾳ ἐχρήσατο ἀκολουθίᾳ καὶ διὰ τοῦτο ὡσανεὶ **392 [685]** ἀπὸ τῆς ὑπερβολῆς τοῦ συσσεισμοῦ τῆς γῆς συντριβείσης καὶ διαλυθείσης, οὕτω φησί· θεράπευσον αὐτῆς «τὰ συντρίμματα»[1]— ἵνα εἴπῃ, ἴασαι ἡμῶν τὰ κακά, καὶ θεράπευσον τὰ πάθη, καὶ διάλυσον τὰς συμφοράς.

5 «Ἔδειξας τῷ λαῷ σου σκληρά»

Πολλῶν ἡμᾶς χαλεπῶν πεῖραν λαβεῖν ἐποίησας.

«Ἐπότισας ἡμᾶς οἶνον κατανύξεως»

«Κατάνυξιν» λέγει τὸ ἐφ' ὁτῳδήποτε πράγματι παθεῖν τὴν ψυχήν, οὕτως ὅταν λέγῃ τό «διεσχίσθησαν καὶ οὐ κατενύγησαν»[2], τουτέστιν ἀποτυχόντες πολλάκις οὐδὲ οὕτως ἔπαθον τὴν ψυχήν, οὐδὲ κατέγνωσαν ἑαυτῶν. Τοιοῦτόν ἐστιν καὶ τό «ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε»[3], τουτέστιν· ἃ βουλεύεσθε κατὰ διάνοιαν, ἐφ' ἡσυχίας ὄντες ἐν τῇ κλίνῃ λογισάμενοι κατάγνωτε ἑαυτῶν καὶ μεταμελήθητε ἐφ' οἷς διεπράξασθε. Οὕτω καὶ ἐπὶ τῆς Σουσάννας περὶ τῶν πρεσβυτέρων φησὶν ὅτι κατενύγησαν τῇ καρδίᾳ[4], τουτέστιν ἔπαθον ἐπ' αὐτῇ ὑπὸ τῆς ἐπιθυμίας συνεχόμενοι. Κἀνταῦθα οὖν «κατάνυξιν»[5] καλεῖ τὴν ἐπιθυμίαν, ὡς πάθος ἀρκοῦν ἐνεργαζόμενον τῇ ψυχῇ· ὡς γὰρ μεταμέλεια καὶ κατάνυξις πράγματος πάθος ἐμποιεῖ, καὶ ὡς ἐπιθυμία καὶ ἔρως χαλεπός, οὕτως καὶ ἀθυμία πάθος ἐνεργάζεται. Τὸν δὲ οἶνον ἐπὶ τῆς συμφορᾶς ἀεὶ λέγει καὶ τῆς τιμωρίας, ἀπὸ τοῦ τὸν οἶνον πλείονα δοθέντα παράγειν τοὺς λογισμοὺς καὶ παραφέρειν καὶ τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν ἐκτὸς τοῦ καθεστῶτος ἐργάζεσθαι.

---

1. Ψαλ. 59,4. **2.** Ψαλ. 34,15. **3.** Ψαλ. 4,5. **4.** Πρβλ. Δαν. (Σωσ.) 1,10. **5.** Ψαλ. 59,5.

Τοῦτο οὖν φησιν ὅτι τιμωρίαν ἡμῖν ἐπενεχθῆναι συνεχώρησας, οὕτω μὲν δαψιλῶς ὥστε δοκεῖν εἰς ἀπόγνωσιν τῆς τιμωρίας μετέχειν, οὕτω δὲ χαλεπὴν ὡς πάθους καὶ ἀθυμίας αὐτάρκως πληροῦν τὴν ψυχήν.

6 «Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου»

Ἀλλ' ἐν μέσῳ τοσούτων ὄντας κακῶν οὐκ ἀφῆκας παθεῖν, ὥσπερ δὲ σημείῳ τινὶ διακρίνας ἡμᾶς, οὕτως ἐν μέσῳ τῶν κακῶν στρεφομένους ἀνεπιβουλεύτους φυλαχθῆναι ἐποίησας τῆς τῶν ἐναντίων ἐπιβουλῆς. Τοῦτο δὲ **393** ἐκ μεταφορᾶς λέγει τῶν ἐναντίων ἐν τοῖς πολέμοις πολλάκις ἀναμιγνυμένων τοῖς πολεμίοις, οἵτινες ἀλλήλοις διδόασι σημεῖα καὶ σύμβολα οἰκειότητος καὶ γινώσκουσιν ἀλλήλους ἐν ἀπομιμήσει τοῦ ἐκείνων σχήματος, ὡς μὴ ἀθρόαν καὶ ἀπροσδόκητον ὑποστῶσι τὴν τιμωρίαν. Οἱ γὰρ τοῦτο ποιοῦντες ἀεὶ σημεῖόν τι πάντως ἀλλήλοις καὶ σύνθημα διδόασιν, ὡς ἂν μὴ ἀπὸ τῆς κατὰ τὸ σχῆμα κοινότητος ἀλλήλους ἀντὶ τῶν πολεμίων ἀνέλωσιν· σημείῳ δέ τινι γνωρίμῳ διακρίνοντες ἀλλήλους, φυλάττονται μὲν τῆς κατ' ἀλλήλων σφαγῆς, πράττουσι δὲ μετὰ πάσης ἀδείας τὰ δοκοῦντα εἰς τοὺς πολεμίους, — ὃ δὴ ποιῆσαί τε καὶ φυλάξασθαι ἐκείνους οὐχ οἷόν τε τῷ σχήματι μὲν ἀπατωμένους, τὸ σύνθημα δὲ οὐκ εἰδότας. Τοῦτο οὖν φησιν ὅτι ὥσπερ σημείῳ τινὶ διακρίνας πάσης ἡμᾶς ἐρρύσω τῆς παρ' ἐκείνων ἐπιβουλῆς, ὡς ἂν μήτε ὑπὸ τόξων φερομένων μήτε ὑπό τινος ἑτέρου πάθοιμέν τι δεινόν[1]. Τοῦτο δὲ καὶ ἀπὸ τῶν κατ' Αἴγυπτον λαβὼν εἶπεν, ὅτι ὥσπερ σημείῳ τινὶ τῷ ἐπὶ τῶν φλιῶν αἵματι διακρίνας τούτους ἀπὸ τῶν Αἰγυπτίων[2], τούτους μὲν ἀβλαβεῖς διετήρησεν, ἐκείνους δὲ ἐτιμωρήσατο.

7 «Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου»

Ταῦτα δέ, φησιν, ἐποίησας ὑπὲρ ἡμῶν τῶν ἠγαπημένων ὑπό σου, ἵνα ἡμεῖς ἀπαλλαγῶμεν τῆς ἐκείνων ἐπιβουλῆς. Εἶτα καὶ εὐχόμενος.

---

1. Πρβλ. Ψαλ. 59,6. **2.** Πρβλ. Ἐξ. 12,22-23.

«Σῶσον τῇ δεξιᾷ σου καὶ ἐπάκουσόν μου»

Ἐπάκουσον καὶ βοηθήσας περίσωσον[1]. Καὶ προφητεύων λοιπὸν τὰ ἐσόμενα.

8 «Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ»

«Ἐλάλησεν», ἀντὶ τοῦ ἐφθέγξατο καὶ ἀπεφήνατο. Πολλαχοῦ γὰρ ὅταν τι λέγῃ περὶ τοῦ Θεοῦ ὡς ποιεῖν μέλλοντος, τίθησι τό «ἐλάλησεν» ἢ λαλήσει, ὡσανεὶ τοῦ Θεοῦ δίκην **394** βασιλέως ἀποφαινομένου καὶ οὕτω πάντως γιγνομένων ὡς προσέταξεν· οἷόν ἐστι τό «ἀκούσομαι τί λαλήσει Κύριος ὁ Θεός»[2] ἐν τῷ πδ′ ψαλμῷ κείμενον, — μαθήσομαι τί ποτε περὶ ἡμῶν ἀποφαίνεται γενέσθαι, — οὕτω καὶ ἐν τῷ ξα′ τό «ἅπαξ ἐλάλησεν ὁ Θεός»[3] ἀντὶ τοῦ ἀπεφήνατο, καὶ οἶδα ὅτι γενέσθαι πάντως ἀνάγκη. Τὸ δέ «ἐν τῷ ἁγίῳ αὐτοῦ»[4], ἀντὶ τοῦ ἁγιάσματος αὐτοῦ λέγει, ἀντὶ τοῦ κατὰ τῆς ἁγιωσύνης αὐτοῦ «ἐλάλησεν», — τουτέστιν, ὤμοσε καθ' ἑαυτοῦ, ἵνα δείξῃ τῆς ἀποφάσεως τὸ ἀμετάθετον, ὡς καὶ ἐν τῷ πη′ τό «ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι»[5]. Τί δὲ ποιήσειν ὤμοσεν;

«Ἀγαλλιάσομαι καὶ διαμεριῶ Σίκιμα»

Τό «ἀγαλλιάσομαι» οὐχ ὡς περὶ ἑαυτοῦ λέγει, ἀλλ' ἀντὶ τοῦ ἀγαλλιασθῆναι ποιήσω· καὶ εἴρηται μὲν οὕτως ἐν τῷ ἑβραϊκῷ κατά τι οἰκεῖον ἰδίωμα τῆς γλώττης, ἀσαφέστερον δὲ γέγονεν ἐν τῷ ἑλληνικῷ διὰ μιᾶς λέξεως φρασθέν. Βούλεται δὲ εἰπεῖν ὅτι πολλῆς αὐτοῖς μεταδώσω τῆς εὐφροσύνης, ἀποδιδούς αὐτοῖς τὴν οἰκείαν γῆν, καὶ πάλιν αὐτὴν διαμερίζων αὐτοῖς, — ἀπὸ γὰρ τοῦ μέρους ἠβουλήθη τὸ πᾶν σημᾶναι· ὡς οὖν ὑπὸ τῶν ἀλλοφύλων τότε κατεχομένης, ἤτοι τῶν περιοίκων ἢ τῶν Ἀντιόχου στρατηγῶν, ἀποδιώξας φησὶ τοὺς πολεμίους καὶ ἀφελόμενος ἀπ' αὐτῶν πάλιν τὴν γῆν ἀποδώσω ὑμῖν καταμερίσας αὐτήν.

«Καὶ τὴν κοιλάδα τῶν σκηνῶν διαμετρήσω»

Ἕτερον λέγει τόπον οὕτω καλούμενον. Ἐπειδὴ γὰρ ἴδιόν ἐστιν τῶν τὴν γῆν λαμβανόντων μέτρῳ ταύτην διαμερίζεσθαι καὶ

---

1. Πρβλ. Ψαλ. 59,7. **2.** Ψαλ. 84,9. **3.** Ψαλ. 61,12. **4.** Ψαλ. 59,8. **5.** Ψαλ. 88,36.

διαλαγχάνειν, — οἷον δὴ τὸ γεγονὸς ἐπὶ Ἰησοῦ τοῦ Ναυῆ[1], ὅτε μετρήσας διεῖλεν αὐτοῖς τὴν γῆν —, τοῦτο φησίν, ὅτι πάλιν αὐτὴν λαβὼν αὐτοῖς ἀποδώσω καὶ πάλιν αὐτὴν διέλω κατὰ μέτρον ὥστε νέμεσθαι τὴν ἰδίαν ἕκαστον χώραν.

9 «Ἐμός ἐστι Γαλαάδ, καὶ ἐμός ἐστι Μανασσῆ»

Ὁ Γαλαὰδ τόπος ἐστὶ τῆς Γαλιλαίας πλησιάζων μᾶλλον τῷ Λιβάνῳ, Μανασσῆς δὲ ἡ φυλή. Ὡς οὖν **395** τούτων τὸ πρότερον ὑπὸ τοὺς ἀλλοφύλους ὄντων τῶν τε τόπων καὶ τῶν ἀνθρώπων, — οἱ μὲν γὰρ ἐδούλευον, οἱ δὲ κατείχοντο ὑπ' ἐκείνων —, τοῦτο φησίν, ὅτι οὐκέτι ἔσται ἑτέρων ὁ Γαλαάδ[2] ἀφελὼν γὰρ αὐτὸν τῶν πολεμίων καὶ πάλιν ἐμὸν ποιήσομαι. Ἀλλ' οὐδὲ ὁ Μανασσῆς ἑτέρῳ δουλεύσει· ἀπαλλάξω γὰρ αὐτοὺς τῆς δουλείας. Βούλεται δὲ εἰπεῖν, ὅτι καὶ ὑμᾶς ἀπαλλάξω τοῦ δουλεύειν τοῖς ἐχθροῖς καὶ τοὺς προσήκοντας ὑμῖν ἀποδώσω τόπους, καὶ εἰς τὸ ἀρχαῖον ὑμᾶς ἀποκαταστήσω σχῆμα.

«Ἰούδας βασιλεύς μου»

Σύμμαχος τό «βασιλεύς μου» προτάσσων 'ἐμός' λέγει, ὥστε δῆλον εἶναι ὅτι τό «μου» τῷ Ἰούδᾳ ἐπισυνῆπται κατὰ διάνοιαν, ἐν μέσῳ τοῦ «βασιλεύς» παρεγκειμένου, ἵνα ᾖ Ἰούδας μου «βασιλεύς». Ἰούδας δέ φησι ὁ ἐμός «βασιλεύς», ἵνα εἴπῃ· ἡ τοῦ Ἰούδα φυλὴ πάλιν ἀναδώσει τοὺς ἐξ αὐτῆς βασιλεῖς. Δι' ὅλων δὲ λέγει ὅτι τὰ ἀρχαῖα ὑμῖν πάλιν ἀποδοθήσεται.

10 «Μωὰβ λέβης τῆς ἐλπίδος μου»

Οἱ μὲν οἰκεῖοί φησιν ἐν τούτοις, ὁ δὲ Μωάβ τί; Τὸ ἐναντίον ἐν τάξει μοι λέβητός ἐστιν. Ὁ γὰρ Σύρος τό «λέβης τῆς ἐλπίδος μου»[3] οὕτω φησίν· 'λεκάνη τῆς καταπατήσεώς μου', τοιοῦτό τι εἰπεῖν βουλόμενος ὅτι, ὥσπερ ἐν λεκάνῃ ἱμάτια βαλλόμενα ὑπὸ τῶν πλυνόντων πατεῖται, οὕτω φησίν, καταπατήσω τὸν Μωάβ. Τοῦτο δὲ καὶ ἡ ἀκολουθία δείκνυσιν βουλόμενον εἰπεῖν τὸν Προφήτην.

1. Πρβλ Ἰησ. Ν. 18,5-6. **2.** Πρβλ. Ψαλ. 59,9. **3.** Ψαλ. 59,10.

Τὸ δέ «λέβης» εἴρηται ἴσως ἡ τῶν Ἑβραίων μιᾷ τῇ φωνῇ καλούντων ἀμφότερα τῶν παλαιῶν ἐν μικροτέροις τοῖς λέβησι πλυνόντων τε καὶ καταπατούντων τὰ ἱμάτια. Τὸ δέ «ἐλπίδος μου» καί 'καταπατήσεώς μου' οὐδὲν διαφέρει· τοῦτο γὰρ λέγει τό «ἐλπίδος μου», ἀντὶ τοῦ ὥσπερ ἐλπίζω εἰς πέρας ἄχθει. Τί γὰρ ἂν ἕτερον εἴη ἢ τὸ τιμωρηθῆναι τοὺς ἐχθρούς; Ὃ καλῶς σαφέστερον ὁ Σύρος ἑρμηνεύων 'καταπάτησιν' ἐκάλεσεν, τῇ πρὸς τὴν ἑβραΐδα ἐγγύτητι μᾶλλον συνεῖναί τε καὶ σαφηνίσαι τὸ λεχθὲν δυνηθείς.

«Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου»

396 Τοῦτο μάλιστα βεβαίωσίς ἐστι τῆς ἑρμηνείας τοῦ ἀνωτέρου· τοῦτο γὰρ λέγει ὅτι καὶ ἐπὶ Ἰδουμαίους «τὸ ὑπόδημά μου ἐκτενῶ», ἀντὶ τοῦ κἀκείνους ὑποτάξω καὶ ὑποχειρίους ποιησάμενος καὶ ὥσπερ ὑπὸ τοὺς πόδας βαλὼν καταπατήσω. Μωαβίτας δὲ λέγει καὶ Ἰδουμαίους, ἐπειδὴ οὗτοι μάλιστα τῶν περιοικούντων ἐχθραίνοντες αὐτοῖς ἀεί· καὶ τότε πλεῖστα διέθηκαν αὐτοῖς κακά, οὓς καὶ κρατήσαντες ὕστερον αὐτάρκως ἐτιμωρήσαντο. Ταῦτα εἰρηκὼς ὡς ἐκ τοῦ Θεοῦ ὅτι ἐλάλησέ τε καὶ ποιήσειν ὑπέσχετο καὶ θαυμασιώτατα, χρησάμενος τῷ σχήματι ὡς ἂν τοῦ Θεοῦ εἰπόντος, ὅτι πάλιν ἀποδίδωμι τὴν γῆν, πάλιν αὐτὴν εἰς κατοίκησιν μερίζων, τῇ βασιλείᾳ τὸ σχῆμα ἀποδίδωμι, τῷ στρατῷ τὴν παλαιὰν ἰσχύν τοὺς ἐναντίους τιμωρούμενος, ἀκολούθως ἑαυτῷ ὡς ἐκ προσώπου τῶν Μακκαβαίων φησίν·

«Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν»

Τουτέστιν, ἐπειδὴ ταῦτα ὁ Θεὸς ἀπεφήνατο καὶ ἐπηγγείλατο ἐκράτησα τῶν ἀλλοφύλων.

11 «Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς;»

«Πόλιν περιοχῆς»[1] φησι τὴν σφόδρα περιεχομένην ὑπὸ τείχους ἀσφαλοῦς, καὶ ἀνεπιβούλευτον οὖσαν διὰ τοῦτο τοῖς πολεμίοις. Τίς γάρ, φησίν, ἕτερος στρατηγήσει μου τοῖς πολεμίοις καὶ προσάξει με πόλεσιν ὀχυραῖς;

---

1. Ψαλ. 59,11.

«Τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας;»

Τίς δέ μοι καὶ μέχρι τῶν Ἰδουμαίων στρατηγήσει; Ὁ τὴν ὁδὸν ὑποδεικνὺς καὶ προθυμότερον εἰς τὸ πολεμεῖν ἐργαζόμενος.

12 «Οὐχὶ σύ, ὁ Θεός, ὁ ἀπωσάμενος ἡμᾶς;»

Καθ' ὑπόκρισιν ἀναγνωστέον, ἀντὶ τοῦ μὴ ἕτερός μοι ταῦτα παρέξει; Οὐχὶ διὰ σού φησι τούτων ἀπολαύσω καὶ κρατήσω τῶν ἐναντίων; Τὸ δέ «ἀπάξει» καί «ὁδηγήσει»[1] σωματικῶς ἐπὶ τοῦ Θεοῦ ὡς προηγουμένου καὶ στρατηγοῦντος καὶ πάντα συμπονοῦντος εἶπεν καλῶς.

«Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν»

397 Καὶ τοῦτο καθ' ὑπόκρισιν ἀναγνωστέον, τὸ δὲ σὺ κατὰ κοινοῦ νοητέον, — ἀντὶ τοῦ οὐχὶ σὺ ὁ ἀπωσάμενος ἡμᾶς, σὺ καί «ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν»[2], ἵνα εἴπῃ ὅτι σὺ καὶ παθεῖν συνεχώρησας, σὺ καὶ ἐπαμυνεῖς καὶ συμμαχήσεις· τὸ γάρ «ἐν ταῖς δυνάμεσιν» λέγει ἀντὶ τοῦ σὺν ταῖς δυνάμεσι, τῷ ἐν ἀντὶ τοῦ σὺν συνηθῶς κεχρημένος κἀνταῦθα. Δυνάμεις δὲ λέγει τὰς στρατιάς, ἐπειδὴ τῶν πολεμούντων ἡ δύναμις ἐν τῷ στρατῷ· οὕτω δέ πως καὶ μέχρι τοῦ νῦν λέγεται παρὰ τοῖς πολλοῖς. Τοῦτο οὖν φησιν, οὐ συνεξελεύσῃ ἡμῖν πολεμοῦσι καὶ συμμαχήσεις ἡμῖν;

13 «Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως, καὶ ματαία σωτηρία ἀνθρώπου»

Οὐκοῦν φησιν ἐπειδὴ οὐχ ἕτερος ὁ βοηθεῖν δυνάμενος ἀλλ' ἢ μόνος αὐτός, χαρισάμενος τὴν παρά σου βοήθειαν ἀπάλλαξον τῆς κατεχούσης θλίψεως[3]· οὐδὲ γὰρ οἷόν τε παρ' ἀνθρώπου βοήθειαν ἐκδέξασθαι, ἐπειδὴ μάταιον καὶ κενὸν τὸ παρὰ ἀνθρώπου σῴζεσθαι προσδοκᾶν, πάντων ἀνθρώπων ἀσθενῶν τε ὄντων καὶ βοηθείας τῆς παρά σου δεομένων.

14 «Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν»

Ἐν γὰρ τῇ σῇ βοηθείᾳ, φησί, καὶ συμμαχίᾳ διαπράξομαί τι δυνατὸν καὶ ἰσχυρὸν κατὰ τῶν πολεμίων[4].

---

1. Ψαλ. 59,11. **2.** Ψαλ. 59,12. **3.** Πρβλ. Ψαλ. 59,13. **4.** Πρβλ. Ψαλ. 59,14.

«Καὶ αὐτὸς ἐξουδενώσει τοὺς θλίβοντας ἡμᾶς»

Αὐτὸς δὲ καὶ τιμωρησάμενος, τὸ μηδὲν ἀποφανεῖς τοὺς νῦν ἡμῖν πολεμεῖν πειρωμένους.

Ψαλμὸς 60

Τὰ κατὰ Βαβυλῶνα[1] προαγορεύει νῦν οὕτω τὸν ψαλμὸν ἐκφωνῶν, ὡσανεὶ αἰτούντων ἐκείνων τυχεῖν τῆς τοῦ Θεοῦ βοηθείας, ὁμοῦ καὶ τὴν ἐπάνοδον προϋπισχνούμενος[2].

2 «Εἰσάκουσον ὁ Θεός, τῆς δεήσεώς σου, πρόσχες τῇ προσευχῇ μου»

398 Καὶ πρόσχες καὶ ἄκουσον[3], τουτέστιν ἀκοῦσαί σοι μελησάτω.

3 «Ἀπὸ τῶν περάτων τῆς γῆς πρός σε ἐκέκραξα»

Πέρατα τῆς γῆς πολαχοῦ ἐκεῖνα λέγει τὰ μέρη τὰ Βαβυλῶνος καὶ Περσίδος[4], ὡσανεὶ πρός τὴν γῆν τῆς ἐπαγγελίας πόῤῥω τε ὄντων καὶ μικροῦ δεῖν πρὸς αὐτοῖς τοῖς πέρασι τῆς γῆς· ἔτι τοίνυν φησὶν ἐν τῇ αἰχμαλωσίᾳ τυγχάνων καὶ ἐν ταῖς συμφοραῖς ἐξεταζόμενος, ἐβόησα πρός σε[5].

«Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου»

Σύμμαχος 'ἐν τῷ ἀδημονεῖν' φησιν· ἀλλὰ σαφέστερον μὲν Σύμμαχος, ἐνεργέστερον δὲ οἱ Ο′ καὶ ἐμφαντικώτερον. Ἀδημονεῖν μὲν γὰρ καὶ ἐπὶ τοῖς μικροῖς λέγεται, ἀκηδιᾶν δὲ ἐπὶ τοῖς μεγάλοις πάντως, ὅταν διὰ τὸ πλῆθος τῶν κακῶν λοιπὸν ὢν ἐν μέσῳ τις περιλαμβάνεται ἀπαγορεύει πρὸς αὐτά. Ἐν μέσοις τοίνυν φησὶν ὢν τοῖς κακοῖς καὶ οὐκέτι φέρειν αὐτὰ οἷός τε ὤν, ἀλλ' ὥσπερ ἀκηδιάσας πρὸς αὐτά, ἐβόησα τὴν σὴν αἰτούμενος βοήθειαν.

---

1. Πρβλ. Α′ Ἔδρ. 1,50-55. Ἱερ. 25,9-11. **2.** Πρβλ. Ἱερ. 25,12-13. **3.** Πρβλ. Ψαλ. 60,2. **4.** Πρβλ. Β′ Παρλ. 36,20. Α′ Ἔσδρ. Ί,53-54. **5.** Πρβλ. Ψαλ. 16,6-9.

«Ἐν πέτρᾳ ὕψωσάς με»

Τὴν πέτραν[1] ἐπὶ τῆς ἀσφαλείας λέγει πολλαχοῦ. Ὑψηλόν με τοίνυν, φησί, καὶ ἐπίδοξον ἐποίησας, ὁμοῦ καὶ ἀσφάλειάν μοι χαρισάμενος τῇ παρά σου βοηθείᾳ, ὥστε μηδὲ ἐπισφαλῆ δοκεῖν εἶναι τὴν χάριν.

4 «Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου»

Καὶ μονονουχὶ ἐν ὁδηγοῦ τάξει καταστὰς ἐπανήγαγες εἰς τὴν γῆν τῆς ἐπαγγελίας, δικαιότατα γε χρησάμενος, ἐπειδὴ καὶ παρά σου τοῦτο ἤλπιζον, οὐκ ἔχων ἄλλην προσδοκίαν τῆς χάριτος.

«Πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ»

Πύργον λέγει τὴν ἀσφάλειαν, ἀπὸ τοῦ πολλὴν ἀσφάλειαν ἀπὸ τῶν πύργων προσεῖναι τοῖς τε τείχεσι **399** καὶ ταῖς πόλεσιν· πύργον οὖν «ἰσχύος» τὴν ἰσχυρὰν ἀσφάλειαν λέγει. Τοῦτο δὲ ὡς πρὸς τὸν Θεόν φησι· σὺ μού φησι καὶ ἰσχὺς καὶ ἀσφάλεια[2], — ὁπηνίκα γὰρ ὑπὸ τῶν ἐχθρῶν διώκομαι, ὥσπερ ἐπὶ πύργον[3] ἀσφαλῆ καταφυγὼν ἐπί σε, ἀπαλλάττομαι τῆς ἐκείνων ἐπιβουλῆς.

5 «Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τοὺς αἰῶνας»

Διὰ τοῦτο γοῦν τοῦτο παρέξεις μοι καὶ τὸ διηνεκῶς κατοικεῖν «ἐν σκηνώματί σου»[4], ἵνα εἴπῃ πλησίον τοῦ ναοῦ, τουτέστιν ἐν τῇ γῇ τῆς ἐπαγγελίας.

«Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου»

Παρέξεις δέ μοι καὶ τὴν σκέπην καὶ τὴν ἀσφάλειαν, τὴν παρά σου βοήθειαν.

6 «Ὅτι σύ, ὁ Θεός, εἰσήκουσας τῶν εὐχῶν μου»

Τούτων ἀπολαύσω φησὶν ἐπείπερ «εἰσήκουσας»[5] ὧν ᾔτησα.

«Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου»

Ἐπειδὴ ἡ κληρονομία κτῆσίν τινα καὶ δεσποτείαν παρέχει τοῖς

---

1. Πρβλ. Ψαλ. 60,3. **2.** Πρβλ. Ψαλ. 17,2. **3.** Πρβλ. Ψαλ. 60,4. **4.** Ψαλ. 60,5. **5.** Ψαλ. 60,6.

κληρονομοῦσιν, τοῦτό φησιν ὅτι αἰχμαλώτους ὄντας ἡμᾶς καὶ δουλεύοντας ἐν ἀλλοτρίοις, δέδωκας ἡμῖν τοῦ κατοικεῖν ἐν ἰδίοις, καὶ ὥσπερ κληρονομίαν τινὰ κατέχειν τε πάλιν καὶ νέμεσθαι καὶ δεσπόζειν τῆς γῆς τῆς ἐπαγγελίας.

7 «Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις τὰ ἔτη αὐτοῦ»

Ποιήσεις ἡμῶν, φησί, πολυετῆ καὶ τὸν βασιλέα[1]· ἦν μὲν οὖν τὸ τοῦ Ζοροβάβελ[2] βασίλειον αὐτῶν. Ὁ δὲ Προφήτης τοῦτο βούλεται εἰπεῖν, ὅτι ἅπαντα ἡμῖν χαριεῖ, καὶ πάλιν ἡμῖν βασιλέα δώσεις ἥμερον, ὃν καὶ πολυετῆ ποιήσεις, — οὐ κατὰ πρόσωπον λέγων, ἀλλὰ περὶ τοῦ ἀξιώματος, — τουτέστιν, ἐπὶ πλεῖστον ποιήσεις ἡμᾶς ὑπὸ τοῖς ἰδίοις εἶναι βασιλεῦσιν, οὐκέτι πάλιν δεδιότας αἰχμαλωσίαν καὶ τὸ ὑφ' ἑτέρους ὄντας δουλεύειν.

«Ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς»

400 Ἐκτενεῖς αὐτόν, φησίν, ἐπὶ πολὺ διαμένειν εἰς τὸν αἰῶνα.

8 «Διαμενεῖ εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ»

Καὶ φυλαχθήσεται ἐπὶ πλεῖστον «ἐνώπιον τοῦ Θεοῦ»[3], τουτέστιν ἐν τῇ Ἱερουσαλὴμ πλησίον τοῦ ναοῦ, ἔνθα ὁ Κύριος κατοικεῖν ἐδοξάζετο, — ἔφην δὲ προλαβὼν ὅτι ταῦτα οὐ περὶ προσώπου λέγει —, ἀντὶ τοῦ ἐπὶ μήκιστον ἡμῖν χάρισαι τῶν ἡμετέρων βασιλέων τὴν διαδοχήν· ἐπεὶ πῶς ἐπὶ προσώπῳ ἁρμόσει τό «ἕως ἡμέρας γενεᾶς καὶ γενεᾶς»;[4] Πόσον γὰρ ἔμελλεν ἡ τοῦ ἑνὸς βασιλέως ἐκτείνεσθαι ζωὴ ὥστε διαμένειν ἐπὶ πλείσταις γενεῶν διαδοχαῖς;

«Ἔλεον καὶ ἀλήθειαν αὐτοῦ τίς ζητήσει;»

Ἀλλὰ ταῦτα μὲν παρέξεις οἰκείᾳ τῇ ἀγαθότητι. Μακαριστὸν δ' ἂν εἴη τὸ καὶ αὐτόν τινα τὴν οἰκείαν ἐπιδείκνυσθαι διάθεσιν πρός σέ τε βλέποντα, καὶ τῆς εἴς σε μὴ ἐξιστάμενον ἐλπίδος, καὶ παρά σου ταῦτα ζητοῦντα. «Ἔλεον» γάρ «καὶ ἀλήθειαν» συνηθῶς λέγει, τὴν βεβαίαν καὶ ἀληθῆ τοῦ Θεοῦ φιλανθρωπίαν οὕτω καλῶν

---

1. Πρβλ. Ψαλ. 60,7. **2.** Πρβλ. Α'. Ἔσδρ. 4,58-63. **3.** Ψαλ. 60,8. **4.** Ψαλ. 60,7.

ἵνα εἴπῃ τὴν ἐπάνοδον. Καὶ καλῶς τοῦτο ἐπήγαγεν, δεικνὺς ὡς ὅτι καὶ αὐτοὺς προσήκει τὰ παρ' ἑαυτῶν ἐν ταῖς τοῦ Θεοῦ συνεισφέρειν δωρεαῖς διὰ τῆς περὶ αὐτὸν διαθέσεώς τε καὶ ἐλπίδος καὶ τοῦ παρ' αὐτοῦ τῶν καλῶν ἀναμένειν τὴν δόσιν.

9 «Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τὸν αἰῶνα»

Οὕτω γάρ μοι προσέσται τυχόντι τῶν παρά σου καλῶν διηνεκεῖς σοι τοὺς ὑπὲρ τούτων ὕμνους ἀποδιδόναι. Τὸ γάρ «οὕτως ψαλῶ»[1] τοῦτο λέγει, ὅτι τότε τεύξομαι καὶ ἔξω τοῦ ὑμνεῖν σε τὰς ἀφορμάς, ὡς ἂν ἀπὸ τῆς ἐπανόδου καὶ τῆς αἰνέσεως ἀφορμῆς αὐτῷ πάντως ἐσομένης εἰς τὸ τοῖς ὕμνοις σχολάζειν. Προσέσται μοι οὖν τοῦτό φησιν, εἰ ἔχοιμι περί σε, εἴς σέ τε ἐλπίζων, καὶ παρά σου ζητῶν τὴν ἀπαλλαγὴν τῶν παρόντων κακῶν. Ὅμοιον δέ ἐστι τῷ λθ' **401** ψαλμῷ περὶ τῆς αὐτῆς ὑποθέσεως εἰρημένῳ, τῷ «καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν»[2], ἀντὶ τοῦ ἐπαναγαγών με ἔδωκέν μοι τοῦ ὑμνεῖν αὐτὸν τὴν ἀφορμήν· τὸ αὐτὸ γὰρ λέγει κἀνταῦθα. Διὰ τοῦτο «οὕτως ψαλῶ», τουτέστιν οὕτω μοι προσγενήσεται τὸ τούτων ἀπολαῦσαι, ἀφ' ὧν ἔξω τοῦ ὑμνεῖν αὐτὸν πλείστας ἀφορμάς.

«Τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας»

Καὶ τοῦ διηνεκῶς αὐτῷ ἀποδιδόναι τὰς ὀφειλομένας παρ' ἐμοῦ προσευχάς, — ἵνα εἴπῃ τὴν ὀφειλομένην αὐτῷ κατὰ νόμον θρησκείαν παρ' ἐμοῦ —, ὡς ἂν τοῦτο ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας εὐξάμενος τῷ Θεῷ καὶ ἐπαγγειλάμενος μετὰ τὴν ἐπάνοδον πολλὴν ποιήσεσθαι τοῦ Νόμου τὴν ἐπιμέλειαν, διὰ τὸ πρότερον ῥαθυμοῦντα τῆς τοῦ νόμου φυλακῆς τὴν αἰχμαλωσίαν ὑπομεῖναι καὶ τὰς ἐκεῖ συμφοράς. Ἐπισυνῆπται δὲ τῷ ἀνωτέρω, ὡς πρὸς τό «ἔλεον καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει»[3], ἀποδεδομένον, ἵνα εἴπῃ ὅτι εἰ καὶ ἐλπίζοιμεν ἐπί σε καὶ παρά σου ταῦτα ζητοῖμεν, πάντως καὶ τευξόμεθα τῆς ἐπανόδου, ὥστε διηνεκῶς σοι λοιπὸν καὶ τοὺς ὑπὲρ αὐτῶν ὕμνους ἀποδιδόναι καὶ πᾶσαν τὴν κατὰ νόμον ὀφειλομένην θρησκείαν παρ' ἐμοί.

---

1. Ψαλ. 60,9. **2.** Ψαλ. 39,4. **3.** Ψαλ. 60,8.

Ψαλμὸς 61

2 «Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;»

Κατ' ἐρώτησιν ἀναγνωστέον. Ἐπειδὴ γὰρ ἠνάγκαζον αὐτὸν ἐκεῖνοι ἀποστῆναι τῆς γνώσεως τοῦ Θεοῦ καὶ θῦσαι τοῖς εἰδώλοις. Τί, φησίν, ὑμῖν βούλεται τὰ τῆς σπουδῆς; Κἂν γὰρ μύρια ποιῆτε, οὐχ οἷόν τέ με ἑτέρῳ Θεῷ ὑποταγῆναι καὶ δουλεῦσαι ἀλλ' ἢ τῷ ἀληθῶς Θεῷ, ᾧ καὶ συνηθῶς δουλεύειν ἔμαθον. Τὸ οὖν **402** «οὐχὶ τῷ Θεῷ», τουτέστι, μὴ οἷόν τέ με ἑτέρῳ τινὶ δουλεῦσαι, «οὐχὶ τῷ Θεῷ»[1] με δουλεύειν ἀνάγκη; Ὥστε μάτην ὑμῖν ὁ κάματος γίνεται.

«Παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου»

Καὶ γὰρ αὐτός μοι παρέξει τὴν σωτηρίαν ἀδικουμένῳ παρ' ὑμῶν, καὶ ἀπαλλάξει πάντως ὑμῶν τῆς μοχθηρίας.

3 «Καὶ γὰρ αὐτὸς ὁ Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου· οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον»

Οὐδὲ γὰρ τοῦτο παρέξει πρώτως, ἀεὶ Δεσπότης τέ μου καὶ Σωτὴρ φανεὶς καὶ βοηθός[2]· ὅθεν πέπεισμαι καὶ νῦν ἀπαλλαγήσεσθαι τῆς ὑμετέρας κακίας καὶ μὴ ἐπὶ πλεῖστον περιάγεσθαι τῇδε κἀκεῖσε ταῖς ὑμετέραις ἐπιβουλαῖς.

4 «Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον;»

Ἀντὶ τοῦ ἐφ' ἡμᾶς μέχρις οὖν πότε τοσοῦτον «ἐπιτίθεσθε», μάτην ἡμᾶς ἀδικεῖν προειρημένοι;

«Φονεύετε πάντες»

Ταύτην ἔχοντες μόνην σπουδήν, τὸ φονεύειν ἡμᾶς καὶ ἀναιρεῖν ἡμᾶς.

«Ὡς τοίχῳ κεκλιμένῳ καὶ φραγμῷ ὠσμένῳ»

Πρὸς τό «ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον»[3] τοῦτο ἀπέδωκεν, ἐπειδὴ γὰρ ὁ κεκλιμένος τοῖχος εὔκολος περὶ τὸ καταπίπτειν

---

1. Ψαλ. 61,2. **2.** Πρβλ. Ψαλ. 61,3. **3.** Πρβλ. Ψαλ. 61,4.

ἐστίν, καὶ φραγμὸς ὁ ῥιζόθεν ἐξεσπασμένος καὶ περιτετραμμένος· τοῦτον γὰρ λέγει ὠσμένον τὸν ἤδη ὠθισθέντα καὶ κεκλιμένον. Ἐπειδὴ οὖν εὔκολα ταῦτα περὶ τὸ πεσεῖν, ταῦτά φησι· μέχρι πότε ἡμῖν ἐπίκεισθε πάντες κατ' αὐτὸν γενόμενοι, ὡς ἀσθενέσι τε καὶ εὐκόλοις περὶ τὸ καταπίπτειν καὶ πάσχειν ὅτι ἄν ὑμῖν δοχῇ; Εἰ γὰρ καὶ ἡμεῖς ἀσθενεῖς, ἀλλ' ἐπειδὴ μέγας ἡμῶν ὁ βοηθός, ἐκεῖνον ἔδει δεδιότας ἀποστῆναι τῆς καθ' ἡμῶν ἐπιβουλῆς.

5 «Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι»

403 Τό «πλήν» προσεῤῥῖφθαι εἰρήκαμεν πολλαχοῦ. Πολλήν, φησίν, ἔθεντο σπουδὴν ἀφέλεσθαί μου «τὴν τιμήν». Τιμὴν δὲ αὐτοῦ καλεῖ τὴν εἰς τὸν Θεὸν θεραπείαν· καὶ γάρ ἐστι ἀληθὴς τιμὴ τῷ μετιότι ἄνπερ εὖ φρονεῖ, πάντων ἕνεκεν τίμιον αὐτὸν παρ' αὐτοῖς ἐργαζομένη.

«Ἔδραμον ἐν ψεύδει»

Ἐπειδὴ ἀλήθειαν μὲν καλοῦμεν ὅταν τις τὸ ὂν εἴπῃ, ψεῦδος δὲ τὸ μὴ ὄν, ψεῦδος καλεῖ πολλάκις τὸ μάταιον καὶ οὐδέν· τὸ οὖν «ἐν ψεύδει»[1], ἀντὶ τοῦ ματαίως. Πολλῇ, φησί, περὶ τοῦτο ἐχρήσαντο τῇ σπουδῇ ματαίως καὶ ἀνωφελῶς· οὐδὲν γὰρ αὐτοῖς περιΐσταται, ἐπεὶ μηδὲ ἰσχύσουσιν ἡμᾶς ἀποστῆναι τῆς τοῦ Θεοῦ θεραπείας.

«Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο»

Καὶ λόγοις μὲν γάρ, φησί, κολακευτικοῖς ἐχρῶντο πρὸς ἡμᾶς πολλάκις, ἵν' οὕτω δελεάσωσι πεισθῆναί τε αὐτοῖς καὶ ἀποστῆναι τῆς τοῦ Θεοῦ θεραπείας, ἡ δὲ καρδία αὐτῶν πάσης ἔγεμεν κατάρας· κακὸν γὰρ ἦν τὸ βούλευμα τὸ πάντα πράττειν αὐτούς, κολακίαις τε καὶ εὐφημίαις κεχρημένους εἰς τὸ μεταβάλλειν ἡμᾶς τῆς περὶ τὸν Θεὸν γνώσεως.

6 «Πλὴν τῷ Θεῷ ὑποτάγηθι, ψυχή μου»

Ἀλλὰ τούτων, φησί, πρόσεχε μηδενί, μὴ τῇ τῶν ῥημάτων κολακείᾳ, μὴ τῇ καθ' ἡμῶν σπουδῇ· ἔστω δέ σοι πάντων προτιμότε-

---

1. Ψαλ. 61,5.

ρον τὸ τῷ Θεῷ ὑποτετάχθαι καὶ τούτῳ δουλεύειν καὶ τοῦτον μόνον λέγειν Δεσπότην.

«Ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου»

Καὶ γὰρ πολλὰ τὰ παρὰ τούτων ἐπαγόμενα κακά, ἀλλὰ πρὸς αὐτὸν βλέπω, αὐτὸν ἔχων προσδοκίαν καὶ ἐλπίδα· διὸ καὶ ὑπομένω τὰ γενόμενα[1].

7 «Ὅτι αὐτὸς Θεός μου καὶ σωτήρ μου, ἀντιλήπτωρ μου· οὐ μὴ μεταναστεύσω»

404 Εἰωθὼς γάρ μοι βοηθεῖν βοηθήσει[2] καὶ νῦν, καὶ οὐ συγχωρήσει τούτοις τὸν οἰκεῖον ἐξανύσαι σκοπὸν ὥστε περιγενέσθαι μὲν ἡμῶν, ἀναστῆσαι δὲ καὶ ἀποδιῶξαι τῶν ἡμετέρων καὶ ἐν φυγῇ καταστῆσαι.

8 «Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου»

Ἐπ' αὐτῷ τῆς σωτηρίας καὶ τῆς δόξης ἔχω τὴν ἐλπίδα[3], τουτέστιν, Αὐτός με καὶ περισώσει καὶ ἐπίδοξον ποιήσει νικητὴν τούτων ἐργασάμενος.

«Ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ»

Αὐτὸς ὁ τὴν βοήθειάν μοι παρέχων, ἐπ' αὐτῷ καὶ ἐλπίζω.

9 «Ἐλπίσατε ἐπ' αὐτόν, πᾶσα συναγωγὴ λαοῦ»

Καλῶς ὡς ἀπὸ τῶν Μακκαβαίων πρὸς τὸν λαὸν προτρεπόντων αὐτοὺς μὴ δειλιᾶν μηδὲ καταπτήσειν, ἀλλ' ἔχεσθαι τῆς εἰς τὸν Θεὸν εὐσεβείας. Μὴ δείδιτε, φησί, τούτους, ἀλλ' ἔχετε ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα τῶν καλῶν.

«Ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν»

Πᾶσαν ὑμῶν αὐτῷ τὴν διάνοιαν ἀνάθεσθε. Καλῶς δὲ τό «ἐκχέατε»[4], ὡς πρὸς τούτους τέως ἀμφιβόλους ὄντας τὴν γνώμην, του-

---

1. Πρβλ. Ψαλ. 61,6. **2.** Πρβλ. Ψαλ. 61,7. **3.** Πρβλ. Ψαλ. 61,8. **4.** Ψαλ. 61,9.

τέστι, Μὴ διστάζετε εἰς τὴν περὶ τὸν Θεὸν εὐσέβειαν, ἀλλ' ὅλους ὑμῶν ἐπ' αὐτὸν ῥίψατε τοὺς λογισμούς.

«Ὁ Θεὸς βοηθὸς ἡμῶν»

Αὐτὸς γὰρ ἡμῖν πάντοτε ἐπαμύνει ἐὰν γνησίαν ἡμῶν ἴδῃ τὴν περὶ αὐτὸν διάθεσιν.

10 «Πλὴν μάταιοι οἱ υἱοὶ τῶν ἀνθρώπων»

Οὔτε γὰρ προσῆκεν ὑμᾶς φοβεῖσθαι τῶν πολεμούντων τὴν ἰσχύν, ἐπείπερ εἰκῇ καὶ ἀσθενεῖς πάντες ἄνθρωποι ἔρημοι τῆς τοῦ Θεοῦ βοηθείας τυγχάνονται.

«Ψευδεῖς οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι»

405 «Ψευδεῖς»[1], ἀντὶ τοῦ μάταιοι καὶ οὐδέν. Ἐπειδὴ δέ «ζυγοῖς» ἀεὶ σταθμώμεθα ἅπερ βουλόμεθα καὶ τῇ ῥοπῇ τῶν βαρυτέρων δεχόμεθα τὴν διάκρισιν, τοῦτό φησιν ὅτι οἱ ἄνθρωποι, ἐπειδὰν ὡς ἐν ζυγῷ ῥίψωσιν πρὸς τὸ ἀδικεῖν, πολλῷ μᾶλλον αὐτοὺς οὐ προσήκει φοβεῖσθαι· οὐδαμινοὶ γάρ εἰσι καὶ οὐδὲν ἰσχύοντες, ἔτι καὶ τὸν Θεὸν διὰ τὴν ἀδικίαν ἐναντιούμενον ἔχοντες.

«Αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό»

Σύμμαχος· 'ματαιοῦνται ὁμοῦ'· ματαιωθήσονται γάρ, φησί, καὶ ἀποφανθήσονται πάντες ὁμοῦ τὸ μηδέν, τοῦ Θεοῦ διὰ τὴν ἀδικίαν αὐτοὺς τιμωρουμένου.

11 «Μὴ ἐλπίζετε ἐπὶ ἀδικίαν, καὶ ἐπὶ ἁρπάγματα μὴ ἐπιποθεῖτε»

Ὥστε, φησίν, μηδὲν νομίζετε τούτους διὰ τὴν νῦν προσοῦσαν αὐτοῖς τυραννίδα, ᾗ κεχρημένοι οὕτως ἡμᾶς ἀδεῶς ἀδικεῖν τε καὶ ἁρπάζειν ἐσπουδάκασιν· οὐδὲν γάρ εἰσι διὰ τὴν παρὰ τοῦ Θεοῦ τιμωρίαν. Τὸ γάρ «μὴ ἐλπίζετε»[2], μηδὲ πεποίθετε, ἀντὶ τοῦ μὴ μεγάλους αὐτούς νομίζετε, ἐπειδὴ ἴδιόν ἐστι τῶν ἀνθρώπων ἐπὶ τοῖς μεγάλοις πεποιθέναι καὶ ἰσχυροῖς.

---

1. Ψαλ. 61,10. **2.** Ψαλ. 61,11.

«Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν»

᾿Αλλὰ κἂν ὁρᾶτε ἀπὸ τῆς ἀδικίας σφόδρα πλουτοῦντας καὶ οὕτως εὐκόλως, ὥστε δοκεῖν ῥέοντα ἐπ᾿ αὐτοὺς τὸν πλοῦτον φέρεσθαι, μηδὲ οὕτω ῥέψαι ποτὲ πρὸς αὐτοὺς ἀνάσχησθε καὶ τῆς ἐκείνων γενέσθαι μοίρας. Διὰ τί;

12 «῞Απαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα»

Τό «ἅπαξ» ἀντὶ τοῦ βεβαίως· οὐκ ἀνακαλεῖται, φησί, τὴν φωνήν, οὐ δευτεροῖ τὴν ἀπόφασιν, ἀλλ᾿ ἅπαξ ἀπεφήνατο καὶ γενέσθαι ἀνάγκη, — οὕτως καὶ ἐν τῷ πη´ τό «ἅπαξ **406** ὤμοσα ἐν τῷ ἁγίῳ μου»[1]. Βούλεται δὲ εἰπεῖν ὅτι δεῖ ταῦτα τὰ δύο γενέσθαι —, ἀπεφήνατο ὁ Θεός[2], καί «ἤκουσα», καὶ οἶδα αὐτὸν ἀποφηνάμενον, καὶ ἔσεσθαι πεπίστευκα. Ποῖα οὖν ταῦτα;

13 «῞Οτι τὸ κράτος τοῦ Θεοῦ. Καί σου, Κύριε, τὸ ἔλεος, ὅτι σὺ ἀποδώσεις ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ»

῞Οτι ἐν αὐτῷ τὸ βοηθεῖν καὶ ἐλεεῖν οὓς βούλεται, ἐν αὐτῷ καὶ τὸ τιμωρεῖσθαι τοὺς πταίοντας· ὥστε οὐ δεῖ πτοεῖσθαι ἐπὶ τῇ τούτων ἰσχύϊ ἀδικεῖν προειρημένων, ἐπειδὴ ὁ Θεὸς κατ᾿ οἰκείαν ἐπαγγελίαν ἐλεεῖ τε τοὺς ἀδικουμένους, βοηθῶν αὐτοῖς, καὶ τοῖς ἀδικοῦσι κατὰ τὰς πράξεις ἀποδίδωσι. Ποῦ δὲ τοῦτο εἶπεν ὁ Θεός; Πρὸς τὸν Μωυσέα, ἔνθα φησίν, «ἐγὼ Κύριος ἀποδοὺς ἁμαρτίαν πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεάν, καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσίν με»[3], τοῦτο λέγων ὅτι κἀκείνους τιμωροῦμαι διὰ τὸ ἁμαρτάνειν καὶ τούτοις πολλὴν παρέχω τῶν ἀγαθῶν τὴν ἀπόλαυσιν διὰ τὴν εὐσέβειαν[4].

Ψαλμὸς 62

Τὰ κατὰ τὸν ἐν Βαβυλῶνι λαὸν προαγορεύει, ὡς ἐκ τῶν παρ᾿ αὐτοῖς θαυμαστῶν λέγων τὰ ἐκείνοις ἁρμόζοντα[5].

1. Ψαλ. 88,36. **2.** Πρβλ. Ψαλ. 61,12. **3.** ᾿Εξ. 20,5-6. **4.** Πρβλ. Ψαλ. 61,13. **5.** Πρβλ. Β´ Παρλ. 36,17-21. Α´ ῎Εσδρ. 4,58-63.

2 «Ὁ Θεός, ὁ Θεός μου, πρός σε ὀθρίζω»

Πρός σε διανίσταμαι ὄρθρου[1], εἰς τό σοι τούς τε ὕμνους καὶ τὰς εὐχαριστίας ἀναπέμψαι.

«Ἐδίψησέν σοι ἡ ψυχή μου»

Οὐδὲ γὰρ ὀλίγον τινὰ πόθον ἔχω πρός σε· ἔδειξε δὲ τοῦ πόθου τὴν ἐπίτασιν τῇ τοῦ δίψους παραβολῇ.

2-3 «Ποσαπλῶς σοι ἡ σάρξ μου, ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι»

407 Ἐπειδὴ ἀριθμοῦντες λέγομεν διπλάσιον καὶ τριπλάσιον καὶ πολλαπλάσιον, «ποσαπλῶς» λέγει, — τουτέστιν ἀντὶ τοῦ ποσάκις, ἀναριθμήτως· τὸ δέ «ἡ σάρξ μου» ὁμοίως. Ποσάκις σοι οὖν, φησίν, ἐν ἐρήμοις καὶ ἀβάτοις τόποις γενόμενος οὕτω ὤφθην καὶ παρέστην ὡς ἂν ἐν τῷ ἁγίῳ, ἵνα εἴπῃ ἐν τῷ ναῷ. Βούλεται δὲ εἰπεῖν ὅτι πολλάκις κατ' ἐμαυτὸν εἰς ἐρήμους τόπους γενόμενος, οὕτως σοι παρέστην καὶ ὕμνησά σε ὡσανεὶ ἐν τῷ ναῷ καθεστώς, οὐδὲν τῶν δεόντων διὰ τὴν τῶν τόπων παραλιπὼν διαφοράν.

3 «Τοῦ ἰδεῖν τὴν δύναμιν σου καὶ τὴν δόξαν σου»

Ταῦτα δὲ ἔπραττον ὥστε ἀπολαῦσαί σου τῆς δυνάμεως καὶ τῆς δόξης[2], τουτέστιν ὥστε βοηθῆναι τῇ δυνάμει τῇ σῇ καὶ τυχεῖν τῆς παρά σου δόξης, ἧς πάντας ἀπολαῦσαι ἔδει τῶν κατεχόντων ἀπαλλαγέντα κακῶν.

4 «Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς»

Ἀντὶ τοῦ ὑπὲρ ζωὴν εἶπεν «ὑπὲρ ζωάς»[3], πληθυντικῶς ὑπὲρ πολλὰς ζωάς. Κρεῖττον γάρ, φησί, καὶ τοῦ πολλάκις ζῆσαι ἡ παρά σου φιλανθρωπία· τὸ μὲν γὰρ καὶ διαλύεται πολλάκις, ἡ δὲ μέχρις ἂν ᾖ κἀκεῖνο συγκρατεῖ.

«Τὰ χείλη μου ἐπαινέσουσί σε»

Τοῖς διὰ χειλέων ὕμνοις καὶ ἐπαίνοις τιμήσω.

---

1. Πρβλ. Ψαλ. 62,2. **2.** Πρβλ. Ψαλ. 62,3. **3.** Ψαλ. 62,4.

5 «Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου»

Καὶ διαμενῶ, φησί, διὰ πάσης τῆς ζωῆς οὕτως ὑμνῶν, — ἀντὶ τοῦ ὁμοίως, ὡσαύτως.

«Ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου»

408 Καὶ ἐκτενῶ τὰς χεῖρας ἐπικαλούμενός σε βοηθόν[1].

6 «Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου»

Τὴν εὐπραγίαν καὶ τὸν πλοῦτον πιότητα καὶ στέαρ[2] πολλάκις καλεῖ, ἐπειδὴ αἱ μὲν συμφοραὶ τήκειν οἴδασιν τὸ σῶμα, ἡ δὲ εὐπραγία πιαίνειν μᾶλλον· οὕτω λέγεται «τὸ στέαρ αὐτῶν συνέκλεισαν»[3] ἀντὶ τοῦ τὴν εὐπραγίαν. Τοῦτο οὖν φησιν, ὅτι τοῦτο πράττων τῆς παρά σου εὐπραγίας πληρωθήσομαι, ὥστε εἶναί με τῷ πλήθει τῶν παρά σου ἀγαθῶν στεατώδη καὶ πιμελῆ.

«Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου»

Καὶ ἀπολαύσω τῶν παρά σου ἀγαθῶν, φθέγξομαι διὰ χειλέων λόγους εὐφροσύνης μεστοὺς καὶ ὕμνων γέμοντας τῶν εἴς σε.

7 «Εἰ ἐμνημόνευσόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἴς σε»

«Ἐν τοῖς ὄρθροις»[4], τουτέστι καὶ ἐν τοῖς ὄρθροις. Εἰ γὰρ ποτέ, φησίν, διαναστὰς ἐννύχτιον ἔλαβόν σου μνήμην, ἐπὶ τῆς κοίτης ὢν πάντως μελέτην ἐποιούμην τοὺς εἴς σε ὕμνους ἄχρι τῶν ὄρθρων, ἵνα εἴπῃ· καὶ ἐπὶ τῆς κοίτης σου μνήμην ἐποιούμην καὶ διετέλουν ἄχρι τῶν ὄρθρων ὑμνῶν σε. Σύμμαχος δὲ αὐτὸ σαφέστερον εἶπεν· 'ἀναμιμνησκόμενός σου ἐπὶ τῆς στρωμνῆς, καθ' ἑκάστην φυλακὴν ἐμελέτων'· καθ' ἑκάστην δὲ φυλακὴν λέγει τὴν γ' ὥραν τῆς νυκτὸς καὶ τὴν ς' καὶ τὴν θ' καὶ τελευταῖον, — ταύτας γὰρ ἐκάλουν φυλακάς, δι' ὧν σημαίνει τὸ διηνεκὲς τῶν ὕμνων.

9 «Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου»

Προσεδέθησαν τῷ πόθῳ.

---

1. Πρβλ. Ψαλ. 62,5. **2.** Πρβλ. Ψαλ. 62,6. **3.** Ψαλ. 16,10. **4.** Ψαλ. 62,7.

«Ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου»

Καὶ τῇ βοηθείᾳ τῇ σῇ ὥσπερ δεξιᾷ[1] κατεσχηκὼς ἀνέσπασας τῶν κακῶν, πεσεῖν οὐκ ἐάσας· δεξιὰν γὰρ τὴν βοήθειαν λέγει.

10 «Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου»

409 Καίτοι γε τῶν πολεμίων πᾶσαν σπουδὴν ἀνελεῖν με θεμένων εἰκῇ καὶ ἄνευ αἰτίας τινός· οὐ γὰρ εἶχον ἀφορμὴν τῆς κατ' ἐμοῦ ἔχθρας.

«Εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς»

Διὰ τοῦτο τῷ Ἅδῃ παραδοθήσονται καὶ τῷ θανάτῳ[2].

11 «Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας»

Καὶ ἐν πολέμοις πεσοῦνται τὸν διὰ ξίφους ὑπομείναντες θάνατον· ῥομφαίαν γὰρ καλεῖ τὸ ξίφος[3].

«Μερίδες ἀλωπέκων ἔσονται»

Λέγονται οἱ λέοντες, ἐπειδάν τινος ἐπιλάβωνται ζῴου, ῥοφεῖν τὸ αἷμα καὶ ἁρπακτικῶς ἐσθίειν τὸ προσπεσὸν καὶ μάλιστα τὰ κυριώτερα τῶν μελῶν, τὰ δὲ περιττὰ καταλιμπάνειν καὶ μὴ ἀξιοῦν ὥσπερ τὰ λοιπὰ τῶν θηρίων πάντα ἐπινέμεσθαι, τὰ δὲ αἱ ἀλώπεκες εὑροῦσαι ἐσθίειν λέγονται. Ἐπεὶ τοίνυν ἐσθίουσιν ἐκεῖναι τὰ παρ' ἐκείνων ἤδη ἀναιρεθέντα καὶ καταβρωθέντα, τοῦτό φησιν, ὅτι τιμωρίαι αὐτοὺς διάφοροι διαδέξονται, καὶ ἀπὸ τούτων εἰς ἑτέρους ἐμπεσόντες διαφόρῳ τῇ τιμωρίᾳ περιβληθήσονται.

12 «Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ»

Ὁ μέντοι, φησί, βασιλεὺς[4] ἡμῶν, τῶν ἐχθρῶν ταύτην ὑφισταμένων τὴν τιμωρίαν, εὐφρανθήσεται ἐπί σοι τῷ ταῦτα πράττοντι. Ἐβασίλευσεν δὲ τότε ὁ Ζοροβάβελ, ὃν εἰκὸς ἦν εὐφραίνεσθαι διὰ τῆς κατὰ τῶν ἐχθρῶν τιμωρίας[5].

---

1. Πρβλ. Ψαλ. 62,7. **2.** Πρβλ. Ψαλ. 62,10. **3.** Πρβλ. Ψαλ. 62,11. **4.** Πρβλ. Ψαλ. 62,12. **5.** Πρβλ. Δαν. 5,29. Ἱερ. 25,11-13. Β' Ἔσδρ. κεφ. 1-2.

«Ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ»

Ἐπειδὴ ἕκαστος ὅρκον ποιεῖται ὃ σέβει, τοῦτό φησιν, ὅτι ἐπαινετοὶ καὶ θαυμαστοὶ δειχθήσονται πάντες οἱ σέβοντες αὐτόν, τουτέστι τὸν Θεόν, καὶ καταφρονοῦντες μὲν τῶν εἰδώλων, ὅρκον δὲ αὐτὸν ποιούμενοι.

«Ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα»

410 Πάντων γὰρ τῶν ἐχθρῶν καὶ ὀνειδισάντων ἡμᾶς πολλάκις ὡς οὐδὲν ὠφεληθέντας παρὰ τοῦ Θεοῦ τὴν προσήκουσαν δεδωκότων τιμωρίαν, καὶ ὥσπερ ἐμφραχθέντων αὐτοῖς τῶν στομάτων τῷ μηδὲν ἔχειν εἰπεῖν διὰ τὴν εἰς ἡμᾶς βοήθειαν, ἀνάγκη πᾶσα τὸ θαῦμα ἡμῖν περιγίνεσθαι.

Ψαλμὸς 63

Τοῦ μακαρίου Δαβὶδ ὁ ψαλμὸς δι' ἑαυτὸν λέγοντος ὁπηνίκα ὑπὸ τοῦ Σαοὺλ ἐδιώκετο[1]. Ἔοικε δὲ τῷ ι' ἐν πολλοῖς τῶν ῥητῶν ὥσπερ οὖν καὶ τῇ ὑποθέσει· ἐκεῖ μὲν γάρ φησιν, «Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον τῷ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ»[2]· ἐνταῦθα δέ «Ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρόν»[3].

2 «Εἰσάκουσον, ὁ Θεός, φωνῆς μου ἐν τῷ δέεσθαί με πρός σε»

Εὐχομένου, φησίν, ἄκουσον.

«Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου»

Ἀπάλλαξόν με τοῦ φόβου[4] τῶν ἐναντίων, ἵνα εἴπῃ τῆς ἐπιβουλῆς αὐτῶν καὶ τοῦ θανάτου· ταῦτα γὰρ ἐδεδίει μὴ πάθῃ παρ' αὐτῶν.

---

1. Πρβλ. Α' Βασ. 18,9 ἑξ. **2.** Ψαλ. 10,2. **3.** Ψαλ. 63,4. **4.** Πρβλ. Ψαλ. 63,2.

3 «Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων»

Συνηθῶς κἀνταῦθα ἄνω ἐχθροὺς εἰπὼν ἐνταῦθα πονηρευομένους ἐκάλεσεν, καὶ ἔτι κατωτέρω.

«Ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν»

Δεικνὺς τῆς ἐπιβουλῆς καὶ τῆς ἔχθρας τὸ ἄδικον. Ἐπειδὴ τοίνυν, φησίν, οὗτοι πάσης ὄντες μεστοὶ πονηρίας τῷ οἰκείῳ πλήθει θαῤῥοῦντες συνεστράφησαν κατ' ἐμοῦ, αὐτός με τῇ σῇ βοηθείᾳ «σκέπασον»[1] τουτέστι φύλαξον τῆς ἐπιβουλῆς αὐτῶν· σκέπην γὰρ πανταχοῦ τὴν φυλακὴν λέγει.

4 «Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν»

411 Οἳ καὶ τῇ γλώττῃ κέχρηνται οὐδὲν ἀπ' ἔλαττον οὔσῃ μαχαίρας· παρεσκευασμένοι γάρ εἰσιν εἰς τὸ φθέγγεσθαι κατ' ἐμοῦ πᾶν ὅτι θάνατον καὶ ἐπιβουλὴν ἐργάσασθαι δυνάμενον. Τοῦτο δὲ καλῶς εἶπεν πρὸς τοὺς διαβάλλοντας αὐτὸν καὶ ἐρεθίζοντας κατ' αὐτοῦ τὸν Σαοὺλ[2] καὶ γὰρ αἰτιᾶται αὐτῷ πολλαχοῦ.

«Ἐνέτειναν τόξον αὐτῶν, πρᾶγμα πικρόν»

Ἀντὶ τοῦ, ὥσπερ τόξον· ἐπισημηνάμεθα γὰρ ὅτι πολλαχοῦ τὰς ὁμοιώσεις ἄνευ τοῦ «ὡς» λέγει. Καὶ πράγματα δέ, φησί, πάσης πικρίας μεστὰ παρεσκευάσαντο κατ' ἐμοῦ, ἐπιβουλὰς ἐπινοοῦντες οὕτως ὀξὺν καὶ αἰφνίδιον τὸν θάνατον ἐπαγαγεῖν δυνάμεθα ὥσπερ τόξα ταθέντα.

5 «Τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον»

Ὥστε ἡμᾶς λάθρα ἀνελεῖν οὐδὲν θανάτου πεπραχότας, — τοῦτο γὰρ λέγει «ἄμωμον», — τουτέστι μέμψεως αὐτοῖς ἀφορμὴν οὐ δεδωκότας. Ὅμοιον δέ ἐστι τόν «ἐν ἀποκρύφοις ἄμωμον»[3] τῷ «ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ»[4], ὅπερ ἐν τῷ ι' λέγει ψαλμῷ. Βούλεται γὰρ εἰπεῖν ὅτι ὥσπερ ἐν σκότῳ καὶ οὐδενὸς βλέ-

---

1. Πρβλ. Ψαλ. 63,3. **2.** Πρβλ. Α' Βασ. 23,5-7. 24,10-11. **3.** Ψαλ. 63,5. **4.** Ψαλ. 10,2.

ποντος λαθραίως ἀναιρήσονται, οὕτως ἀδεῶς πάντα μηχανῶνται καθ' ἡμῶν.

«Ἐξάπινα κατατοξεύσουσιν αὐτόν, καὶ οὐ φοβηθήσονται»

Αἰφνιδίως φησὶ πολλάκις, οὐ προσδοκώντων ἡμῶν, τοῖς οἰκείοις δόλοις κεχρημένοι ἐπιτίθενται, οὐδένα φόβον ἔχοντες τῆς σῆς προνοίας. Βούλεται δὲ εἰπεῖν δι' ὅλων ὅτι καὶ θανάτου φθέγγονται μεστά, διαβάλλοντες καὶ ἐρεθίζοντες κατ' ἐμοῦ, καὶ δόλους καὶ ἐπιβουλὰς παρασκευάζοντες καθ' ἡμῶν αἰφνιδίως, καὶ πάντα πράττουσιν ἀνελεῖν ἡμᾶς μηχανώμενοι καὶ φοβούμενοι οὐδένα.

6 «Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν»

412 Συνόντες καὶ συμβουλευόμενοι τὰς κατ' ἐμοῦ γνώμας ἐκύρουν· «λόγον γὰρ πονηρόν»[1] τὴν κατ' αὐτοῦ λέγει γνώμην κακίας γέμουσαν, ἣν ὡς εἰκὸς συνόντες ἐβεβαίουν ὥστε καὶ πρᾶξαι. Τίνες δὲ αἱ γνῶμαι;

«Διηγήσαντο τοῦ κρύψαι παγίδας»

Διελέγοντο καὶ συνεβουλεύοντο, φησί, πρὸς ἀλλήλους, τίνας ἂν ἐφεύροιεν καθ ἡμῶν μηχανάς.

«Εἶπαν, τίς ὄψεται αὐτούς;»

Οὐχ ὡς πάντων εἰρηκότων αὐτῶν ὅτι Πράξωμεν, οὐ γάρ ἐστιν ὁ θεωρῶν, ἀλλ' ὃ πολλάκις ἐπισημηνάμην ἀντὶ πράξεως τὸν λόγον εἰπών, ὅτι οὕτως ἔπραττον οὐχ ὄντος τοῦ θεωροῦντος καὶ κρίνοντος.

7 «Ἐξηρεύνησαν ἀνομίαν»

Διετέλεσαν, φησίν, ἐν τοῖς πρὸς ἀλλήλους λόγοις, διερευνώμενοι καὶ ζητοῦντες τίνα τρόπον εὕροιεν πάντας ἡμᾶς ἀνελεῖν διὰ τούτου. «Ἀνομίαν»[2] δὲ ἐκάλεσε τὸ βούλευμα, ἐπειδὴ ἄδικος ἡ μελέτη.

---

1. Ψαλ. 63,6. 2. Ψαλ. 63,7.

«Ἐξέλιπον ἐξερευνῶντες ἐξερευνήσεις»

«Ἐξερευνῶντες ἐξέλιπον», τουτέστιν ἐπέλιπον αὐτοὺς αἱ καθ' ἡμῶν ἐφευρέσεις· πλεῖστα γὰρ ἐπινοήσαντες καὶ μηδὲν ἰσχύσαντες, οὐκέτι οὐδὲν ὅτι ἐφευρεῖν εἶχον, οὕτως αὐτοῖς καὶ τὰς μηχανὰς ἐπιλιπεῖν συνέβη.

«Προσελεύσεται ἄνθρωπος, καὶ καρδία βαθεῖα»

Ἀλλὰ καὶ πολλάκις προσέρχονται ἡμῖν ἐνσχηματιζόμενοι μὲν δῆθεν φιλίας, οὐ ταῦτα δὲ ἃ σχη**413**ματίζονται φρονοῦντες, ἀλλ' ἐν τῷ βάθει τῆς καρδίας τὴν καθ' ἡμῶν ἔχοντες ἔχθραν. Τοῦτο δὲ μάλιστα ὁ Σαοὺλ πολλαχοῦ φαίνεται πεποιηκώς.

8 «Καὶ ὑψωθήσεται ὁ Θεός»

Ἅμα διὰ τούτων πάντων μέγας ὀφθήσεται ὁ Θεός[1], ὡς καὶ ἐπιβουλευόντων καὶ διαβαλλόντων καὶ ὑποκρινομένων ἀπαλλάττων.

«Βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν»

Οὕτως γάρ, φησί, τὰς μηχανὰς αὐτῶν τὰς καθ' ἡμῶν ἀσθενεῖς ἐργάζεται καὶ οὐδαμινάς, ὡς τὰ τῶν νηπίων ἀσθενῆ καὶ πλήττειν οὐ δυνάμενα βέλη.

9 «Καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν»

Καὶ πάντα ὅσαπερ ἢ ἐφθέγξαντο ἢ εἶπον κατ' ἐμοῦ, ἢ διαβάλλοντες ἢ ὀνειδίζοντες, ἐδείχθη πάντα ἀσθενῆ. Τὸ δέ «ἐπ' αὐτοὺς ἐξησθένησαν»[2]· ἀντὶ τοῦ, Μέχρι αὐτῶν ἔστη οὐδὲν δυνηθέντα, οὐδὲν ἰσχύοντα, οὐδὲν διαπραξάμενον.

«Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς»

Πάντες γοῦν οἱ βλέποντες αὐτοὺς τοσαῦτα μὲν μηχανωμένους, ὠφελοῦντας δὲ οὐδέν, ταραχῇ τὴν διάνοιαν κατεσχέθησαν.

10 «Καὶ ἐφοβήθη πᾶς ἄνθρωπος»

Καὶ φόβῳ πάντες ἐλήφθησαν ἐκπληττόμενοι μεθ' ὅσης τῆς σπουδῆς ἤνυον οὐδέν, τοὐναντίον δὲ καὶ δίκας ἔδοσαν.

---

1. Πρβλ. Ψαλ. 63,8. **2.** Ψαλ. 63,9.

«Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ»

Καὶ πάντες ἀπήγγελον ὅτι σὸν ἔργον τοῦτο, καί σοι τὰ γιγνόμενα ἐπέγραψαν, γνωρίσαντες ὡς οὐκ ἦν ἄλλου οὕτως αὐτοῖς πᾶσαν τὴν σπουδὴν εἰς τὸ μηδὲν περιτρέψαι, τοὐναντίον δὲ καὶ τιμωρήσασθαι.

414 *«Καὶ τὰ ποιήματα αὐτοῦ συνῆκαν»*

Ὅτι τὰ σὰ ποιήματα[1], ἀντὶ τοῦ, Τῇ σῇ ἐγίγνετο δυνάμει τε καὶ σοφίᾳ.

11 «Εὐφρανθήσεται δίκαιος ἐπὶ τῷ Κυρίῳ, καὶ ἐλπιεῖ ἐπ' αὐτόν»

Ἡμῖν δέ, φησίν, ἔσται ἐπί σοι ἡ εὐφροσύνη, ἐφ' ᾧ καὶ ἐλπίζομεν[2], παρ' οὗ καὶ τὴν ἀπαλλαγὴν τῶν κακῶν δεχόμεθα.

«Καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ»

Καὶ θαυμασθησόμεθα παρὰ πάντων οἱ τοῦ δικαίου ἐπιμελώμενοι, ὅτι ἀναγκαίως καὶ ὠφελίμως ἅπαντα πράττοντες τοσούτων ἀγαθῶν καταξιούμεθα.

Ψαλμὸς 64

Τὴν ἐπάνοδον τοῦ λαοῦ[3] προαγορεύων ἐν τῷδε τῷ ψαλμῷ, ἐκ τοῦ ἐκείνων προσώπου ταῦτά φησιν ἅπερ εἰπεῖν αὐτοῖς ἥρμοττεν τῆς ἐπανόδου μέλλουσιν ἀπολαύειν. Ἁπάσας μέντοι τὰς προφητείας ποιούμενος[4], ἐκ τοῦ προσώπου τὰ πλεῖστα ἢ καὶ πάντα σχεδὸν φθέγγεται τοῦ περὶ ὧν ποιεῖται τὴν προφητείαν, οὐχ ἁπλῶς, ἀλλ' ἐκείνους παιδεύων εἴτε ἐπὶ τοῖς ἀγαθοῖς, ὥστε τοιούτοις ῥήμασι κεχρημένους τὴν εὐχαριστίαν ἀποδιδόναι τῷ Θεῷ, εἴτε ἐν ταῖς συμφοραῖς μετὰ τοιούτων λόγων καὶ τὰ πταίσματα ἐξομολογεῖσθαι, καὶ τὰ ἀγαθὰ παρὰ τοῦ διδόντος αἰτεῖν Θεοῦ.

---

1. Πρβλ. Ψαλ. 63,10. **2.** Πρβλ. Ψαλ. 63,11. **3.** Πρβλ. Α' Ἔσδρ. 5,1-45. **4.** Πρβλ. Ἱερ. 25,1-19.

2 «Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών»

Ἑτέρωθι λέγει ἐκ προσώπου τῶν αὐτῶν «Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας;»[1] ἐπειδὴ καὶ ἀφορίσας ἦν ὁ Θεὸς τὸν ἐπὶ τοῦ Σιὼν τόπον εἰς τὴν ἑαυτοῦ θεραπείαν, **415** καὶ προστάξας ἑτέρωθι μήτε θυσίας αὐτῷ προσάγειν, μήτε τὴν λοιπὴν ἐκπληροῦν κατὰ νόμον λατρείαν[2]. Διὰ τοῦτο ἐνταῦθά φησιν ὅτι πρέπον σοι καὶ καθηκόντως ἐκπληρούμενον.

«Καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ»

Καλῶς τό «ἀποδοθήσεται»[3], καὶ διὰ τὴν ἀγνωμοσύνην τοῦ πρὸ τῆς αἰχμαλωσίας καιροῦ καὶ διὰ τὴν ἀνάγκην τῶν ἀλλοτρίων τόπων, ἐν οἷς καθεστῶτες παρέλιπον τὰς προσευχάς. Πάντα οὖν, φησί, κατὰ ταὐτὸν ἀποδίδοται ἐκεῖ μετὰ τὴν ἐπάνοδον.

3 «Εἰσάκουσον προσευχῆς μου»

Οὐκοῦν ὑπὲρ τούτων φησὶν ἀκούσας μου τῆς προσευχῆς[4] ἐπανάγαγέ με.

«Πρός σε πᾶσα σὰρξ ἥξει»

Τότε γὰρ οὐχ ἡμεῖς ἐλευσόμεθα μόνον, ἀλλὰ καὶ τῶν ἀλλοτρίων πολλοὶ ἐκ τοῦ περὶ ἡμᾶς θαύματος εἰς θεραπείαν τὴν σὴν ἐν τῷ τόπῳ παρέσονται.

4 «Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς»

Ἑτέρωθί φησιν, «Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος ἡμέρας καὶ νυκτὸς ἐν τῷ λέγεσθαί μοι καθ' ἑκάστην ἡμέραν, Ποῦ ἐστιν ὁ Θεός σου;»[5]. Οὗτοι οὖν φησιν οἱ λόγοι, οὓς ἐποιοῦντο καθ' ἡμῶν ὀνειδίζοντες, τὴν συμφορὰν εἰς λύπην καθιστῶντες πολλὴν καὶ εἰς ἀπόγνωσιν ἄγοντες, σφόδρα ἡμᾶς ἀσθενῆσαι πεποιήκασιν. Τὸ γάρ «ὑπερεδυνάμωσαν»[6], ἀντὶ τοῦ ἀδυναμῶσαι ἐποίησαν.

---

1. Ψαλ. 136,4. **2.** Πρβλ. Γ' Βασ. 8,29. Β' Παρλ. 7,12. **3.** Ψαλ. 64,2. **4.** Πρβλ. Ψαλ. 64,3. **5.** Πρβλ. Ψαλ. 41,4. **6.** Ψαλ. 64,4.

«Καὶ ταῖς ἀσεβείαις ἡμῶν σὺ ἱλάσῃ»

Ἀλλ' ἐκεῖνοι μὲν τοιαῦτα ἔλεγον, ἡμεῖς δὲ ἅπερ ἐπάσχομεν ὑπὲρ ὧν ἠσεβήσαμεν εἴς σε πολλάκις ἅπαντα **416** ἐπάσχομεν δικαίως. Συγχωρήσας οὖν, φησί, τὰς ἀσεβείας βοηθήσεις καὶ ἐπανάξεις εἰς τὰ οἰκεῖα, μάταια τῶν ὀνειδιζόντων ἀποφαίνων τὰ ῥήματα.

5 «Μακάριος ὃν ἐξελέξω καὶ προσελάβου»

Τότε τοίνυν μακάριοι ἡμεῖς ἐσόμεθα, οὓς ἐκλεξάμενος καὶ ἀφορίσας τῶν κατεχόντων προσλαμβάνεις[1] καὶ πρὸς σεαυτὸν ἕλκεις. Ταῦτα λέγει ὡς τοῦ Θεοῦ κατὰ τὴν ἰουδαϊκὴν ὑπόληψιν ἐν τῷ ὄρει ὄντος τῷ Σιών, κἀκεῖ πρὸς ἑαυτὸν αὐτοὺς ἕλκειν μέλλοντος.

«Κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου»

Ἵνα εἴπῃ ἐν τοῖς προσήκουσί σοι τόποις, ὡς τῷ Θεῷ πάσης ἐκείνης ἰδίως προσηκούσης τῆς γῆς, τῆς τῶν Ἰουδαίων.

5-6 «Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου· ἅγιος ὁ ναός σου»

Ἀπολαύσομεν δέ φησι καὶ τῶν τοῦ οἴκου σου καλῶν, τουτέστι τῆς ἐν αὐτῷ λατρείας, τῶν θυσιῶν καὶ τῶν λοιπῶν, ὅσα ἔθος ἦν αὐτοῖς ἐπιτελεῖν ἐν τῷ ναῷ.

«Θαυμαστὸς ἐν δικαιοσύνῃ»

Οὐ θαυμαστὸν γὰρ ἐὰν ἡμᾶς εὐεργετεῖς, ὅπου γε καὶ πάσης τῆς οἰκουμένης αὐτὸς ἐλπὶς εἶ· κἂν γὰρ ἀγνωμονῶσιν ἐκεῖνοι, ἀλλὰ χρεία αὐτοῖς τῆς παρά σου φιλανθρωπίας καὶ τῶν παρά σου ὑετῶν, ἀφ' ὧν ἀπολαύουσι τῆς τροφῆς.

«Ἐπάκουσον ἡμῶν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς»

Οὐχὶ τούτους μόνον εὐεργετεῖς, ἀλλὰ καὶ τοὺς ἐν θαλάσσῃ πε-

1. Πρβλ. Ψαλ. 64,5.

ρισώζεις πολλάκις ἀπὸ κινδύνων. Βούλεται δὲ εἰπεῖν ὅτι πᾶσιν ἁπάντων αὐτοῖς εἶ τῶν καλῶν αἴτιος[1].

7 «Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ σου»

417 Τό «ἑτοιμάζων»[2] ἑδράζων εἴρηται πολλαχοῦ. Αὐτός, φησί, καί «τὰ ὄρη» τῇ σῇ δυνάμει ἑδραῖα ποιεῖς καὶ ἰσχυρά. Βούλεται δὲ εἰπεῖν ὅτι οὐδὲν οἰκείᾳ φύσει ἰσχυρόν, ἀλλὰ τῇ σῇ δυνάμει γενόμενον.

«Περιεζωσμένος ἐν δυναστείᾳ»

Τὴν ζῶσιν ἐπὶ τοῦ ἑτοίμου καὶ εὐκόλου λαμβάνει, ἐκ μεταφορᾶς τῶν ἀνθρώπων, οἳ περὶ τὰς εὐεργεσίας ἔχοντες τὸ ζώννυσθαι καὶ τὴν ἑτοιμότητα ἐπιδείκνυνται, καὶ τὴν εὐκολίαν τοῦ ἔργου προσκτῶνται. Τοῦτο οὖν, φησίν, ὅτι ἑτοιμοτάτην ἔχεις προσοῦσάν σοι τὴν δύναμιν, καὶ μετὰ πολλῆς δύνῃ τῆς εὐκολίας ποιεῖν ὅσαπερ ἂν θέλῃς ὑπὸ μηδενὸς κωλυόμενος.

8 «Ὁ συνταράσσων τὸ κύτος τῆς θαλάσσης»

Ἐκεῖνο λέγει ὅπερ ἀλλαχοῦ καλεῖ περιβόλαιον αὐτῆς, οἷον τό «Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ»[3] τὴν γὰρ περιβολὴν αὐτῆς φησι καὶ τὴν ἔκτασιν, τουτέστι τὴν οὕτω μεγάλην, ὅτε θέλεις συγκινεῖς.

«Ἤχους κυμάτων αὐτῆς τίς ὑποστήσεται»

Καὶ ἐπειδὰν τῷ σῷ προστάγματι ἡ θάλασσα ταραχὴν ὑπομείνῃ, οὐδὲ ὑποστῆναί τινα δυνατὸν ὑπὸ τοῦ φόβου[4]. Βούλεται δὲ διὰ τούτων εἰπεῖν ὅτι αὐτὸς καὶ χορηγὸς τῶν ἀγαθῶν, αὐτὸς καὶ ἐνισχύων τὰ ἰσχυρά, αὐτὸς καὶ ταράττων τὰ μεγάλα, ἵνα ἀπὸ τοῦ κοινοῦ δείξῃ ὅτι εἰκότως καὶ αὐτῷ ταῦτα παρέξει. Ἐπάγει γοῦν εὐθύς·

9 «Ταραχθήσονται τὰ ἔθνη»

Οὕτω φησὶ καὶ τούτους ταράξεις ὡς τὴν θάλασσαν.

---

1. Πρβλ. Ψαλ. 64,6. **2.** Ψαλ. 64,7. **3.** Ψαλ. 103,6. **4.** Πρβλ. Ψαλ. 64,8.

«Καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου»

418 Καὶ τοσαῦτα περὶ ἡμᾶς καὶ τέρατα ἐργάσῃ, ὥστε πάντας τοὺς κατὰ τὴν οἰκουμένην καὶ ἀπὸ τῆς ἀκοῆς μόνης φρίττειν. Τινὲς δὲ ἀπὸ ἀμαθίας τό «φοβηθήσονται» τῷ ἄνω ἀποδεδώκασιν, ἔστι δὲ λοιπὸν οὐδὲν τὸ μένον· ἕωλον γάρ ἐστι τὸ περιληφθέν, τό «Οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου»[1] οὐδενὸς προσκειμένου.

«Ἐξόδους πρωΐας καὶ ἑσπέρας τέρψεις»

Εἰπὼν τῶν ἐναντίων τὴν ταραχὴν καὶ τὸν φόβον, λέγει καὶ τὴν αὐτῶν εὐφροσύνην. «Ἐξόδους» δέ «πρωΐας» καλεῖ τὴν ἀνατολὴν τοῦ ἡλίου, ὡς τό «Ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ»[2]. Ἀπὸ τοίνυν τῆς ἀνατολῆς τοῦ ἡλίου καὶ μέχρι τῆς δύσεως ἡμεῖς ἐν τῷ τέρπεσθαι καὶ εὐφραίνεσθαι ἐσόμεθα, ἀντὶ τοῦ διηνεκῆ τὰ τῆς εὐφροσύνης ἡμῖν ἔσται.

10 «Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν»

Ἐπίσκεψιν δὲ γῆς καλεῖ τοῦ ὑετοῦ τὴν χορηγίαν· παρέξεις γὰρ ἡμῖν φησι καὶ ὑετοὺς δαψιλεῖς.

«Ἐπλήθυνας τοῦ πλουτίσαι αὐτήν»

Καὶ παρέξεις αὐτῇ πολλὴν καὶ πλουσίαν τῶν καρπῶν τὴν χορηγίαν. Βούλεται δὲ διὰ πάντων εἰπεῖν ὅτι μετὰ τὴν ἐπάνοδον καὶ εὐημερίας πολλῆς ἡμᾶς ἀξιώσεις.

«Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων»

Τὸ ἀκολουθοῦν τοῖς ὑετοῖς εἶπεν· ἀπὸ γὰρ τοῦ πλήθους τῶν ὑετῶν, φησίν, αὔξεται «ὁ ποταμός». Λέγει δὲ τὸν Ἰορδάνην, τοῦ Θεοῦ καλῶν αὐτόν, ὡς ἐν τῇ γῇ τῆς ἐπαγγελίας ὄντα[3].

«Ἡτοίμασας τὴν τροφὴν αὐτῶν, ὅτι οὕτως ἡ ἑτοιμασία σου»

Καὶ τῇ παρά σου προνοίᾳ ἑτοίμην αὐτοῖς παρέξεις τὴν τροφήν,

---

1. Ψαλ. 64,9. **2.** Ψαλ. 18,7. **3.** Πρβλ. Δευτ. 11,30.

ὥστε μηδενὸς **419** ἐνδεῖσθαι. Τὸ δέ «οὕτως ἡ ἑτοιμασία σου»[1], τουτέστιν ἐπειδὴ ἔργον σοι τὰ τοιαῦτα εὐτρεπίζειν καὶ ἑτοιμάζειν τοῖς ἀνθρώποις, ἀφ' ὧν ἁπάντων αὐτοῖς χορηγεῖς τὴν ἀφθονίαν. Ὥσπερ γὰρ τὸ ἑτοιμάζειν τὸ ἑδράζειν λέγει, ἀπὸ τοῦ τὰ παρεσκευασμένα ἕτοιμα εἶναι καὶ βέβαια πρὸς τὴν χρείαν, οὕτω καὶ ἑτοιμασίαν αὐτὴν καλεῖ τὴν παρασκευήν, ὡς ἐνταῦθα, — ἵνα εἴπῃ ὅτι οὐδενὸς ἐνδεηθήσονται. Ἕτοιμα γὰρ αὐτοῖς πάντα καὶ παρασκευασμένα ὡς μηδὲν δεῖν αὐτοῖς φροντίδος· τὸ δὲ τοιοῦτον καὶ βέβαιον, μέχρι γὰρ ἂν ᾖ παρεσκευασμένον βέβαιόν ἐστι πάντως πρὸς τὴν χρείαν.

11 «Τοὺς αὔλακας αὐτῆς μέθυσον»

Ἔδειξεν ὅτι τό «Ἐπεσκέψω» καί «Ἐπλήθυνας» κατὰ ἐναλλαγὴν εἶπεν χρόνου, ἀντὶ τοῦ «ἐπίσκεψαι» καί «πλήθυνον», ἐπεὶ τί χρεία τοῦ «Μέθυσον»[2] εἰ περὶ παρεληλυθότος ἔλεγεν; Λέγει δὲ ὅτι καὶ οἱ αὔλακες τῆς γῆς πληρωθήσονται ὑδάτων· ἀκολουθεῖ γὰρ καὶ τοῦτο τοῖς ὑετοῖς.

«Πλήθυνον τὰ γεννήματα αὐτῆς»

Παρέξεις τὴν τῶν καρπῶν δαψιλίαν.

«Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα»

Ὁ Σύρος τὰς σταγόνας 'δρόσους' λέγει εἰκότως, — τοιαύτη γὰρ ἡ δρόσος σταγόνας ἐκπέμπουσα σποράδην, — σταλαγμοὺς δὲ τῆς γῆς καλεῖ τὴν δρόσον, ἐπειδὴ διὰ τὴν χρείαν τῆς γῆς καὶ τῶν ἐξ αὐτῆς καρπῶν αἱ δρόσοι πέμπονται.

12 «Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου»

Καὶ πάντα τοῦ ἐνιαυτοῦ τὸν κύκλον εὐλογήσας, πληρώσεις πάντων τῶν καρπῶν, δαψιλῶς τὴν ἀνάδοσιν παρεχόμενος· «ἐνιαυτὸν δὲ τῆς αὐτοῦ χρηστότητός»[3] εἶπεν τὸν τῆς εὐθηνίας, ὡς τῇ αὐτοῦ χρηστότητι τὴν εὐετηρίαν δεχόμενον.

---

1. Ψαλ. 64,10. **2.** Ψαλ. 64,11. **3.** Ψαλ. 64,12.

«Καὶ τὰ πεδία σου πλησθήσονται πιότητος»

420 Καὶ ἔσται μὲν εὐθηνοῦντα τὰ πεδία καὶ αἱ ἄρουραι.

13 «Πιανθήσονται τὰ ὡραῖα τῆς ἐρήμου»

«Ὡραῖα τῆς ἐρήμου»[1] λέγει τὰ ὀροπέδια τὰ λεγόμενα. Καὶ ὅσα φησὶν ἐν τῇ ἐρήμῳ καὶ ἐν τοῖς ὄρεσι πεδινώτερα, καὶ ταῦτα εὐκαρπίας πληρωθήσεται.

«Καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται»

Καὶ ταῦτα πολλῆς εὐφροσύνης πληροῦται, τοὺς οἰκείους ἀναδιδόντα καρπούς.

14 «Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων»

Πληροῦται δὴ καὶ τῆς ἐρέας τὰ πρόβατα· ὅσῳ γὰρ νέμεται δαψιλῶς τὴν βοτάνην, τοσούτῳ τῆς ἐρέας ἑτοιμοτάτην ποιεῖται τὴν ἀνάδοσιν.

«Καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον»

Τὰ βαθύτερα τῶν πεδίων· βούλεται δὲ εἰπεῖν ὅτι τὰ πάντα πληροῦται εὐθηνίας.

«Κεκράξονται καὶ γὰρ ὑμνήσουσιν

Τό «κεκράξονται» πρὸς τό «Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων»[2]· τὸ γάρ «αἱ κοιλάδες πληθυνοῦσι σῖτον» διὰ μέσου παρέγκειται ἅτε πρὸς τὰ ἀνωτέρα τὴν ἀκολουθίαν ἔχον. Τὰ τοίνυν πρόβατα καὶ δώσει τὴν ἐρέαν καὶ ἀπὸ τῆς πλησμονῆς τῆς ἐν τῇ νομῇ μυκώμενα ὥσπερ τινὰς ὕμνους τὴν οἰκείαν φωνὴν ἀναπέμψει, δεικνύντα τὴν εὐετηρίαν τὴν σήν· ἴδιον γὰρ τῶν προβάτων τὸ μυκᾶσθαι πλησθέντα τῆς νομῆς.

---

1. Ψαλ. 64,13. 2. Ψαλ. 64,14.

Ψαλμὸς 65

421 Κἀνταῦθα μὲν προαγορεύει τὴν ἐπάνοδον. Οὐκέτι δὲ ὡς ἐκ προσώπου πάντων τὸν ψαλμόν φησιν, ἀλλ' ἐκ μόνων τῶν παρ' αὐτοῖς θαυμαστῶν τε καὶ ἐναρέτων ἀνδρῶν.

1 «Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ»

Ὑμνήσατε τὸν Θεὸν πάντες[1]. Καλῶς δὲ εἶπεν πάντες, ἐπειδὴ πάντας ἐξέπληξε τὰ κατὰ τὴν ἐπάνοδον.

2 «Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ»

Μεθ' ὕμνων αὐτὸν ὀνομάζετε.

«Δότε δόξαν αἰνέσει αὐτοῦ»

Ἡ δὲ εἰς αὐτὸν αἴνεσις ἐχέτω δόξαν[2], τουτέστιν ἐπιδόξως αὐτὸν ὑμνήσατε.

3 «Εἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου»

Τοῦτο πρὸ πάντων ἐν τοῖς ὕμνοις λέγοντες καὶ ὁμολογοῦντες, ὅτι φόβου μεστὰ τὰ παρά σου γεγενημένα[3]. Καὶ τίς τούτου ἡ ἀπόδειξις;

«Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου»

Οὕτω γὰρ τῷ μεγέθει τῶν παρά σου γινομένων περιβλέπτους ἀποφανεῖς τούς σοι προσήκοντας, ὡς πολλοὺς καὶ τῶν ἐναντίων ὑποκρίνεσθαι ψευδομένους τὴν σὴν δουλείαν. Τοῦτο δὲ γέγονεν ὅτε καὶ περιτμηθῆναι πολλοὶ τῶν ἐναντίων **422** ἠνέσχοντο, ὑποκρινόμενοι τὸν ἰουδαϊσμόν. Καὶ τούτου μάρτυς Ἰώσηππος ἐν τῇ ια' τῆς Ἀρχαιολογίας, τὰ κατὰ τὸν Μαρδοχαῖον διηγούμενος καὶ λέγων οὕτως: Οἱ μὲν οὖν ἱππεῖς οἱ τὰς ἐπιστολὰς διακομίζοντες, εὐθὺς ἐξορμήσαντες τὴν προκειμένην ὁδὸν ἤνυον. Ὁ δὲ Μαρδοχαῖος ἀναλαβὼν τὴν βασιλικὴν στολὴν καὶ τὸν στέφανον τὸν χρυσοῦν καὶ τὸν στρεπτὸν περιθέμενος προῆλθεν · ἰδόντες δὲ αὐτὸν οὕτω τετι-

1. Πρβλ. Ψαλ. 65,1. **2.** Πρβλ. Ψαλ. 65,2. **3.** Πρβλ. Ψαλ. 65,3.

μημένον ὑπὸ τοῦ βασιλέως οἱ ἐν Σούσοις ὄντες Ἰουδαῖοι, κοινὴν ὑπέλαβον τὴν εὐπραγίαν. Χαρὰ δὲ καὶ σωτήριον φέγγος, ἐκτιθεμένων τῶν τοῦ βασιλέως γραμμάτων, καὶ τοὺς κατὰ πόλιν τῶν Ἰουδαίων καὶ τοὺς κατὰ χώραν κατέσχεν, ὡς πολλὰ καὶ τῶν ἄλλων ἐθνῶν διὰ τὸν τῶν Ἰουδαίων φόβον περιτεμνόμενα τὴν αἰδῶ, τὸ ἀκίνδυνον αὐτοῖς ἐκ τούτου πραγματεύσασθαι'.

4 «Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι»

Ἀπέδωκε τὸ πᾶν τῷ «Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ»[1]. Δίκαιον τοίνυν, φησί, διὰ ταῦτα πάντας σοι κατὰ πόλιν καὶ προσκυνεῖν καὶ ψάλλειν[2].

«Ψαλάτωσαν τῷ ὀνόματί σου, Ὕψιστε»

Ὑμνήσατε, ὡς ὑψηλοῦ μὲν μνημονεύοντες.

5 «Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ»

Ἥκετε δὴ πάντες, θεώμενοι τοῦ Θεοῦ τὰς οἰκονομίας[3].

«Φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων»

Καὶ γνώτωσαν ὅπως τὰ τοῦ Θεοῦ ἐνθυμήματα φοβερώτερα πάσης ἐστὶν ἀνθρωπίνης ἐννοίας.

6 «Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν»

Καὶ τούτου ἀπόδειξις καὶ τὰ ἤδη γενόμενα, ὅπως «τὴν θάλασσαν» μετέβαλεν «εἰς ξηράν»[4]. Σύμμαχος οὕτως λέγει· 'μετέβαλεν θάλασσαν εἰς ξηράν'.

«Ἐν ποταμῷ διελεύσονται ποδί»

423 Σύμμαχος· 'διέβησαν ποδί'. Ἐκείνων γὰρ μέμνηται τῶν τότε γενομένων, ὁπηνίκα ἐξήγαγεν αὐτοὺς ἐκ γῆς Αἰγύπτου[5].

«Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ»

Πολλὴν γοῦν τότε καὶ τὴν εὐφροσύνην ἐσχήκαμεν διὰ θαυμάτων οὕτω μεγάλων, παραδόξως τῶν ἐχθρῶν κρατοῦντες.

---

1. Ψαλ. 65,1. **2.** Πρβλ. Ψαλ. 65,4. **3.** Πρβλ. Ψαλ. 65,5. **4.** Ψαλ. 65,6. **5.** Πρβλ. Ἐξ. 14,21-31. 15,19.

7 «Τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ αὐτοῦ τοῦ αἰῶνος»

Ηὔφρανεν γὰρ ἡμᾶς ταῖς οἰκείαις εὐεργεσίαις ὁ τοῦ παντὸς αἰῶνος Δεσπότης.

«Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν»

Πᾶσι προσέχει καὶ πάντα ἐξετάζει τὰ γιγνόμενα.

«Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν ἑαυτοῖς»

Ὥστε οἱ τὰ ἄτοπα πράττοντες καὶ παροργίζοντες τὸν Θεὸν μὴ μεγαλοφρονεῖτε[1], ὄντος τοῦ ἐφορῶντός τε καὶ ἐξετάζοντος· δώσεται γὰρ δίκας ὑπὲρ ὧν πλημμελεῖτε.

8 «Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν»

Πάντες δὴ κατὰ ταὐτὸν γενόμενοι, μᾶλλον αὐτὸν ἐπαινεῖτε καὶ θαυμάζετε.

«Καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ»

«Ἀκουτίσατε»[2], ἀντὶ τοῦ ἀκουστὴν ποιήσατε, καὶ τὰς φωνάς, φησί, τῶν ὑμνούντων εἰς αὐτὸν ἀκουστὰς ποιεῖτε· ἀκόλουθον γὰρ ἦν αὐτοὺς ὑμνοῦντας καὶ ἀκούεσθαι.

9 «Τοῦ θεμένου τὴν ψυχήν μου εἰς ζωήν»

Ὁρᾶτε γὰρ οἷα τὰ γινόμενα, ὅτι θαύματος ἄξια καὶ ἐπαίνου, ὅπως ἀπήλλαξέν με κινδύνων καὶ θανάτων[3].

«Καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου»

424 Οὐκ ἔασέν με περιτραπῆναι ὑπὸ τῶν ἐπιβουλευόντων. Τίνος δὲ ἕνεκεν καὶ παθεῖν ἡμᾶς συνεχώρησεν;

10 «Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεός»

Ἵνα ταῖς θλίψεσι δοκίμους ποιήσῃ.

«Ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον»

Ἐπειδὴ τῷ πυρὶ καὶ τῇ χωνείᾳ καθαίρεται τὸ χρυσίον[4], ὡς πυρί, φησί, ταῖς θλίψεσιν ἀφελὼν ἡμῶν τὰ κακὰ δοκίμους εἰργάσω.

---

1. Πρβλ. Ψαλ. 65,7. **2.** Ψαλ. 65,8. **3.** Πρβλ. Ψαλ. 65,9. **4.** Πρβλ. Ψαλ. 65,10.

11 «Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα»

Διὰ τοῦτο πεῖραν λαβεῖν τῶν κακῶν πεποίηκας· «παγίδα»[1] δὲ καλεῖ τὰς συμφορὰς τῆς αἰχμαλωσίας, ὡς θάνατον ἐπαγούσας.

«Ἔθου θλίψεις ἐπὶ τὸν νῶτον ἡμῶν»

Συντριβῆναι ταῖς θλίψεσι συνεχώρησας, ἐκ μεταφορᾶς τῶν πιπτόντων τὸν νῶτον καὶ συντριβόντων.

12 «Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν»

Μονονουχὶ πεποίηκας αὐτοὺς ἐπιβῆναι ταῖς κεφαλαῖς ἡμῶν[2].

«Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος»

Διὰ πολλῶν καὶ διαφόρων κακῶν ἀναλίσκειν καὶ συμπνίγειν δυναμένων.

«Καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν»

Ἀλλὰ διὰ πάντων ἐκείνων τῶν κακῶν ἐξέβαλες, οὐδὲν παθεῖν ἐάσας μέχρις ὅτε πάλιν ἡμᾶς εἰς ἄνεσιν κατέστησας.

13-14 «Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν, ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλεν τὰ χείλη μου καὶ ἐλάλησεν τὸ στόμα μου ἐν τῇ θλίψει μου»

425 Λοιπόν, φησί, μετὰ τὴν ἐπάνοδον τὰς συνήθεις θυσίας πάσας σοι ἀποδώσω[3], ὅσας ὥρισα καὶ ἐπηγγειλάμην ἀποδώσειν τῷ καιρῷ τῆς αἰχμαλωσίας· τὸ γάρ «διέστειλεν»[4], ἀντὶ τοῦ ὥρισεν λέγει. Ποῖα δὲ ταῦτα;

15 «Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι μετὰ θυμιάματος καὶ κριῶν, ποιήσω σοι βόας μετὰ χιμάρων»

Τουτέστιν ἁπάσας τὰς συνήθεις θυσίας ἀποδίδωμι, συμπλέξας καὶ θυμιάμα. Τὸ δέ «μεμυαλωμένα»[5], ἀντὶ τοῦ πιμελώδη καὶ δόκιμα.

---

1. Ψαλ. 65,11. **2.** Πρβλ. Ψαλ. 65,12. **3.** Πρβλ. Ψαλ. 65,13. **4.** Ψαλ. 65,14. **5.** Ψαλ. 65,15.

16 «Δεῦτε ἀκούσατε καὶ διηγήσομαι, πάντες οἱ φοβούμενοι τὸν Θεόν, ὅσα ἐποίησεν τῇ ψυχῇ μου»

Ἐρῶ ὑμῖν ὅσων ἀπήλαυσα[1].

17 «Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου»

Αἰτήσεις αὐτῷ προσήγαγον καὶ ηὐξάμην[2] ἀπολυθῆναι.

18 «Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω Κύριος»

Ἀκύλας· ʽἀνωφελὲς ἰδὼν ἐν καρδίᾳ μου, οὐκ εἰσακούσεται Κύριος᾽. Βούλεται δὲ εἰπεῖν ὅτι τὰς αἰτήσεις τῷ Θεῷ προσάγων, ἐπεμελούμην τοῦ πρέποντος, εἰδὼς ὡς οὐδέν μοι τῆς αἰτήσεως ὄφελος μὴ ποιοῦντι τὰ δέοντα[3].

19 «Διὰ τοῦτο εἰσήκουσέν μου ὁ Θεός, προσέσχε τῇ φωνῇ τῆς δεήσεώς μου»

Ἐπειδὴ τοίνυν ἐπεμελούμην τῶν δεόντων, εἰκότως καὶ τὴν αἴτησιν δεξάμενος[4], ἀπήλλαξέ με τῶν κατεχόντων κακῶν.

20 «Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησεν τὴν προσευχήν μου καὶ τὸ ἔλεος αὐτοῦ ἀπ᾽ ἐμοῦ»

426 Ἀκόλουθος τῷ εἰσακουσθέντι ἡ φωνή[5]. Βούλεται γὰρ εἰπεῖν ὅτι καὶ τυχὼν ἀναπέμψω αὐτῷ τὴν εὐχαριστίαν ὑπὲρ ὧν ἂν εὐεργετήσειέ τε καὶ φιλανθρωπεύσαιτο, οὐκ αἰτῶν μὲν ἐν ταῖς συμφοραῖς, ἀγνωμονῶν δὲ μετὰ τὸ λαβεῖν.

Ψαλμὸς 66

Νόμος ἦν παρὰ τοῦ Θεοῦ δεδομένος τοῖς ἱερεῦσιν, ὥστε εὐλογεῖν τὸν Ἰσραήλ. Ταύταις δὲ ταῖς φωναῖς ἐν τοῖς Ἀριθμοῖς ἡ θεία Γραφὴ κέχρηται λέγουσα οὕτως· «Καὶ ἐλάλησεν Κύριος πρὸς

---

1. Πρβλ. Ψαλ. 65,16. **2.** Πρβλ. Ψαλ. 65,17. **3.** Πρβλ. Ψαλ. 65,18. **4.** Πρβλ. Ψαλ. 65,19. **5.** Πρβλ. Ψαλ. 65,20.

Μωυσῆν λέγων, Λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων, Οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ἰσραὴλ λέγοντες αὐτοῖς, καὶ ἐπιθήσουσιν τὸ ὄνομά μου ἐπ' αὐτοὺς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐγὼ Κύριος εὐλογήσω αὐτούς, «Εὐλογῆσαι σε Κύριος καὶ φυλάξαι σε, ἐπιφάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπί σε καὶ ἐλεῆσαι σε, ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπί σε καὶ δώη σοι εἰρήνην»[1]. Τὴν οὖν ἐπάνοδον τοῦ λαοῦ καὶ ἐν τούτῳ προαγορεύων τῷ ψαλμῷ ὁ μακάριος Δαβίδ, ταῦτά φησιν οἷς συμπέπλεκται τὰ τῆς εὐλογίας παρὰ τῶν ἱερέων εἰς τὸν λαὸν γιγνομένης κατὰ πρόσταγμα τοῦ Θεοῦ, ὡς τότε ἁρμοζούσης τῆς εὐλογίας ταύτης λέγεσθαι παρὰ τῶν ἱερέων, ὅτε ἐν τοῖς οἰκείοις ὄντες εἶχον τοῦ λέγειν, ὁμοῦ καὶ τῶν πραγμάτων ἀληθευόντων.

2 «Ὁ Θεὸς οἰκτιρῆσαι ἡμᾶς καὶ εὐλογῆσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς»

«Ἐλεῆσαι»[2], τῆς οἰκείας εὐλογίας πληρῶσαι.

3 «Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου»

427 Τοῦ ποιῆσαι γνῶναι, ἀντὶ τοῦ ὥστε πᾶσιν ἀνθρώποις καταφανῆ γενέσθαι τὴν εὐεργεσίαν σου καὶ τὴν φιλανθρωπίαν τὴν εἰς ἡμᾶς· «ὁδόν»[3] γὰρ αὐτοῦ τὴν πρᾶξιν λέγει τὴν εἰς αὐτούς, καί «σωτήριον» τὰ θαύματα.

«Ἐν πᾶσι ἔθνεσιν τὸ σωτήριόν σου»

Καὶ ὥστε πᾶσι τὴν εἰς ἡμᾶς σου σωτηρίαν σαφῆ γενέσθαι.

4 «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες»

Δίκαιον δὲ ἐπὶ τούτοις πάντας εὐχαριστεῖν σοι[4] κατὰ ταὐτό.

5 «Εὐφρανθήτωσαν καὶ ἀγαλλιάσθωσαν ἔθνη»

«Ἔθνη»[5] ἐνταῦθα τοὺς Ἰουδαίους λέγει.

---

1. Ἀριθ. 6,22-26. 2. Ψαλ. 66,2. 3. Ψαλ. 66,3. 4. Πρβλ. Ψαλ. 66,4. 5. Ψαλ. 66,5.

«Ὅτι κρινεῖς λαοὺς ἐν εὐθύτητι καὶ ἔθνη ἐν τῇ γῇ ὁδηγήσεις»

Πάλιν «ἔθνη» τοὺς αὐτοὺς λέγει. Δίκαιον αὐτούς φησιν εὐφραίνεσθαι, ἐπείπερ μετὰ πάσης ὀρθότητος δικάσας αὐτοῖς ἀδικουμένοις. Ἐπανάγεις τε αὐτοὺς καὶ ἄγεις εἰς τὴν οἰκείαν γῆν, ὥσπερ ὁδηγὸς αὐτοῖς γιγνόμενος διὰ τὸ ἐπανάγειν τῇ οἰκείᾳ δυνάμει.

6 «Ἐξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες»

Ἐπανέλαβεν τὰ αὐτά· καὶ γάρ ἐστιν ὅλος ὁ ψαλμὸς εὐλογίας καὶ εὐχαριστίας περιεκτικός.

7 «Γῆ ἔδωκεν τὸν καρπὸν αὐτῆς»

Ἀπολαύσομεν, φησί, καὶ τῶν ἐκ τῆς γῆς καρπῶν[1], τὸ αὐτὸ λέγων ἐν τῷ ξδʹ ὅτι εὐετηρίαν ἡμῖν χαριεῖται.

7-8 «Εὐλογῆσαι ἡμᾶς ὁ Θεὸς ὁ Θεὸς ἡμῶν. Εὐλογῆσαι ἡμᾶς ὁ Θεός»

428 Ἐπανέλαβεν καὶ τὴν εὐλογίαν.

8 «Καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς»

Διὰ τὸ μέγεθος τῶν γεγονότων.

Ψαλμὸς 67

Ἐπὶ Ἠλὶ τοῦ ἱερέως ἐπιστρατεύσαντες οἱ ἀλλόφυλοι πολλοὺς μὲν ἀπέκτειναν τῶν Ἰσραηλιτῶν, καὶ τὴν κιβωτὸν λαβόντες ἀπῆλθον, καὶ ὥσπερ τι λάφυρον εἰσάγοντες ἔθηκαν ἐν τῷ ναῷ τοῦ θεραπευομένου παρ' αὐτοῖς εἰδώλου[2]. Ὡς δὲ πληγαῖς περιέβαλεν ἅπαντας, τὴν οἰκείαν αὐτοῦ δύναμιν ἐπιδεικνύμενος ὁ Θεός, ἀπέπεμψαν μὲν οἱ ἀλλόφυλοι τὴν κιβωτόν[3]. Δεξάμενοι δὲ οἱ Ἰσ-

1. Πρβλ. Ψαλ. 66,7. 2. Πρβλ. Αʹ Βασ. 6,10-18. 3. Πρβλ. Αʹ Βασ. 4,1-18.

ραηλῖται ταύτην, τὸ μὲν πρότερον εἰς τὸν οἶκον ἀπέθεντο τοῦ Ἀμιναδάβ[1]· μετὰ δὲ ταῦτα ὁ μακάριος Δαβὶδ ἐβουλήθη πρὸς ἑαυτὸν αὐτὴν ἀναγαγεῖν, καὶ συναγαγὼν τοῦ Ἰσραὴλ ἅπαν τὸ πλῆθος μετὰ πολλῆς τιμῆς καὶ τῆς δόξης ἀναγαγεῖν αὐτὴν ἐπειρᾶτο[2]. Ὡς δὲ συνέβη τοὺς τοῦ Ἀμιναδὰβ υἱοὺς ὑπὸ προπετείας πληγῆναι ὑπὸ τοῦ Θεοῦ[3], δείσας ὁ Δαβὶδ εἰσήγαγεν αὐτὴν εἰς τὸν τοῦ Ἀβεδδαρᾶ οἶκον[4]. Καὶ μαθὼν πολλῆς εὐλογίας τετυχηκότα διὰ τὴν τῆς κιβωτοῦ παρουσίαν τὸν τοῦ Ἀβεδδαρᾶ οἶκον[5], πάλιν ἀπελθὼν μετὰ παντὸς τοῦ πλήθους ἐκόμισεν αὐτὴν πρὸς ἑαυτόν, φαιδρὰν τὴν πανήγυριν ἐπὶ τῇ ἀνόδῳ τῆς κιβωτοῦ ποιησάμενος, θύματά τε κατασφάξας πολλά, καὶ αὐτὸς ἔμπροσθεν σκιρτῶν τε καὶ ἁλλόμενος ὑπὸ τῆς **429** εὐφροσύνης, καὶ δὴ καὶ ὀργάνοις κεχρημένος τοῖς συνήθεσι, μεθ' ὧν καὶ ᾠδὰς ἀπεφθέγγετο[6].

Ταύτην δὲ τὴν κιβωτὸν τοῦ μακαρίου Μωυσέως κατασκευάσαντος προστάγματι τοῦ Θεοῦ[7], εἶχον ἐν τῇ ἐρήμῳ οἱ Ἰσραηλῖται· καὶ ἦν αὐτοῖς ἅπαντα ἡ κιβωτὸς σύμβολον τοῦ ὅπου καταμεῖναι προσήκει καὶ τοῦ πότε μετελθεῖν ἀπὸ τοῦ τόπου ἔδει[8]. Κινουμένης μὲν γὰρ τῆς κιβωτοῦ ἐκινοῦντο, ἱσταμένης δὲ ἵσταντο. Ἦν δὲ αὐτοῖς καὶ ὥσπερ στρατηγοῦσα τοὺς πολέμους· αὕτη γὰρ παρέσχεν αὐτοῖς καὶ τὴν εἴσοδον τὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Ὅτε μὲν γὰρ ἔδει τὸν Ἰορδάνην διελθεῖν, τῶν φερόντων αὐτὴν ἱερέων ἀψαμένων τοῦ ὕδατος, διῃρέθη τοῦ ποταμοῦ τὸ ῥεῦμα, οὕτω τε διῆλθον ἅπαντες[9]. Πολεμούντων δὲ τὴν Ἱεριχὼ περιῆγον αὐτὴν ἔξωθεν κύκλῳ, καὶ οὕτως ἡ τῶν τειχῶν κατάπτωσις ἐγίνετο[10]. Ἐπεὶ τοίνυν τότε ἡ κιβωτὸς τόπον ἐκ τόπου μεθίστατο, ἐδόκει δέ τι καὶ παρόμοιον γίγνεσθαι ἐπὶ τοῦ μακαρίου Δαβίδ. Τῆς κιβωτοῦ πρότερον μὲν ἀπὸ τῶν ἀλλοφύλων εἰς τὸν τοῦ Ἀμιναδὰβ μετελθούσης οἶκον[11], ὕστερον δὲ παρὰ τῷ Ἀβεδδαρᾶ[12] γενομένης, μεταγομένης τε πάλιν ἐκεῖθεν πρὸς τὸν Δαβίδ[13], ὡς ἀπὸ τῆς τοῦ πρά-

---

1. Πρβλ. Α' Βασ. 7,1. **2.** Πρβλ. Β' Βασ. 6,1-5. **3.** Πρβλ. Β' Βασ. 6,6-8. **4.** Πρβλ. Β' Βασ. 6,10-11. **5.** Πρβλ. Β' Βασ. 6,12. **6.** Πρβλ. Β' Βασ. 6,13-19. **7.** Πρβλ. Ἐξ. 25,10 ἑξ. **8.** Πρβλ. Ἀριθ. 10,33. **9.** Πρβλ. Ἰησ. Ν. 3,14-17. **10.** Πρβλ. Ἰησ. Ν. 6,1-16. **11.** Πρβλ. Α' Βασ. 7,1. **12.** Πρβλ. Β' Βασ. 6,10-11. **13.** Πρβλ. Β' Βασ. 6,1-5.

γματος ὁμοιότητος τὸ τοῦ μακαρίου Μωυσέως καὶ Ἰησοῦ πρόσωπον ἀναλαβών, εἴτε καὶ τῶν τότε ἁπάντων, ἐκεῖνα, φησίν, ἅπερ ἂν ἥρμοσεν εἰπεῖν ἐκείνοις κατ' ἐκεῖνον τὸν καιρὸν διηγουμένοις τὰ κατὰ τὴν ἔρημον, τὴν εἴσοδον τὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, τῶν κατ' ἐκεῖνο καιροῦ θαυμάτων τὸ μέγεθος, ὧν τὴν αἰτίαν ἐπιγράφων τῇ κιβωτῷ ὡς ἐπ' αὐτῆς ὄντος τοῦ Θεοῦ, καὶ δι' αὐτῆς πράττοντος ὅσα καὶ βούλεται. Ὅθεν καὶ προοίμιον ποιεῖται τῷ ψαλμῷ τοῦτο, ᾧπερ ἐκέχρητο ὁ μακάριος Μωυσῆς κινουμένης τῆς κιβωτοῦ εἰς τὸ μεταστῆναι ἅπαντας. Τίνα δὲ ἅπερ ἐφθέγγετο ἐξ αὐτῆς μανθάνομεν τῆς θείας Γραφῆς· «Καὶ ἐγένετο ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν καὶ εἶπεν Μωυσῆς Ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν ἅπαντες οἱ μισοῦντές σε»[1]. Τοῦτο δὴ καὶ ὁ μακάριος Δαβίδ, ὥσπερ κινουμένης τότε τῆς κιβωτοῦ εἰς μετάστασιν κατὰ τὴν ἐπὶ τῆς ἐρήμου ὁμοιότητα, ποιεῖται προοίμιον ἀπὸ τῶν τοῦ μακαρίου Μωυσέως φωνῶν ἀρχόμενος, καὶ ὡς ἐκ τοῦ ἐκείνων προσώπου διηγούμενος τὰ τότε θαύματα εἰς ἔκπληξιν τῆς τοῦ Θεοῦ δυνάμεως. Τοῦτο δὲ καὶ παρὰ τοῖς ἐκτὸς ἄχρι τῆς δεῦρο γίνεται τὸ ἐκ προσώπου τινῶν πρὸ πολλοῦ γεγενημένων τοῦ χρόνου λέγειν ἅπερ ἂν ἐκείνοις εἰπεῖν ἥρμοττεν, ἃ καὶ ἠθοποιΐαν ἔθος αὐτοῖς καλεῖν.

2 «Ἀναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ»

430 Εἴρηται καὶ ἑτέρωθι ὅτι ἀνάστασιν Θεοῦ[2] καλεῖ τὴν ἐπὶ βοηθείᾳ τῶν οἰκείων καὶ τιμωρίᾳ τῶν ἐναντίων κίνησιν, ἐκ τοῦ παρ' ἡμῖν ἔθους, καθὰ τοιοῦτό τι πράττειν βουλόμενοι, καθεζόμενοι πρότερον καὶ ἀναπαυόμενοι διανιστάμεθα πρὸς τὸ ἔργον. Ἔδειξε δὲ αὐτὸ τῷ σχηματισμῷ φοβερώτερον· καὶ γὰρ ὅλος οὕτως σύγκειται ὁ ψαλμὸς προσωποποιΐας γέμων καὶ σχηματισμῶν, καὶ ὅλως πρέπων τῇ ὑποθέσει καὶ τῇ τοῦ μακαρίου διαθέσει Δαβίδ, μεθ' ἧς τότε ὀρχούμενος πρὸ τῆς κιβωτοῦ καὶ ὥσπερ μεθύων τῇ τοῦ Πνεύματος χάριτι μείζονα ἢ κατὰ τὸν οἰκεῖον ἐφθέγγετο λογισμόν. Ὡς γὰρ ἐπὶ φοβεροῦ στρατηγοῦ καὶ ἄγαν ἰσχυροῦ,

---

1. Ἀριθ. 10,34. **2.** Πρβλ. Ψαλ. 7,7. 9,20.

ἐὰν ἀναστῇ, φησίν, ἅπαντας διασκορπίζει τοὺς ἐχθρούς, οὕτως ἀρκεῖ καὶ διαναστὰς μόνον ἅπαντας καταπλῆξαι[1].

«Καὶ φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ»

Οὐδὲ γὰρ ἰδεῖν αὐτὸν ἀνέξονται, ἀλλὰ μόνον ὀφθεὶς εἰς φυγὴν ἅπαντας τρέπει τῷ φόβῳ.

3 «Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν»

Οὕτω γὰρ αὐτοὺς τιμωρήσει ὥστε ἀφανισθῆναι πάντας δίκην καπνοῦ, ὃς διαλύεσθαι πέφυκεν εἰς τὸ μηκέτι εἶναι περιιστάμενος.

«Ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ»

Ταῖς παραβολαῖς ἐμφαντικωτέραν τῶν ἐναντίων τὴν ἀπώλειαν ἐργάσασθαι βουλόμενος, ἐμνημόνευσε καὶ καπνοῦ καὶ **431** κηροῦ· αὕτη γὰρ ἡ κηροῦ φύσις πυρὶ πλησιάζοντος τήκεσθαι καὶ ἀπόλλυσθαι. Οὕτως οὖν ἅπαντας αὐτοὺς ἀναλώσεις ὥσπερ τὸ πῦρ τὸν κηρόν[2].

4 «Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν»

Ἡμῖν μέντοι τοῖς τὴν σὴν γνῶσιν κεκτημένοις εὐφροσύνη πάντως ἐκ τῆς ἐκείνων περιέσται τιμωρίας.

«Ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήτωσαν ἐν εὐφροσύνῃ»

Ἐξέσται μέντοι, φησί, καὶ ὑμῖν τοῖς ἐκτὸς βουλομένοις μετασχεῖν τῆς εὐφροσύνης ἐὰν μὴ τὴν ἡμετέραν εὐπραγίαν βαρέως φέρητε, ἀλλ' ὑπαντᾶν αὐτῷ σπουδάσητε ἐφηδόμενοι τοῖς κατορθώμασιν· τὸ γάρ «ἐνώπιον»[3] αὐτοῦ τοῦτο λέγει, ἀντὶ τοῦ ἀπαντήσατε αὐτῷ μετὰ χαρᾶς.

5 «Ἄσατε τῷ Θεῷ, ψάλατε τῷ ὀνόματι αὐτοῦ»

Καὶ μᾶλλον ἐκπλαγέντες αὐτοῦ τὸ μέγεθος καὶ τῶν κατορθωμάτων τὴν ἰσχύν, ὕμνοις χρήσασθε καὶ ψαλμοῖς τοῖς εἰς αὐτόν.

---

1. Πρβλ. Ψαλ. 67,2. **2.** Πρβλ. Ψαλ. 67,3. **3.** Ψαλ. 67,4.

Τοῦτο δὲ εἰκότως, ἐπεὶ καὶ ὁ μακάριος Μωυσῆς ὁπηνίκα ἐποιεῖτο τὴν εἴσοδον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἔδει δὲ διὰ τῶν ἐν μέσῳ ἐθνῶν παριέναι τὸν λαόν, ἀπέστειλε καὶ πρὸς τὸν Ἐδὼμ βασιλέα καὶ πρὸς τὸν Ἀμοῤῥαῖον· οὕτω δὲ καὶ καθεξῆς ἐποίει ἀξιῶν τὴν πάροδον αὐτοῖς συγχωρηθῆναι ἀκωλύτως, οἳ δὲ οὐκ ἐπέτρεπον. Ἐντεῦθέν τε αὐτοῖς τοῦ πολέμου συγκροτουμένου, συνέβαινε μὲν κρατεῖν τὸν Ἰσραὴλ τῇ τοῦ Θεοῦ ῥοπῇ, τιμωρίαν δὲ ἀξίαν ἐκείνους διδόναι οὐκ ἐπιτρέποντας αὐτοὺς διελθεῖν[1]. Τοῦτο οὖν ὡς πρὸς ἐκείνους καλῶς φησιν ὅτι κοινωνήσατε καὶ ὑμεῖς ἡμῖν μᾶλλον τῆς εὐφροσύνης καὶ προϋπαντήσατε τῷ Θεῷ, ἑτοίμως ὑπακούοντες οἷς βούλεται. Οὐδὲ γὰρ μεγάλα αἰτεῖ, ἀλλὰ ποῖα ταῦτα;

«Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν, Κύριος ὄνομα αὐτῷ»

Καλῶς, τό «Ὁδοποιήσατε», πάροδον γὰρ ἐζήτει μόνον· ἐκ μεταφορᾶς οὖν τῶν εὐτρεπιζόντων τὰς ὁδοὺς ἐν ταῖς τῶν βασιλέων παρόδοις, μὴ ἀντιπέσητε, φησί, μὴ κωλύσατε, ἀλλὰ μᾶλλον καὶ συνεργήσατε πρὸς τὴν πάροδον. Τὸ δέ «τῷ **432** ἐπιβεβηκότι ἐπὶ δυσμῶν»[2] ὡς ἐπὶ βασιλέως ἐφ' ἅρματος ὀχουμένου καὶ οὕτως κατὰ τῶν πολεμίων ἐλαύνοντος· τὸ μέντοι «δυσμῶν» ὡς πρὸς τὴν θέσιν εἶπεν τῶν τόπων, ἐπειδὴ γὰρ οὐκ εὐθεῖαν ἀπὸ τῆς Αἰγύπτου ἐπὶ τὴν Παλαιστίνην ἦλθον, ἀλλὰ κυκλεύσαντες τὴν ἔρημον[3], οὕτω τοῦ Θεοῦ ἐντειλαμένου, ἡ οὖν διὰ τῶν ἐθνῶν ἐκείνων ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας εἴσοδος ὡς πρὸς δυσμὰς βλέπειν ποιεῖ τοὺς οὕτως ὁδεύοντας.

«Καὶ ἀγαλλιᾶσθε ἐνώπιον αὐτοῦ»

Τὸ αὐτὸ πάλιν λέγει, καὶ μᾶλλον οὕτω μετὰ χαρᾶς ὑπαντήσατε. Εἶτα, ἐπειδὴ οὐκ ἠνέσχοντο, διὰ τῶν ἐπαγομένων φοβεῖ.

6 «Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ»

Ἐπειδὴ συμπρᾶξαι αὐτῷ καὶ μετασχεῖν τῆς χαρᾶς οὐκ ἠβουλήθησαν, μόνον αὐτοῖς φανεὶς μετὰ ὀργῆς ἅπαντας ταράξει.

---

1. Πρβλ. Ἀριθ. 21,21 ἑξ. **2.** Ψαλ. 67,5. **3.** Πρβλ. Ἐξ. 19,16 ἑξ.

«Τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν»

Προστάτης γάρ ἐστι τῶν ἀσθενῶν καὶ τῶν τὴν ἀνθρωπίνην οὐκ ἐχόντων βοήθειαν[1], οἷον ἡμεῖς. Τίς δὲ οὗτος καὶ οἷος;

«Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ»

Μέγας φησὶν ὁ Θεὸς καὶ φοβερὸς καὶ ὀφθεὶς ἡμῖν ἐν τῷ ἰδίῳ αὐτοῦ τόπῳ τῷ ἁγίῳ, — βούλεται δὲ εἰπεῖν ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ, — ὅπερ λέγει σαφέστερον ἑξῆς «Κύριος ἐν αὐτοῖς ἐν Σινᾷ, ἐν τῷ ἁγίῳ»[2]. Ἐπ' αὐτοῦ γὰρ ὤφθη πᾶσιν ὁ Θεὸς τοῖς τοῦ λαοῦ ἐν στύλῳ γνοφώδους νεφέλης, καὶ ἐν πυρὶ ἐκαπνίζετό τε ἅπαν τὸ ὄρος[3], καὶ ἀστραπαὶ συνεχεῖς ἐγίγνοντο, καὶ φωναὶ σάλπιγγος, καὶ ὅλως ἅπαντα φόβου γέμοντα καὶ ἐκπλήξεως εἰς τὸ δέος ἐγγίνεσθαι τοῖς Ἰουδαίοις[4]· οὕτω **433** τε καὶ ἐκ μέσου τοῦ πυρὸς καὶ τῆς νεφέλης φθεγξάμενος ὁ Θεὸς πρὸς αὐτοὺς ἐχρημάτισεν ὅσα εἰκὸς ἦν, τὴν οἰκείαν γνῶσιν αὐτοῖς παρεχόμενος καὶ περὶ τῶν πρακτέων διατάττων[5]. Τοῦτο οὖν βούλεται εἰπεῖν, ὅτι μέγας οὗτος, ὃς καὶ ὤφθη ἡμῖν ἐπὶ τοῦ ἰδίου τόπου πάσης γέμοντος ἁγιωσύνης, ὅθεν οὐδὲ προσεγγίσαι τις ἐτόλμα τῶν τοῦ λαοῦ.

7 «Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ»

Οὗτος, φησίν, ὁ μέγας καὶ φοβερὸς δίδωσι καὶ ἡμῖν κατοικίας τόπον τοῖς μάλιστα πάντων ἀνθρώπων δεομένοις, ἐπειδὴ μονότροποί τε ὄντες καὶ τὸν βίον ἀκοινώνητον πρὸς τοὺς ἄλλους ἔχοντες ἀνθρώπους, τοῦτο ἡμῖν ἐντειλαμένου τοῦ Θεοῦ, οἰκεῖν τε καὶ διάγειν σὺν ἑτέροις οὐ δυνάμεθα. Καλῶς δὲ ὡς πρὸς τὸ ἄνω τὴν ἀκολουθίαν ἀπέδωκεν· ὥστε φησί, μὴ ἀντιπίπτετε, — οὐ γὰρ δύνασθε. Τοῦτο τοῦ Θεοῦ προειρημένου.

«Ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ»

Παιδευέτω γὰρ ὑμᾶς φησι τὰ ἤδη γεγενημένα, ὅπως ἐν δουλείᾳ ὄντας καὶ ὥσπερ ἔν τισι πέδαις ἐν τῇ Αἰγύπτῳ κατεχομένους

---

1. Πρβλ. Ψαλ. 67,6. **2.** Ψαλ. 67,18. **3.** Πρβλ. Ἐξ. 19,18. **4.** Πρβλ. Ἐξ. 19,19. **5.** Πρβλ. Ἐξ. 19,20-21.

καίτοι γε οὐχ ὑπομένοντας τῶν δεινῶν, ἐξήγαγεν καὶ ἐξέσπασεν βουληθεὶς μετὰ πολλῆς τῆς ἰσχύος.

«Ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις»

Καίτοι οὐ «πεπεδημένους» μόνον, ἀλλ' ἔτι καί «παραπικραίνοντας»[1]· τοῦτο γὰρ τὸ μεῖζον, ὅτι μήτε ἐπιμελουμένους τῆς προσηκούσης ἀκριβείας, ἀλλὰ καὶ μᾶλλον παροργίζοντας αὐτὸν τῷ συνεχεῖ τῆς παραβάσεως ὅμως ἐξήγαγεν, δι' αὐτὸ τοῦτο μόνον τὸ ἐν μέσῳ ἀνδρῶν εἶναι φονικῶν καὶ ὥσπερ ἐν τάφοις καὶ μνήμασιν οἰκεῖν, νεκροὺς σχεδὸν ὄντας τῇ ἐπιτάσει τῶν ἐπαγομένων ἡμῖν συμφορῶν. Πρὸς τοῦτο δὴ μόνον ἀποβλέψας, ἠλέησεν πάσχοντας δεινὰ καίτοι οὐκ ἀξίους ἐκ τοῦ τρόπου· οὕτω γὰρ λέγει ἡ θεία Γραφή, «Καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων καὶ ἀνεβόησαν, καὶ ἀνέβη ἡ βοὴ **434** αὐτῶν πρὸς τὸν Θεὸν ἀπὸ τῶν ἔργων, καὶ εἰσήκουσεν ὁ Θεὸς τῶν στεναγμῶν αὐτῶν»[2].

8 «Ὁ Θεός, ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου»

Διὰ τῶν ἄνω τὴν ἐν τῇ γῇ τῆς ἐπαγγελίας εἴσοδον σχηματίσας, καὶ τὰ μὲν πρὸς τοὺς ἀντιπεσόντας εἰπών, τὰ δὲ λαμπρότερον ἐξηγησάμενος εἰς μήνυσιν τῆς τε περὶ αὐτοὺς εὐεργεσίας τοῦ Θεοῦ καὶ τῆς κατὰ τῶν ἐναντίων τιμωρίας, διηγεῖται λοιπὸν λαμπρότερον τῶν τοῦ Θεοῦ θαυμάτων τὸ μέγεθος. Τότε τοίνυν ὁπηνίκα ἡμῶν προηγοῦ. Πότε δὲ τοῦτο ἐποίει;

«Ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ»

Ὁπηνίκα κατὰ τὴν ἔρημον ἐβάδιζες[3] προηγούμενος ἡμῶν. Καὶ γὰρ καὶ οὕτως ἐγίγνετο· ἀγνοούντων γὰρ ἁπάντων τὴν ὁδόν, πρότερον διὰ τῆς νεφέλης, ὕστερον δὲ διὰ τῆς κιβωτοῦ τὴν ὁδὸν αὐτοῖς ἐπεδείκνυ, καὶ ταύτῃ ἑπόμενοι τὴν ὅθεν ἐχρῆν βαδίζειν ἐγνώριζον.

9 «Γῆ ἐσείσθη, καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν, ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ»

---

1. Ψαλ. 67,7. **2.** Ἐξ. 2,23-24. **3.** Πρβλ. Ψαλ. 67,8.

Σύμμαχος· 'γῆ ἐσείετο, οὐρανὸς δὲ ἔσταξεν ἀπὸ προσώπου τοῦ Θεοῦ τούτου τοῦ εἰς τὸ Σινᾶ'. Ἔδειξεν ὅτι καὶ τό «ἐν τόπῳ ἁγίῳ αὐτοῦ» περὶ τοῦ ὄρους Σινᾶ λέγει. Τότε τοίνυν, φησίν, ὁπηνίκα κατὰ τὴν ἔρημον προηγούμενος ἡμῶν ἐβάδιζες, πάντα ἦν μεστὰ θαύματος καὶ φόβου, — γῆ τε γὰρ ἐσείετο, καὶ οὐρανοὶ διὰ νεφελῶν ἔσταζον· λέγει δὲ τὴν τοῦ μάννα τροφὴν καθ' ἑκάστην ἡμέραν βαλλομένην, ἣν συνέλεγον[1]. Ταῦτα γάρ, φησίν, ἐγίγνετο διὰ τό σε φαίνεσθαι ἐν τῇ ἐρήμῳ «ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ»[2] φαινόμενός φησιν ἐν τῷ Σινᾷ, φαινόμενος καὶ ἐν ἡμῖν διὰ τῆς περὶ ἡμᾶς κηδεμονίας, τὰ πάντα ἐφόβεις καὶ ἐτάραττες καὶ θαυμάτων ἐπλήρους.

10 «Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεός, τῇ κληρονομίᾳ σου καὶ ἠσθένησεν, σὺ δὲ κατηρτίσω αὐτήν»

Ἅπερ εἶπεν, ὅτι «οἱ οὐρανοί» διὰ νεφελῶν «ἔσταξαν», τὸ αὐτὸ καί «βροχὴν ἑκούσιον» λέγει, τὴν τοῦ μάννα τροφὴν οὕτω καλέσας· **435** ὑετοῦ γὰρ δίκην ἐπ' αὐτοὺς ἐφέρετο, οὕτω καὶ ἐν τῷ οζ', «Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν, καὶ θύρας οὐρανοῦ ἠνέῳξεν, καὶ ἔβρεξεν ἐπ' αὐτοὺς μάννα φαγεῖν»[3], — «βροχήν»[4] τε καλέσας τὴν τοῦ μάννα καταφοράν, καὶ διὰ νεφελῶν αὐτὸ πέμπεσθαι φήσας εἰς αὐτούς. Καὶ καλῶς εἶπεν «ἑκούσιον», — τουτέστιν οὐ τὴν συνήθη καὶ φυσικῶς ὑπὸ τῆς τοῦ ἀέρος συστροφῆς ἐκπεμπομένην, ἀλλ' ἰδίαν τινὰ καὶ θελητὴν τῇ σῇ γνώμῃ συστᾶσαν. Καλῶς δὲ καὶ τό «ἀφοριεῖς»· οἱ μὲν γὰρ λοιποὶ ὑετοὶ κοινοὶ πάντων, ἡ δὲ τοῦ μάννα καταφορὰ ἰδίως αὐτοῖς ἀφορισμένη καὶ δι' αὐτοὺς γιγνομένη.

11 «Τὰ ζῷά σου κατοικοῦσιν ἐν αὐτῇ»

Ἐν αὐτῇ τῇ γῇ λέγει τῆς ἐπαγγελίας. Τοῦτο δὲ βούλεται εἰπεῖν ὅτι οὕτω πλατεῖαν ἔξομεν τὴν κατοίκησιν, ὡς καὶ ζῴων ἡμᾶς ἔχειν ἀφθονίαν, οὐ στενοχωρουμένους ὑπὸ τῆς τῶν τόπων βραχύτητος.

---

1. Πρβλ. Ἀριθ. 11,7-9. Ψαλ. 77,24. **2.** Ψαλ. 67,9. **3.** Ψαλ. 77,23. **4.** Ψαλ. 67,10.

«Ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ, ὁ Θεός»

Οἰκείᾳ γὰρ χρηστότητι τοσαῦτα ἡμῖν ηὐτρέπισας ἀγαθά, πτωχοῖς[1] οὖσι καὶ ταλαιπώροις.

12-13 «Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ, ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα»

Ἀγαπητὸν λέγει τὸν λαὸν ὡς ἠγαπημένον ὑπὸ τοῦ Θεοῦ, συνήθως τῷ διπλασιασμῷ τὴν ἐπίτασιν τῆς ἀγάπης δεικνύς. Οὗτος οὖν, φησίν, ὁ Θεὸς παρέχει τοῖς εὐαγγελιζομένοις ἀφορμάς «ὁ τῶν δυνάμεων» ἡμῶν «βασιλεύς», τουτέστιν ὁ τῆς ἰσχύος ἡμῶν βασιλεὺς ὁ παρέχων ἡμῖν τὴν ἰσχύν, ὃς καὶ διὰ τὴν τοῦ οἴκου ὡραιότητα διέληται «σκῦλα». Βούλεται δὲ εἰπεῖν ὅτι τροπὴν ἐργάσασθαι τῶν ἐναντίων καὶ πάντας ἀναιρεθῆναι ποιήσει, ὥστε ἡμᾶς «διελέσθαι τὰ σκῦλα»[2]· «σκῦλα» γὰρ λέγει τῶν ἐν πολέμῳ φονευομένων τὰ ὅπλα καὶ ὑπὸ τῶν ἀναιρούντων λαμβανόμενα. Ταῦτα δὲ ποιήσεις, ὥστε ἡμᾶς **436** εἰσελθόντας καὶ κατεσχηκότας τῆς παρά σου διδομένης ἡμῖν γῆς, κατασκευάσαι σοι οἶκον εὐπρεπέστατον, ἐν ᾧπερ εἶναι μέλλεις, ἐν μέσῳ πάντων ἡμῶν διάγειν δοκιμάσας. Ἀκύλας· 'καὶ ὡραιότητος οἴκου μερίσεται λάφυρα', Σύμμαχος· 'καὶ ἡ δίαιτα τοῦ οἴκου διανεμεῖ λάφυρα', — σαφέστερον δηλώσαντες ὅτι ἡ αἰτία τῆς τοῦ οἴκου κατασκευῆς, ἐν ᾧπερ θεραπεύεσθαι μέλλει τὸ θεῖον, τῶν ἐναντίων τὸν φόνον ἐργάσεται.

14 «Ἐὰν κοιμηθῆτε ἀνὰ μέσον τῶν κλήρων»

Τὸ ἄνω ἀποδέδοται. Ταῦτα δέ, φησίν, γενήσεται καὶ ἔσται ἡ κατασκευὴ τοῦ οἴκου καὶ ἡ ὡραιότης, ἐπειδὰν εἰσελθόντες ἀναπαύσησθε ἐν τῇ γῇ. Κλήρους δὲ αὐτὴν εἶπεν, ἐπειδὴ κατὰ κλήρους αὐτὴν διείλοντο.

«Ἐκεῖ πτέρυγες περιστερᾶς περιηργυρωμέναι, καὶ τὰ μετάφρενα αὐτῆς ἐν χλωρότητι χρυσίου»

Τό «ἐκεῖ» ἀντὶ τοῦ τότε, ἐπειδὴ γὰρ ἔθος ἐστὶν ἐν τοῖς εὐκτηρίοις οἴκοις, ἐνίοτε δὲ καὶ τοῖς τῶν ἄγαν εὐπόρων, ἕτερά τινα μι-

---

1. Πρβλ. Ψαλ. 67,11. **2.** Ψαλ. 67,13.

μουμένους ζῷα καὶ δὴ καὶ περιστερὰς ἀπὸ γύψου κατασκευάζειν καὶ ἀργύρου μὲν αὐτῶν τὰς πτέρυγας, χρυσίῳ δὲ κατακοσμεῖν τὰ μέσα τῶν ὤμων ἢ ὅλως τὰ περὶ τὸν τράχηλον ἢ καὶ ἕτερα τῶν μελῶν· οὕτω γὰρ Σύμμαχος 'τὰ μετάφρενα τὰ μέλη' λέγει. Ταῦτα δὲ πολλῆς τῶν ποιούντων εὐπορίας ἀπόδειξιν ἔχει τὸ μέχρι καὶ τῶν τοιούτων ἀργύρῳ τε καὶ χρυσίῳ κεχρῆσθαι· τὸ παράδειγμα ἐντεῦθεν λαβὼν ἠβουλήθη εἰπεῖν ὅτι οὕτως ἔσεσθε παρὰ πᾶσιν ἐπὶ πλούτῳ τότε καὶ εὐθηνίᾳ περίβλεπτοι καὶ τοῖς παρὰ τοῦ Θεοῦ διδομένοις ὑμῖν ἀγαθοῖς. Ὥσπερ οὖν τὸ τοιοῦτον εἶδος τῆς κατασκευῆς πολὺν ἐμφαίνει τῶν τοιούτων τὸν πλοῦτον, ὅτι δὲ τὰ ὁμοιώματα ἄνευ τοῦ ὡς λέγει πολλαχοῦ ἐσημηνάμεθα, οὕτω γὰρ κἀνταῦθα τό «ἐκεῖ πτέρυγες περιστερᾶς»[1] καθ' ὁμοίωσιν λέγει, ἀκολούθως ἐνταῦθα τούτῳ χρησάμενος εἰς ἀπόδειξιν εὐπορίας τῷ παραδείγματι, ἐπειδὴ οἴκου ἐν τοῖς ἀνωτέροις ἐποιήσατο μνήμην.

15 «Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλεῖς ἐπ' αὐτῆς»

Ἐπειδὴ πρότερον ἦσαν ὑπὸ τῷ βασιλεῖ τῶν Αἰγυπτίων, ἤμελλον δὲ τὸν ἴδιον κατέ**437**χοντες τόπον ὑπὸ τοῖς ἰδίοις εἶναι λοιπὸν καὶ τοῖς βασιλεῦσι[2], τότε φησὶν ὅταν γενομένων ἡμῶν ἐπὶ τῆς γῆς τῆς ἐπαγγελίας, ὁρίζῃς καὶ τοὺς μέλλοντας ἡμῶν βασιλεύειν, — ὅπερ ἴδιον τῶν ἐν εἰρήνῃ καθ' ἑαυτοὺς ὄντων καὶ οὐχ ἑτέροις δουλευόντων, — οὕτω καὶ τό «ἀποδώσω σοι τὰς εὐχάς μου, ἃς διέστειλεν τὰ χείλη μου»[3], ἀντὶ τοῦ ὥρισεν καὶ ἔταξεν. Τότε οὖν τί ἔσται;

«Χιονωθήσονται ἐν Σελμών»

Τότε λαμπροὶ φανούμεθα, καλῶς τὸ λαμπρυνθῆναι χιονωθῆναι εἰπὼν ἀπὸ τοῦ τοιαύτην εἶναι φύσει τὴν χιόνα· ἐν εἰρήνῃ γὰρ καὶ εὐθηνίᾳ διαιτωμένους, εἰκὸς ἦν καὶ ἐπιδόξους εἶναι τοῖς περιοίκοις. «Ἐν Σελμών» δὲ λέγει, ἀντὶ τοῦ τῆς Σαλήμ, ἔνθα καὶ ὁ ναὸς ᾠκοδόμητο, ὅθεν καὶ Ἱερουσαλὴμ ἡ πόλις ἐκαλεῖτο.

---

1. Ψαλ. 67,14. 2. Πρβλ. Ψαλ. 67,15. 3. Ψαλ. 65,13-14.

16 «Ὄρος τοῦ Θεοῦ ὄρος πῖον»

Τοῦτο δή φησι τὸ ὄρος εὐθηνίας μεστόν, ἀντὶ τοῦ ἀγαθῶν παρεκτικὸν πολλῶν, ὡς τοῦ Θεοῦ ἐνοικοῦντος ἐν αὐτῷ τούτων ἀγαθῶν χορηγοῦ.

«Ὄρος τετυρωμένον, ὄρος πῖον»

Πεπυκνωμένον καὶ συνεστώς, οὐκ ἐπιδεχόμενον λύσιν καὶ ἧτταν, — ἐκ μεταφορᾶς τοῦ τυροῦ[1], ὃς μὴ πέφυκεν αὖθις ἀναλύειν εἰς γάλα.

17 «Ἵνα τί ὑπολαμβάνετε, ὄρη τετυρωμένα»

Ἐπειδὴ προσέταξεν ὁ Θεὸς τοῦτον μόνον αὐτῷ τόπον εἰς προσκύνησιν ἀφορισθῆναι τὸν τοῦ ὄρους ἐν ᾧπερ ὁ ναὸς ᾠκοδόμητο, πολλοὶ δὲ καὶ ἐν ἑτέροις ὄρεσι προσεκύνουν τοῖς εἰδώλοις, — οὐ τῶν ἐναντίων μόνον, ἀλλὰ γὰρ καὶ τῶν ἰδίων πολλάκις, — ἀπατηθέντες καὶ ἐκτραπέντες εἰς ἀσέβειαν, ὡς πρὸς ἐκείνους. Διὰ τί, φησίν, οὕτως «ὑπολαμβάνετε»[2], ὡς καὶ τῶν ἄλλων ὀρέων τὴν αὐτὴν ἰσχὺν ἐχόντων καὶ ὁμοίως ὑμᾶς ὠφελεῖν δυναμένων;

«Τὸ ὄρος, ὃ εὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ»

438 Οὐκ ἔστι τοιαῦτα τὰ λοιπά, τοῦτο μόνον τοιοῦτον, ἐπειδήπερ καὶ ἐν αὐτῷ μόνῳ κατοικεῖν ᾑρέτισε τῷ Θεῷ, καὶ διὰ τοῦτο ταύτην ἔχει τὴν ἰσχύν.

«Καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος»

Οὔτε γὰρ μετελθεῖν αὐτὸν ἐντεῦθεν οἷόν τε, ἀλλὰ διαμένει ἐνταῦθα διηνεκὲς ἑαυτῷ κατοικητήριον ἐκλεξάμενος, ὥστε μάταιον ὑμῖν τὸ περὶ τὰ ἄλλα σπουδάζειν.

18 «Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων»

Ἐπειδὴ εἶπεν ἄνω «τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν»[3] ὡσανεὶ ἐφ' ἅρματος ὀχουμένου καὶ ἐλαύνοντος, καλῶς «ἅρμα»[4] ἐκάλεσε τὸν λαόν· ἐπ' αὐτοῦ γὰρ ὥσπερ ὀχούμενος τὴν οἰκείαν ἐπεδείκνυτο δύ-

---

1. Πρβλ. Ψαλ. 67,16. **2.** Ψαλ. 67,17. **3.** Ψαλ. 67,5. **4.** Ψαλ. 67,18.

ναμιν, τιμωρούμενος μὲν δι' αὐτῶν τοὺς ἐναντίους, συγκρατῶν δὲ αὐτοὺς ὡς ἠβούλετο. Ἡμεῖς οὖν φησι «τὸ ἅρμα» αὐτοῦ, ὧν ἐπιβέβηκεν καὶ ἐν οἷς γνωρίζεται, τούτῳ προσέχομεν τῷ ὄρει καὶ περὶ αὐτὸ ἐσμὲν οἱ εἰς μυριάδας καὶ χιλιάδας εὐθηνοῦντες καὶ πληθυνόμενοι τῇ αὐτοῦ δυνάμει.

«Κύριος ἐν αὐτοῖς ἐν Σινᾶ ἐν τῷ ἁγίῳ»

Ὁ γὰρ ἐνταῦθα νῦν Θεὸς καὶ ἐν ἡμῖν ὤν, αὐτὸς ἦν ὁ καὶ τότε ἐν τῷ Σινᾶ ὄρει τῷ ἁγίῳ, ἐν μέσῳ τῶν παρόντων γνωρισθείς τε καὶ φανείς[1]· καλῶς δὲ ἅγιον ἐκάλεσεν τὸ ὄρος ἐφ' οὗπερ ὤφθη ὁ Θεός.

19 «Ἀνέβης εἰς ὕψος, ᾐχμαλώτευσας αἰχμαλωσίαν, ἔλαβες δόματα ἐν ἀνθρώποις»

[688] Ἐπειδὴ γὰρ ἦν ὁ λαὸς ὥσπερ αἰχμάλωτος ἐν τῇ Αἰγύπτῳ **439** δουλεύων, ἐξέσπασε δὲ αὐτοὺς τῆς δουλείας ὁ Θεὸς καὶ ἀπήλλαξεν πολέμου νόμῳ, — τιμωρησάμενος γὰρ τοὺς ἐναντίους, οὕτω τούτους ἀφεῖλεν, αἰχμαλωσία δὲ λέγεται ἅπαν τὸ ἐν πολέμου νόμῳ λαμβανόμενον, — τοῦτό φησιν ὅτι «τὴν αἰχμαλωσίαν», δηλονότι ἡμᾶς τοὺς ὡς ἐν αἰχμαλωσίᾳ δουλεύοντας, αἰχμαλωτεύσας, ὡς ἰσχυρὸς στρατιώτης πολέμου νόμῳ νικήσας, ἀφεῖλες καὶ ἀπέσπασας. Τὸ δέ «ἀνέβης εἰς ὕψος» ἐδείχθης δὲ μέγας καὶ ὑψηλός· διὰ τοῦτο «ἔλαβες δόματα ἐν ἀνθρώποις»[2]. Προσέταξε γὰρ αὐτοῖς τότε ὁ Θεὸς αἰτῆσαι «σκεύη ἀργυρᾶ καὶ χρυσᾶ»[3] καὶ ταῦτα αἰτήσαντες ἔλαβον. Εἶτα καταλαβόντος τοῦ θανάτου τῶν πρωτοτόκων, ἐξώρμησαν τῆς Αἰγύπτου τῷ προστάγματι τοῦ Θεοῦ ἔχοντες καὶ τὰ σκεύη. Οὐχ ἡμᾶς οὖν, φησί, μόνον ἀφείλω καὶ τῆς δουλείας ἀπήλλαξας, ἀλλὰ καί «δόματα ἔλαβες» παρὰ τῶν ἀνθρώπων, ὡσανεὶ μετὰ δώρων πάντων αὐτοὺς ἐκπεμψάντων.

Ἐχρήσατο δὲ ὁ Ἀπόστολος ταύτῃ τῇ μαρτυρίᾳ, οὐχ ὡς περὶ τοῦ Χριστοῦ προηγορευμένην, ἀλλ' ὡς ἁρμόζουσαν λέγεσθαι περὶ τοῦ Χριστοῦ, ὅτι καὶ αὐτὸς αἰχμαλώτους ἡμᾶς ὄντας ὑπὸ τοῦ διαβόλου μάχῃ τῇ πρὸς αὐτὸν νικήσας ἀφείλετο. Διὰ τοῦτο ἐπειδὴ τό

---

1. Πρβλ. Ἐξ. 19,18-25. **2.** Ψαλ. 67,19. **3.** Ἐξ. 12,35.

«ἔλαβες δόματα» οὐχ ἥρμοττεν κατὰ τὸ παρ' ἡμῖν ἔθος, ὥσπερ ἐν ταῖς διαλέξεσι ταῖς ἐκκλησιαστικαῖς κεχρήμεθα, ὑπαλλάξας τό «ἔλαβες» εἶπεν τὸ ἔδωκας. Τοῦτο γὰρ ἁρμοδιώτερον ἐπὶ τοῦ Χριστοῦ, οὐ λαβόντος ἀλλὰ μετὰ τὴν ἄνοδον τὴν ἐν τοῖς οὐρανοῖς δεδωκότος τοῦ Πνεύματος τὰ χαρίσματα.

«Καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι»

Ὥσπερ ἄνω εἶπεν «ὁμοίως τοὺς παραπικραίνοντας»[1], οὕτω κἀνταῦθα. Καὶ ταῦτα, φησίν, ἐποίεις ἀπειθούντων ἡμῶν, οἰκείᾳ φιλανθρωπίᾳ ἀπαλλάττων, καὶ οἰκητήριον ἡμῖν ὁρίζων εἰς τὸ ἔχειν τε τόπον ἴδιον καὶ οἰκεῖν ἐν αὐτῷ.

20 «Κύριος ὁ Θεὸς εὐλογητός»

Ἐπὶ τούτοις γὰρ ὕμνων ἄξιος.

«Εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν»

Διηνεκῶς ὑμνεῖσθαι ἄξιος κατὰ πᾶσαν ἡμέραν.

«Κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν»

440 Αὐτὸς γὰρ ἡμῖν καὶ τὴν ὁδὸν εὐτρεπίσει, τουτέστι παρέξει ἡμῖν τὴν εἴσοδον τὴν εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὁ περισώζων ἡμᾶς καὶ ἀπαλλάττων τῶν κινδύνων, — ἐνταῦθα μάλιστα εὐκαίρως τό «ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν»[2] εἰπών· μὴ περισωζομένους γὰρ τῆς τῶν πολεμίων ἐπιβουλῆς οὐκ ἐνῆν δυνηθῆναι τῆς γῆς ἐπιλαβέσθαι.

21 «Ὁ Θεὸς ἡμῶν ὁ Θεὸς τοῦ σώζειν»

Ὥσπερ Θεὸν ἐλέους λέγει ἀπὸ τοῦ ἐλεεῖν, οὕτω καὶ Θεόν «τοῦ σώζειν»[3], τουτέστιν αὐτὸς ὁ περισώζειν ἀπὸ κινδύνων δυνάμενος.

«Καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου»

Διέξοδον δὲ λέγει τὴν ἀπαλλαγήν. Αὐτὸς ὁ καὶ διὰ μέσου πολλάκις τοῦ θανάτου ἐξάγων καὶ ἀπαλλάττων.

---

1. Ψαλ. 67,7. **2.** Ψαλ. 67,20. **3.** Ψαλ. 67,21.

22 «Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ»

Ἡμᾶς δὲ ἀπαλλάξει, τοὺς ἐναντίους καὶ πολεμοῦντας ἡμῖν τιμωρούμενος.

«Κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν»

Οὕτω, φησίν, αὐτοὺς τιμωρήσεται ὡς ὑπὲρ πάντων ὧν ἁμαρτάνουσι δοῦναι δίκην, καὶ μηδὲ τὴν ὑπὲρ τοῦ σμικροτάτου τιμωρίαν αὐτοὺς διαφυγεῖν. Τρίχας δὲ ὠνόμασεν τὸ σμικρότατον, κυρίως μὲν ἐπειδὴ τοῦτο ἐν ἡμῖν τὸ πάντων βραχύτατον, ἀκολούθως δὲ ἐπειδή «κεφαλάς» εἶπεν ὅτι «συνθλάσει»[1].

23 «Εἶπεν Κύριος Ἐκ Βασὰν ἐπιστρέψω»

Σύμμαχος· 'ἐπιστρέψαι ποιήσω'. Ἔδειξεν ἐνταῦθα μάλιστα τὴν ὑπόθεσιν ἥτις ἐστίν, καὶ οὐχ, ὥς τινες ἐνό**441**μισαν, τὴν ἐπάνοδον λέγει τοῦ λαοῦ. Τί γὰρ βούλεται πρὸς τὴν Βαβυλῶνα ἡ «Βασάν»[2]· Βασὰν δέ ἐστιν ἧς ἐβασίλευσεν ὁ Ὤγ, δι' ἧς καὶ παρῆλθον τότε, ὡς αὐτὸς ἑτέρωθι μνημονεύων τῶν ἐξ Αἰγύπτου φησὶ καὶ τὸν Ὤγ βασιλέα τῆς Βασάν[3]. Ἐπηγγείλατο οὖν, φησίν, ὁ Θεὸς ἐκεῖθεν αὐτοὺς ἀγαγεῖν.

«Ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης»

Σύμμαχος· 'ἀναστρέψαι ποιήσω ἀπὸ βυθῶν θαλάσσης καὶ διὰ μέσου' τῶν τε Ἐδωμιτῶν λέγων καὶ τῶν Μωαβιτῶν καὶ τῶν λοιπῶν ἁπάντων, δι' ὧν παρῆλθον, ὡς ἂν καί 'διά μέσου' τοῦ βυθοῦ τῆς θαλάσσης ἄξω, οὐδὲν παθεῖν ὑπὸ τοῦ πλήθους τῶν πολεμούντων ποιήσας.

24 «Ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι»

Πάντας γὰρ αὐτοὺς τιμωρήσομαι. Καλῶς δὲ τό «ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι»[4] ἐσχημάτισεν, ὡς ἐπὶ στρατηγοῦ διώκοντος καὶ πολὺν ἐργαζομένου φόνον, καὶ τῷ αἵματι φύροντος τὸν οἰκεῖον πόδα. Τὸ δέ «ὅπως» κατὰ τὸ ἰδίωμα εἶπεν τὸ γραφικόν, τὸ αἰτιατὸν ἀντὶ αἰτίας τεθεικώς. Οὐ γὰρ ἵνα τούτους ἀνέλῃ ἐκείνους

---

1. Ψαλ. 67,22. **2.** Ψαλ. 67,23. **3.** Πρβλ. Ἀριθ. 32,33. **4.** Ψαλ. 67,24.

ἀπαλλάττει, τοὐναντίον δὲ ὑπὲρ τῆς ἐκείνων ἀπαλλαγῆς καὶ τούτους ἀνθισταμένους ἀναιρεῖ.

«Ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν παρ' αὐτοῦ»

Σαφέστερον Σύμμαχος· 'καὶ λάψει ἡ γλῶσσα τῶν κυνῶν σου ἀπὸ ἑκάστου τῶν ἐχθρῶν σου'. Ὡς πολέμου νόμῳ πάντων ἀναιρουμένων, σχηματίσας τὸ πᾶν ἀπέδωκε τῷ λόγῳ· καὶ ἀνελὼν αὐτούς, φησί, παραδώσει εἰς βορὰν τοῖς κυσίν.

25 «Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ μου τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ»

Ὁπηνίκα ὤφθη ὁ Θεὸς τοῖς Ἰσραηλίταις ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ, μετὰ τὴν πρὸς αὐτοὺς διάλεξιν καὶ τὴν δοκοῦσαν ἀναχώρησιν, παρεσκεύασεν τὸν τόπον ἐφ' οὗπερ ἑστάναι καὶ ὁμιλεῖν αὐτοῖς ἐδόκει φέρειν μὲν ὥσπερ ἴχνη τῶν ποδῶν[1]· μεταβαλὼν δὲ τὸν περὶ τοὺς πόδας **442** τόπον, τῷ τοῦ σαπφείρου τόπῳ πεποίηκεν ὅμοιον καὶ τῇ τοῦ οὐρανοῦ καθαρότητι παραπλήσιον. Οὕτω γὰρ γέγραπται, «Καὶ ἀνέβη Μωυσῆς καὶ Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ καὶ οἱ τῆς γερουσίας Ἰσραὴλ καὶ εἶδον τὸν τόπον, οὗ εἱστήκει ὁ Θεὸς τοῦ Ἰσραήλ, καὶ τὰ ὑπὸ τοὺς πόδας αὐτοῦ ὡς ἔργον πλίνθου σαπφείρου καὶ ὥσπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαρότητι»[2]. Τοῦτο οὖν φησιν οὕτως κατηξίωσας κατελθεῖν ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ καὶ διαλεχθῆναι ἅπασιν ἡμῖν τοῖς παροῦσιν, ὡς καὶ τὴν πορείαν σου[3] αὐτὴν καὶ τῶν ποδῶν τὰ ἴχνη ὠφθῆναί τε καὶ δῆλα γενέσθαι τοῖς ὁρῶσιν· ἀπόδειξιν δὲ εἶχεν τὸ λεγόμενον τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

26 «Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων»

Σύμμαχος τό «ἐχόμενοι ψαλλόντων»[4] 'ὀπίσω ψαλλόντων' εἶπεν. Τοῦδο δή, φησίν, ὅτι προηγοῦντο μὲν οἱ ἄρχοντες, ἐπηκολούθουν δὲ οἱ ψάλλοντες.

---

1. Πρβλ. Ἐξ. 19,18-25. **2.** Ἐξ. 24,9-10. **3.** Πρβλ. Ψαλ. 67,25. **4.** Πρβλ. Ψαλ. 67,26.

26-27 «Ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν τὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ»

Περὶ τοὺς ψάλλοντας ἦσαν καὶ νεάνιδες τυμπανίζουσαι· τοῦτο δὲ γεγενῆσθαι σαφῶς ἡμᾶς ἡ θεία παιδεύει Γραφή, ὁπηνίκα διῆλθον μὲν οὗτοι τὴν θάλασσαν, κατεποντίσθησαν δὲ ἐπ' ὄψεσι ταῖς ἐκείνων οἱ Αἰγύπτιοι[1]. Φησὶ γάρ «Καὶ ἔλαβεν Μαρία ἡ προφῆτις ἡ ἀδελφὴ Ἀαρὼν τὸ τύμπανον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξῆλθον πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ τυμπάνων καὶ χορῶν. Ἐξῆρχεν δὲ αὐτῶν Μαρία λέγουσα, Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς τὴν θάλασσαν»[2]. Ἦσεν δὲ τὸ αὐτὸ καὶ ὁ λαός· φησὶ γάρ «Τότε ἦσεν Μωυσῆς καὶ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ Κυρίῳ, καὶ εἶπον λέγοντες, Ἄσωμεν τῷ Κυρίῳ ἐνδόξως»[3]. Ὥστε σύμφωνον καὶ τὸ παρὰ τῷ μακαρίῳ Δαβὶδ κείμενον, «Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ»[4] ὑπὲρ τοίνυν τῶν τοσούτων καὶ τηλικούτων θαυμάτων, ὁσάκις ἂν ἐκκλησιάζητε καὶ κατ' αὐτὸ συνίητε, ὑμνεῖν τὸν Θεὸν σπουδάζετε. Τὸ δέ «ἐκ πηγῶν Ἰσραήλ», ἵνα εἴπῃ οἱ ἀπὸ τῶν **443** φυλῶν τοῦ Ἰσραήλ, τουτέστι πᾶς ὁ Ἰσραήλ, καλῶς πηγὰς τοῦ Ἰσραὴλ καλέσας τὰς ιβ' φυλάς, ὥσπερ τι ῥεῦμα πολὺ τῇ τοῦ Θεοῦ εὐλογίᾳ ἐκδιδόμενόν τε καὶ πληθυνόμενον καὶ διαμένον ἐν ταῖς διαδοχαῖς ἀεί.

28 «Ἐκεῖ Βενιαμὶν νεώτερος ἐν ἐκστάσει»

Καλῶς παρακελευσάμενος τὸ ὑμνεῖν, ταῦτα ἐπήγαγεν ὅτι κοινὴ πάντων ἦν καὶ ἡ τότε γεγενημένη χάρις.

«Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλί»

Ἵνα εἴπῃ πάντες ἀπὸ τοῦ κατὰ μέρος.

29 «Ἔντειλαι, ὁ Θεός, τῇ δυνάμει σου»

Διηγησάμενος τοῦ Θεοῦ τὴν εὐεργεσίαν, τρέπει λοιπὸν εἰς εὐχὴν τὸν λόγον. Πρόσταξόν φησι τῇ δυνάμει σου, ὦ Δέσποτα, ὡς

---

1. Πρβλ. Ἐξ. 14,15-31. **2.** Ἐξ. 15,20-21. **3.** Ἐξ. 15,1. **4.** Ψαλ. 67,27.

ἐπὶ βασιλέως τῇ αὐτοῦ στρατιᾷ πρὸς τὸ ἀμύνειν κελεύοντος. Ἐπειδὴ γὰρ εἶπεν «ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ»[1] καλῶς ἐνταῦθα τό «Ἔντειλαι τῇ δυνάμει σου»[2]. Καὶ ἐπάγει·

«Δυνάμωσον, ὁ Θεός, τοῦτο, ὃ κατειργάσω ἡμῖν»

Τουτέστι πρόσταξον τὴν ἰσχύν σου ἐν ἡμῖν διαμεῖναι, εἰς τὸ ἰσχυρὸν καὶ βέβαιον ἡμῖν παραμεῖναι τοῦτο ὅπερ ἡμῖν παρέσχες, — ἵνα εἴπῃ τὴν ἐν τοῖς τόποις κατοικίαν, — ὥστε μὴ μεταχθῆναι ἔνθεν.

30 «Ἀπὸ τοῦ ναοῦ σου ἐπὶ Ἱερουσαλήμ»

Σύμμαχος 'διὰ τὸν ναόν σου τὸν ἐπάνω τῆς Ἱερουσαλήμ'. Παράσχου δέ φησι τοῦτο, εἰ καὶ μὴ δι' ἡμᾶς οὐκ ὄντας ἀξίους, ἀλλ' οὖν γε διὰ τὸ εἶναί σου τὸν ναὸν ἐν τούτῳ τῷ τόπῳ καὶ ἐνταῦθα σπουδάζεσθαι τὴν σὴν θεραπείαν. Ναὸς γὰρ ἐλέγετο τότε καὶ ἡ σκηνὴ ἐν ᾗπερ ἡ κιβωτὸς τοῦ Θεοῦ κατέκειτο· δέδεικται δὲ τοῦτο παρ' ἡμῶν ἐν τῷ ι' ψαλμῷ.

«Σοὶ οἴσουσιν βασιλεῖς δῶρα»

444 Ἡμῶν γάρ φησι μηδὲν χαλεπὸν ὑπομενόντων καὶ τοῦ ναοῦ ἐν τῇ συνήθει δόξῃ διαμένοντος, πολλοὶ καὶ τῶν ἐναντίων ἐκπληττόμενοί σου τὸ μέγεθος δῶρά σοι κομίσουσιν[3]. Τοῦτο δὲ ἐπὶ πολλῶν γενόμενον φαίνεται τῶν χρόνων, καὶ πολλάκις ὁ Τύρου βασιλεὺς εἰς τὴν τοῦ ναοῦ κατασκευὴν ἐπὶ τοῦ Σολομῶντος δῆλός ἐστιν οὐκ ὀλίγα δεδωκώς.

31 «Ἐπιτίμησον τοῖς θηρίοις τοῦ δρυμοῦ»

Διὰ ταῦτα ἡμῖν τε βεβαίαν παράσχου τὴν ἐνταῦθα κατοικίαν, καὶ τοὺς βουλομένους πολεμεῖν ἄπωσαι. Θηρία δέ «δρυμοῦ» τοὺς πολεμοῦντας ἐκάλεσεν, εἰς παράστασιν τῆς ὠμότητος τοῦ τρόπου.

«Ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσιν τῶν λαῶν τοῦ μὴ ἀποκλεισθῆναι τοὺς δεδοκιμασμένους τῷ ἀργυρίῳ»

---

1. Ψαλ. 67,13. **2.** Ψαλ. 67,29. **3.** Πρβλ. Ψαλ. 67,30.

Σαφῶς αὐτὸ εἶπεν Σύμμαχος· 'συνόδῳ παμμεγεθῶν μετὰ συστροφῶν λαῶν τοῖς διαλακτίζουσι τοὺς εὐδοκήτους ὡς ἀδόκιμον ἀργύριον'. Ἀποδέδοται τῷ «ἐπιτίμησον»[1]. Ἐπιτίμησον γάρ φησι τούτοις καὶ ταῖς συνόδοις τούτων τῶν ἰσχυρῶν καὶ ταῖς συστροφαῖς τῶν ἄλλων, ἵνα εἴπῃ ὅτι ἄπωσαι ἀφ' ἡμῶν τοὺς ἐχθροὺς ἡμῶν καὶ ὠμοὺς ὄντας καὶ ἰσχυροὺς καὶ πολλούς, οἳ τοσοῦτον ἔχουσι καθ' ἡμῶν τὸ μῖσος ὥστε ἡμᾶς σπουδάζειν ἀναιρεῖν καὶ ἀφανίζειν ὡς ἀργύριον ἀδόκιμον, — ἵνα εἴπῃ οὐδεμίαν ἡμῶν φειδὼ ποιούμενοι, ὡς οὐδενὸς ἀξίους λόγου τιμωρεῖσθαι σπουδάζουσιν.

«Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα»

Τρόπωσαι αὐτοὺς καὶ τιμώρησαι φιλοπολέμους ὄντας. Ἔδειξε δὲ διὰ πολλῶν ἀξίους αὐτοὺς ὄντας τιμωρίας, ὅτι ὠμοὶ τὸν τρόπον, ὅτι ἰσχυροί, ὅτι πολλοί, ὅτι ἀφειδῶς κεχρημένοι, ὅτι χαίροντες τοῖς κακοῖς.

32 «Ἥξουσιν πρέσβεις ἐξ Αἰγύπτου»

445 Ταῦτά σού φησι περὶ ἡμᾶς ποιοῦντος, ἀσπάζονται τὴν περὶ ἡμᾶς εἰρήνην οἱ Αἰγύπτιοι· εἰρήνης γὰρ οἱ πρέσβεις διάκονοι.

«Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ»

Βασιλέα σε ὁμολογήσει καὶ Δεσπότην. Τοῦτο δὲ προσωποποιήσας εἶπεν ἐκ μεταφορᾶς τῶν ἐν ταῖς εἰκόσι γραφόντων τὰς πόλεις ἤτοι τὰ ἔθνη, οἷον Περσίδα ἢ Γοτθίαν ἤ τι τοιοῦτον, ὅπως δοκοῦσι μὲν ὑποτιθέναι τὴν χεῖρα τοῖς τῶν βασιλέων ποσίν, ἐμφαίνουσι δὲ τῆς δεσποτείας τὴν ὁμολογίαν. Ταῦτα δὲ γέγονε καὶ ἐπὶ τοῦ Σολομῶντος, ὅτε πολλὰ μὲν πολλαχόθεν αὐτῷ ἀπεστέλλετο δῶρα, ἐλήλυθε δὲ πρὸς αὐτὸν ἡ τῆς Αἰθιοπίας βασίλισσα[2] πόθῳ τῆς προσούσης αὐτῷ σοφίας.

33 «Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ»

Πάντες τοίνυν οἱ πανταχόθεν ὕμνους αὐτῷ ἀναπέμπετε[3].

---

1. Ψαλ. 67,31. **2.** Πρβλ. Γ' Βασ. 10,1-13. Β' Παρλ. 9,1-12. **3.** Πρβλ. Ψαλ. 67,33.

34 «Ψάλατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς»

«Οὐρανὸν οὐρανοῦ»[1] καλεῖ τὸν ἀνώτερον, — ἐπειδὴ ὅπερ ἡμῖν οὗτος, τοῦτο ὁ ἀνώτερος. Σύμμαχος τό 'κατ' ἀνατολάς' ἐκ πρώτης λέγει ἀκολούθως. Εἰ γὰρ ἐπάνω τῶν οὐρανῶν, οὐκ ἂν εἶπεν ταύτην τὴν τοῦ ἡλίου ἀνατολήν· ἔνθα γὰρ τοῦτον εἶναι τὸν ἥλιον οὐ συμβαίνει, δῆλον ὡς οὐδέ ἐστι τὸ μὲν ἀνατολικόν, τὸ δὲ δυτικὸν μέρος. Ὑμνεῖτε οὖν τὸν ἐξ ἀρχῆς καὶ ἀεὶ ἐπάνω ὄντα τῶν οὐρανῶν, — 'κατ' ἀνατολάς' εἰπὼν τὸ ἐξ ἀρχῆς καὶ τὸ ἐκ πρώτης, ἀπὸ τοῦ τῆς ἡμέρας ἀρχὴν εἶναι τοῦ ἡλίου τὴν ἀνατολὴν καὶ μὴ δύνασθαι πρὸ τῆς ἐκείνου ἀνατολῆς ἡμέραν φαίνεσθαι, ὥστε καθ' ὁμοιότητα **446** μηδὲν δύνασθαι πρὸ τοῦ Θεοῦ νοεῖν. Σύμμαχος μὲν οὖν αὐτὸ σαφέστερον ἐδήλωσεν, — οἱ δὲ Ο' ἐμφαντικώτερον καὶ μᾶλλον τῆς ἑβραϊκῆς καθικνούμενοι διανοίας, — βουληθεὶς ἐκ παραδείγματος τὸ ἀρχαῖον τοῦ Θεοῦ σημᾶναι.

«Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν αἰνέσεως»

Καὶ γάρ ἐστι μέγας καὶ φοβερὸς καὶ μόνῃ τῇ φωνῇ δυνάμενος τοὺς πολεμίους καταπλήττειν. «Φωνὴν δὲ αἰνέσεως» εἶπεν τὴν φωνὴν αὐτοῦ, ὡς ὕμνων ἀξίαν διὰ τὸ μέγεθος. Ἐσχημάτισεν δὲ κἀνταῦθα ὡς ἐπὶ στρατηγοῦ φωνῇ μόνῃ καταπλήττοντος.

35 «Δότε δόξαν τῷ Θεῷ»

Ἐπειδὴ τοίνυν τοιοῦτος, μὴ ἀνθίστασθε μηδὲ πολεμεῖτε, ἀλλὰ μᾶλλον αὐτὸν θαυμάσατε ὡς μέγαν καὶ παύσασθε τῆς ἀκαίρου μάχης.

«Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ»

Ἐν ἡμῖν γὰρ τὸ μέγεθος αὐτοῦ δείκνυσι, τιμωρούμενος τοὺς πολεμεῖν ἡμῖν βουλομένους.

«Καὶ ἡ δύναμις αὐτοῦ ἐν νεφέλαις»

Ἔχει δὲ δύναμιν οὐ τῇ ἡμετέρᾳ μόνον βοηθείᾳ μετρουμένην, ἀλλὰ καὶ ὑπὲρ ἡμᾶς ἐν τῇ κτίσει φαινομένην, — ἀπὸ γὰρ τοῦ μέ-

---

1. Ψαλ. 67,34.

ρους τὸ πᾶν εἰπεῖν ἠβουλήθη, — ἢ καὶ ὅτι αὐτάρκη φόβον παρέχεται τοῦ ἀέρος ἡ πύκνωσις βροντῶν ἦχον ἀποτελοῦσα, ἀστραπῶν κατάπληξιν, ὑετοῦ φοράν, χιόνος καὶ χαλάζης βολήν[1].

36 «Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ»

Ἀλλ' ὅμως καὶ οὕτως ὢν μέγας, αὐτάρκως ἑαυτὸν δείκνυσι φοβερὸν δι' ἡμῶν.

447 *«Ὁ Θεὸς Ἰσραὴλ αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ»*

Αὐτὸς γὰρ Δεσπότης ἡμέτερος καὶ προστάτης, αὐτὸς ἡμῖν καὶ τὴν ἰσχὺν καὶ τὴν βεβαίωσιν παρέχει, καὶ διὰ τούτων αὐτάρκως ὧν ἡμῖν παρέχεται τὴν οἰκείαν ἐνδείκνυται δύναμιν[2].

«Εὐλογητὸς ὁ Θεός»

Καὶ ἐπὶ τούτοις ἅπασιν ὕμνων καὶ εὐχαριστίας ἄξιος.

Ψαλμὸς 68

Προαγορεύων τὰ κατὰ τοὺς Μακκαβαίους διηγεῖται τῶν συμφορῶν τὸ μέγεθος, λέγων μὲν τοὺς παρὰ τῶν ἀλλοτρίων ἐπενεχθέντας αὐτοῖς πολέμους, λέγων δὲ καὶ τὴν παρὰ τῶν ἰδίων ἐπιβουλήν, συνήθως μέντοι ὡς ἐξ ἐκείνων ἅπαντα λέγει τὰ κατ' αὐτούς.

2 «Σῶσόν με, ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου»

«Ὕδατα»[3] λέγει τὰς τῶν πολεμίων ἐφόδους, ὡς συμπνίγειν καὶ ἀναιρεῖν δυναμένας, ὡς τό «διήλθομεν διὰ πυρὸς καὶ ὕδατος»[4]. Τὰ κακά, φησί, τὰ παρὰ τῶν ἐθνῶν αὐτῆς μου καθίκετο τῆς ψυχῆς.

3 «Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις»

---

1. Πρβλ. Ψαλ. 67,35. **2.** Πρβλ. Ψαλ. 67,36. **3.** Ψαλ. 68,2. **4.** Ψαλ. 65,12.

Ὥσπερ ὕλην πράγματος, λέγομεν τὸ πλῆθος αὐτοῦ καὶ τὰς περιστάσεις, οὕτω λέγει **448** «ὕλην βυθοῦ»[1] τὸν μέγαν βυθόν, ἵνα εἴπῃ τῆς συμφορᾶς τὴν ἐπίτασιν. Σύμμαχος· 'ἐβαπτίσθην εἰς ἀπεράντους καταδύσεις'· ἐμπέπτωκά φησι μεγίστοις κακοῖς, ὡς μηδὲ ὑφεστάναι δύνασθαι περὶ αὐτῆς κινδυνεύοντα τῆς σωτηρίας.

«Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέν με»

Διαφόρως ταῖς τροπολογίαις χρῆται, τῶν κακῶν τὴν ἐπίτασιν σημᾶναι βουλόμενος, ὕδατα καὶ βυθὸν καὶ θάλασσαν καλῶν τῶν ἐναντίων τὰς ἐφόδους ὡς ἱκανὰς ἀνελεῖν. Ἐγενόμην οὖν φησιν ἐν μέσῳ τῶν κακῶν, καὶ συμφορά τις καταιγίδος δίκην κατενεχθεῖσα ἐκάλυψεν, ὡς μηδὲ ἐλπίσαι σωτηρίαν.

4 «Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου»

Ἀλλ' ἐν μέσῳ τῶν τηλικούτων κακῶν ἀνενδότως σοι προσηυχόμην.

«Ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου»

Ὅλος ἤμην τεταμένος καὶ περιμένων τὴν παρά σου βοήθειαν. Καλῶς δὲ τό «ἐξέλιπον»[2], ἐκ μεταφορᾶς τῶν μετὰ πολλοῦ πόθου τι προσδοκώντων καὶ συντεταμένως ἀποβλεπόντων πρὸς τὰ ἐλπιζόμενα.

5 «Ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν»

Ἀναριθμήτους ἔσχον τοὺς ἐχθρούς, καὶ ταῦτα ἄνευ εὐλόγου τινὸς προφάσεως τὸ κατ' ἐμοῦ μῖσος ἔχοντας.

«Ἐκραταιώθησαν οἱ ἐχθροί μου οἱ ἐκδιώκοντές με ἀδίκως»

Οἱ ἀδίκως «ἐχθροί μου»[3] καὶ διώκοντές με· λέγει δὲ ὅτι μάτην καὶ ὑπὸ πολλῆς ἀδικίας ἀράμενοι τὸν πρὸς ἡμᾶς πόλεμον ἔτι καὶ κατισχύουσι κρατοῦντες ἡμῶν.

---

1. Ψαλ. 68,3. **2.** Ψαλ. 68,4. **3.** Ψαλ. 68,5.

«Ἃ οὐχ ἥρπασα, τότε ἀπετίννυον»

449 Πλατύτερον εἶπεν τὸ ἀδίκως ἐπολέμουν με καὶ ἐτιμωροῦντό με, οὐδεμίαν αἰτίαν ἐγκλήματος ἔχοντες κατ᾽ ἐμοῦ, ἐκ μεταφορᾶς τῶν ἀδίκως ἀπαιτούντων ἃ μὴ δεδώκασιν.

6 «Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου»

Εἰ γάρ τι ἥμαρτον, φησίν, εἰς αὐτούς, αὐτὸς ἐπίστασαι, ἀντὶ τοῦ σύ μοι μάρτυς ὅτι μηδὲν ἔπραξα. Καλῶς δὲ «ἀφροσύνην»[1] ἐκάλεσεν τὴν ἀδικίαν, ὡς οὐκ ἂν συνετοῦ ποτε ἀδικεῖν ἑλομένου.

«Καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν»

Εἰ δέ τι καὶ ἥμαρτον εἰς αὐτοὺς οὐ λέληθέν σε.

7 «Μὴ αἰσχυνθείησαν ἐπ᾽ ἐμοὶ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων, μὴ ἐντραπείησαν ἐπ᾽ ἐμοὶ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ»

Ἐπειδὴ πολλοὺς οἱ Μακκαβαῖοι προτρεψάμενοι τῶν Ἰουδαίων μᾶλλον ἔχεσθαι τῆς εἰς Θεὸν εὐσεβείας, ὡς τευξομένους τῆς παρ᾽ αὐτοῦ βοηθείας ἀπέστησαν τοῦ συμπράττειν τοῖς λοιποῖς, ὑπομένοντας[2] τὸν Θεὸν αὐτοὺς οὖν ἐκάλεσεν ὡς τῇ ἐλπίδι τῆς παρ᾽ αὐτοῦ βοηθείας ἑλομένους μὲν αὐτοῖς συμμαχεῖν, ἀποστάντας δὲ τῶν λοιπῶν, οὐκοῦν, φησίν, ἐπειδήπερ αὐτὸς ἐπίστασαι ὡς οὐδὲν ἥμαρτον εἰς αὐτούς, ἄνευ δὲ προφάσεως ἐγκαλοῦσι καὶ ἀδικεῖν πειρῶνται, μὴ ποιήσῃς ἡμᾶς αἰσχυνθῆναι τοὺς τὴν σὴν ἐλπίζοντας βοήθειαν.

8 «Ὅτι ἕνεκα σοῦ ὑπήνεγκα ὀνειδισμόν»

Διά σε γὰρ ὀνειδίζομαι καὶ τὸν ζῆλον τοῦ σου νόμου.

«Ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου»

450 Καὶ ἀπὸ τῶν περιεχόντων κακῶν μονονουχὶ περιεκαλυψάμην τὴν ἐντροπήν[3], ὡς μηδὲ ἀνανεύειν τολμᾶν καὶ προσβλέπειν ἑτέροις.

---

1. Ψαλ. 68,6. **2.** Πρβλ. Ψαλ. 68,7. **3.** Πρβλ. Ψαλ. 68,8.

9 «Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου»

Ἐγενόμην δὲ καὶ τῶν ἀδελφῶν μου πάντων ξένος καὶ ἀλλότριος, — λέγει δὲ τῶν λοιπῶν Ἰουδαίων, ὧν ἀπέστη τοῖς χείροσι προθεμένων, — «ἀδελφοῖς δὲ καὶ υἱοῖς μητρός»[1] τὸ αὐτὸ λέγει, ὡς τό «καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, καὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον»[2]. Διὰ τί δὲ τῶν συγγενῶν καὶ τῶν ἀδελφῶν ἀλλοτριωθῆναι ἠνέσχου;

10 «Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με»

Θεωρῶν γάρ σου τὸν οἶκον οὕτως ἐνυβριζόμενον καὶ βωμὸν μὲν ἐν αὐτῷ στάντα ἐπὶ τῷ τοῦ Διὸς ὀνόματι, θυσίας δὲ ἐπιτελουμένας εἰς θεραπείαν τῶν εἰδώλων, ζήλῳ καὶ ὀργῇ ληφθεὶς καὶ οὐδὲ ὁρᾶν ἐνεγκὼν ἀνεχώρησα. Μάλιστα δὲ ἁρμόττον τοῦτο τῷ Ματταθίᾳ[3], ὃς καὶ ἀνεῖλεν τὸν ἐπιτάττοντα σὺν τῷ θύοντι.

«Καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ' ἐμέ»

Τῶν μὲν καὶ χλευαζόντων τὴν εἴς σε θεραπείαν, λεγόντων δὲ προτιμοτέραν εἶναι τὴν τῶν εἰδώλων ἀκούων, οἰκεῖον ὄνειδος τὸ πρᾶγμα λογισάμενος ἠγανάκτουν· ἐμφαντικώτερον οὖν τό «ἐπέπεσον»[4], τῆς ἀκοῆς ὥσπερ ἐπενεχθείσης καὶ συντριψάσης τῇ ἀσθενείᾳ.

11 «Καὶ συνεκάλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου»

451 Ἐτράπην περὶ τὸ νηστεύειν ὑπὲρ τῶν γιγνομένων κακῶν. Τὸ γοῦν «συνεκάλυψα»[5], ἀντὶ τοῦ ἐταπείνωσα, συνέσφιγξα, — ἐκ μεταφορᾶς τῶν συγκαλυπτομένων καὶ συγκρυπτομένων.

«Καὶ ἐγενήθη εἰς ὀνειδισμὸν ἐμοί»

Καὶ ἐχλευαζόμην παρὰ τῶν ἐναντίων ἐπὶ τούτοις, ὡς εὐηθές τι καὶ ἀνωφελὲς διαπραττόμενος.

---

1. Ψαλ. 68,9. 2. Ψαλ. 49,20. 3. Πρβλ. Α' Μακκ. 2,1-2,19. 4. Ψαλ. 68,10. 5. Ψαλ. 68,11.

12 «Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον»

Καὶ ἐπένθουν ἐπὶ τοῖς γιγνομένοις κακοῖς· ἐπὶ πένθους γὰρ ἀεὶ λαμβάνει τὸν σάκκον[1].

«Καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν»

Καὶ ἐπὶ τούτοις ἐχλεύαζον οἱ δοκοῦντες οἰκεῖοι διηγούμενοι μὲν τὰς ἐμὰς συμφοράς, χλευάζοντες δὲ ὡς οὐδὲν ὠφεληθέντα, οὔτε ἀπὸ τῆς νηστείας οὔτε ἀπὸ τῶν λοιπῶν.

13 «Κατ' ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ»

Περὶ τὰς πύλας καὶ τὰ ἔσω μέρη τῆς πόλεως ἔθος ἦν τὸ παλαιὸν ποιεῖσθαι τὰς συνόδους τοῖς ἐν ταῖς πόλεσιν, — τοῦτο δὲ καὶ ἄχρι τῆς δεῦρο γίνεται ὡς ἐπὶ τὸ πολύ· περὶ γὰρ ἐκείνους τοὺς τόπους ἐξῄεσαν οἱ ταῖς κακηγορίαις μάλιστα χαίροντες. Συνιόντες οὖν φησιν ἀεί, τὰ ἐμὰ διηγοῦντο· τὸ γάρ «ἠδολέσχουν»[2], ἀντὶ τοῦ συνεχῶς καὶ ἀεὶ διηγοῦντο, — ἀδολεσχίαν γὰρ τὴν συνέχειαν λέγει.

«Καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον»

Τὸ γιγνόμενον εἶπεν· πίνοντές τε καὶ ᾄδοντές φησιν ὡς εἰκὸς ἐμὲ τῶν ᾀσμάτων εἶχον ἀφορμήν.

14 «Ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σέ, Κύριε»

452 Ἀλλ' οὐδέν μοι μέλει τῶν ὀνειδιζόντων, οὐδὲ ἀποστήσομαι τοῦ πρός σε βλέπειν καί σοι προσεύχεσθαι[3]· οἶδα γὰρ ὅτι κἂν ὑπερθῇ πρὸς τὸ βραχύ, βοηθήσεις πάντως ὅτε χρησίμως αὐτὸ ποιεῖν ἐπίστασαι.

«Καιρὸς εὐδοκίας, ὁ Θεός»

Ἀλλὰ καὶ ἐνέστησεν ὁ καιρός, — αὐτάρκως γὰρ πεπαιδεύμεθα, — ἀπαιτῶν λοιπὸν παρά σου τὴν εἰς ἡμᾶς βοήθειαν.

---

1. Πρβλ. Ψαλ. 68,12. **2.** Ψαλ. 68,13. **3.** Πρβλ. Ψαλ. 68,14.

«Ἐν τῷ πλήθει τοῦ ἐλέους σου· Ἐπάκουσόν μου ἐν ἀληθείᾳ τῆς σωτηρίας σου»

Πάλιν τῷ ἐλέῳ τὴν ἀλήθειαν ἐπισυνῆψεν. Ἐπάκουσόν μου, φησί, κατὰ τὴν σὴν φιλανθρωπίαν, τὴν ἀληθινὴν καὶ βεβαίαν μοι σωτηρίαν χαριζόμενος.

15 «Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ»

Τροπικῶς δὲ πάλιν λέγει τῶν συμφορῶν τὴν ἐπίτασιν. Ἀπόσπασόν με[1] τουτωνὶ τῶν δυσεκσπάστων κακῶν, ὥστε μὴ παντελῶς αὐτοῖς ἐναπομεῖναι.

«Ῥυσθείην ἐκ τῶν μισούντων με καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων»

Προλαβὼν εἶπεν ἄνω ὕδατα, καὶ βάθος τῆς θαλάσσης, καὶ καταιγίδα, καὶ ὕλην βυθοῦ[2]. Τῶν οὖν κατεσχηκότων μέ φησι κακῶν, ἀπάλλαξον τῆς φοβερᾶς αὐτῶν ἐφόδου, τῆς ἀγρίας ἐπιβουλῆς, τοῦ χαλεποῦ πλήθους.

16 «Μὴ μὲ καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ' ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ»

«Φρέαρ» καλεῖ τὰς τῶν ἐναν**453**τίων ἐπιβουλὰς ὅταν ὦσιν χαλεπαί, ὡς τῶν πολεμουμένων καὶ ἐπιβουλευομένων οὐδὲ διεξιέναι καὶ ἀπαλλάττεσθαι τῆς ἐπιβουλῆς δυναμένων ῥαδίως. Ἐπειδὴ τοίνυν εἰ ἐμφραγείη φρέατος στόμα[3], πάντη ἡ ἄνοδος τῷ κατεχομένῳ καθίσταται ἀδύνατος, μὴ ἐναποληφθείην αὐτῶν, φησί, τοῖς κακοῖς, ὥστε πάντη ἀδύνατόν μοι γενέσθαι τὴν ἐκεῖθεν ἀπαλλαγήν.

17 «Εἰσάκουσόν μου, Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου»

Ἄκουσον ἐν τοιούτοις ὄντος κακοῖς· καλλίστη γάρ σου ἡ φιλανθρωπία[4].

---

1. Πρβλ. Ψαλ. 68,15. **2.** Πρβλ. Ψαλ. 68,2-3. **3.** Πρβλ. Ψαλ. 68,16. **4.** Πρβλ. Ψαλ. 68,17.

17-18 «Κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ' ἐμέ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου»

Μόνον μὴ ἐπιμείνῃς ὀργιζόμενος, — ἐκ μεταφορᾶς τῶν ἐν ταῖς ὀργαῖς ἀποστρεφόντων τὰ πρόσωπα.

«Ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου»

Ὀξεῖαν παράσχου τὴν βοήθειαν διὰ τὴν κατέχουσαν θλῖψιν[1]· οὐ γὰρ ἐπιτρέπει τὰ κατέχοντα κακὰ γενέσθαι τινὰ ὑπέρθεσιν.

19 «Πρόσχες τῇ ψυχῇ μου καὶ λύτρωσαι αὐτήν»

Ἄφελε τῶν κακῶν καὶ ἀπάλλαξον.

«Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με»

Εἰ δὲ καὶ ὑπερτίθεσαι ὡς οὐκ ἀξίου ὄντος ἐμοῦ, ἀλλὰ διὰ τοὺς ἐναντίους ἀπάλλαξον[2].

20 «Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου καὶ τὴν αἰσχύνην μου καὶ τὴν ἐντροπήν μου»

Οἶδας γὰρ ὅπως μοι ὀνειδίζουσιν[3] ἀεὶ ὡς μάτην διά σε τοιαῦτα πάσχοντι, ἀλλὰ καὶ ὅπως ἐπὶ τούτοις αἰσχύνομαι, οὐδὲ ἀντιβλέπειν αὐτοῖς ὀνειδίζουσι διὰ τὸ πλῆθος τῶν συμφορῶν δυναμένῳ.

«Ἐναντίον σου πάντες οἱ θλίβοντές με»

454 Ὁρᾷς αὐτοὺς ἃ ποιοῦσιν.

21 «Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν»

Καὶ τὰ παρ' ἐκείνων βλέπεις καὶ τὰ κατ' ἐμέ, οὐκ ἀγνοεῖς ἐν ὅσοις κακοῖς γέγονά τε καὶ εἰμι, ὡς μηδὲ προσδοκίαν ἔχειν ἑτέραν ἢ ὀνειδισμοῦ καὶ ταλαιπωρίας[4]· ταῦτα γὰρ βλέπω πρὸ τῶν ὀφθαλμῶν καὶ ταῦτα φαντάζομαι.

«Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξεν, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον»

---

1. Πρβλ. Ψαλ. 68,18. **2.** Πρβλ. Ψαλ. 68,19. **3.** Πρβλ. Ψαλ. 68,20. **4.** Πρβλ. Ψαλ. 68,21.

Ἐζήτησα δέ τινα εὑρεῖν κοινωνοῦντά μοι τῆς λύπης καὶ παραμυθούμενον τῇ κοινωνίᾳ· ἦν δὲ οὐδείς, χείρονα περὶ ἐμὲ τῶν οἰκείων τὴν γνώμην ἐχόντων.

22 «Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος»

Ἐπειδὴ τὰ βρώματα καὶ τὰ πόματα ἡδέα μὲν γίνεται ἐν εὐφροσύνῃ, σκληρώδη δὲ καὶ πικρὰ ἐν ταῖς λύπαις, — τοιαῦτα ἦν φησι τὰ παρ' ἐκείνων, ὡς ὑπὸ τῆς ἀθυμίας καὶ τῆς ὀργῆς εἶναι μέν μοι ἐν τάξει τροφῆς τὴν χολήν, εἶναι δὲ καὶ τὸ ποτὸν ὄξους οὐδὲν διαλλάττον, — μάλιστα δὲ τοῦτο γίνεται ἐν ταῖς μετὰ ἀθυμίας ὀργαῖς, ὅπερ εἰκὸς ἦν πάσχειν αὐτοὺς κατὰ τῶν οἰκείων. Ἐχρήσατο δὲ
455 ὁ Εὐαγγελιστὴς ταύτῃ ἐπὶ τοῦ Κυρίου τῇ μαρτυρίᾳ, καὶ αὐτὸς δὲ ὁ Κύριος ὅτι «ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με»[1] περὶ αὐτοῦ λέγων, καὶ ὁ μακάριος Παῦλος περὶ τῶν Ἰουδαίων διαλεγόμενος τό «γενηθήτω ἡ τράπεζα αὐτῶν»[2] καὶ τὰ ἑξῆς, καὶ πάλιν «γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἔρημος»[3], καίτοι διαφόρων ὄντων τῶν πραγμάτων. Οὐχ ὡς τοῦ ψαλμοῦ νῦν μὲν περὶ τούτων εἰρημένου, αὖθις δὲ περὶ ἐκείνου καὶ πάλιν περὶ ἑτέρου, ἀλλ' ἐπειδὴ περὶ Ἰουδαίων εἴρηται τὰ πολλὰ ἀποστάντων τοῦ Θεοῦ καὶ τοῦ νόμου ἔλεγχον ἔχοντα τῆς ἐκείνων ἀγνωμοσύνης, ἀναγκαῖα τῶν μαρτυριῶν ἡ χρῆσις, ὁμοῦ τε ἀπὸ τῶν πραγμάτων λαμβανομένη — οἷον τό «ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος»[4]— καὶ ἔλεγχον ἔχουσα τῆς ἰουδαϊκῆς ἀγνωμοσύνης ὡς οὐ νῦν ἀρξαμένης, ἀλλ' ἄνωθεν ἐν τῇ θείᾳ Γραφῇ κηρυττομένης.

23 «Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα»

Τράπεζαν λέγει τὴν εὐφροσύνην, «παγίδα»[5] δὲ τὴν συμφοράν· τὴν οὖν τρυφὴν αὐτῶν καὶ τὴν ἄνεσιν, ἧς ἀπολαύειν δοκοῦσιν νῦν, εἰς συμφορὰν μετάβαλε.

«Καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον»

Σύμμαχος· 'καὶ εἰς τιμωρίαν', ὥστε συλληφθῆναι· καὶ ἀνταπο-

---

1. Ἰω. 2,17. Ψαλ. 68,10. **2.** Ρωμ. 11,9. Ψαλ. 68,23. **3.** Ψαλ. 68,26. **4.** Ψαλ. 68,22. **5.** Ψαλ. 68,23.

διδοὺς αὐτοῖς ὑπὲρ ὧν πράττουσιν, συμπτώματι κακῶν καὶ τιμωρίᾳ περίβαλε.

24 «Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν»

456 Τῷ πλήθει τῶν κακῶν οὕτω σκότισον αὐτούς, ὡς μηδὲ βλέπειν δύνασθαι[1].

«Καὶ τὸν νῶτον αὐτῶν διὰ παντὸς σύγκαμψον»

Καὶ μὴ διαλίποις συντρίβων αὐτοὺς καὶ ἅπασαν αὐτῶν συνθλῶν τὴν ἰσχύν, — ἐκ μεταφορᾶς τῶν ταῖς κατὰ τοῦ νώτου πληγαῖς συγκαμπτόντων καὶ συντριβόντων.

25 «Ἔκχεον ἐπ' αὐτοὺς τὴν ὀργήν σου»

Πᾶν εἶδος τιμωρίας κένωσον ἐπ' αὐτούς.

«Καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς»

«Θυμὸν ὀργῆς»[2] λέγει τὴν σφοδρὰν ὀργήν, ἀπὸ τοῦ ὀξυτέρους ἡμᾶς εἶναι θυμουμένους. Μὴ διαφύγοιέν φησι τῆς τιμωρίας σου τὴν ὀξύτητα· ἐπειδὴ γὰρ ὀργὴν μᾶλλον τὴν παραμονὴν λέγει τοῦ θυμοῦ, τὴν τιμωρίαν οὕτω καλεῖ ἀπὸ τοῦ παραμένοντας ταῖς ὀργαῖς ἐννοεῖν τὰς κατ' ἐκείνων τιμωρίας καθ' ὧν ἂν ὀργιζώμεθα.

26 «Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν»

Τὰ οἰκητήρια αὐτῶν ἀφάνισον, ὡς μὴ εἶναι τὸν κατοικοῦντα[3]. Βούλεται δὲ εἰπεῖν ὅτι πανωλέθριον τιμώρησαι ἅπαν αὐτῶν ἀφανίσας τὸ γένος, ὡς μηδὲ εἶναι τοὺς διαδεξομένους καὶ οἰκήσοντας ἐν ταῖς προσηκούσαις αὐτοῖς οἰκίαις.

27 «Ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίωξαν»

Οὐ γὰρ παθεῖν ἡμᾶς διὰ τὰς ἁμαρτίας ποιήσαντος εἰς ἐπιστρεφίαν πᾶσαν ἔθεντο σπουδήν, ὥστε **457** καὶ ἀνελεῖν τῇ οἰκείᾳ ὠμότητι ἕτερα καὶ παρὰ τά σοι δοκοῦντα ποιοῦντες εἰς ἡμᾶς.

---

1. Πρβλ. Ψαλ. 68,24. **2.** Πρβλ. Ψαλ. 68,25. **3.** Πρβλ. Ψαλ. 68,26.

«Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθησαν»

[689] Καὶ ἐπέκειντο πάντα δρῶντες καθ' ἡμῶν, ἀεὶ ταῖς προλαμβανούσαις συμφοραῖς[1] ἑτέρας ἐπάγοντες, καὶ οὐδέποτε λήγοντες τοῦ πρὸς ἡμᾶς πολέμου.

28 «Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν»

«'Ανομίαν» καλεῖ πολλαχοῦ τὴν συμφοράν, καὶ τοῦτο ἐδείξαμεν, ὡς τό «ἕως οὗ παρέλθῃ ἡ ἀνομία»[2], ὥσπερ οὖν ἐπαλλήλους ἡμῖν αὐτοὶ τὰς συμφορὰς ἐπῆγον, οὕτω καὶ αὐτοῖς ἐπάλληλος ἡ παρά σου τιμωρία ἐπαχθήτω, ἀεὶ τῇ προτέρᾳ προστιθεμένης ἑτέρας. 'Ανομίας δὲ αὐτὰς ἐκάλεσεν εἰκότως, ὡς ὑπὲρ ὧν ἥμαρτον εἰς αὐτοὺς μελλόντων πάσχειν δικαίως.

«Καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου»

Καὶ μὴ ἀπολαύσαιεν τῶν παρά σου ἀγαθῶν, μηδὲ μετάσχοιεν ὧνπερ ἡμῖν μεταδοῦναι μέλλεις. Δικαιοσύνην[3] δὲ αὐτὰ ἐκάλεσεν, ὡς δικαίως αὐτοῖς ὑπὲρ ὧν ἔπαθον δι' αὐτὸν δίδοσθαι μέλλοντα.

29 «'Εξαλειφθήτωσαν ἐκ βίβλου ζώντων»

Ληφθεῖεν, τουτέστιν ἀποθάνοιεν. Βίβλον δὲ λέγει ζώντων, ὡς τοῦ Θεοῦ ὥσπερ ἐν βίβλῳ τινὶ τοὺς ζῶντας[4] ἔχοντος καταλεγομένους, — ἐκ μεταφορᾶς τῶν βασιλέων τῶν ἐν ταῖς βίβλοις ἐχόντων ἐγγεγραμμένους τοὺς τῶν στρατιωτῶν καταλόγους.

«Καὶ μετὰ δικαίων μὴ γραφήτωσαν»

'Επειδὴ τὸ παλαιὸν παρὰ τοῖς 'Ιουδαίοις ἐγράφετο μάλιστα τῶν ἐναρέτων τελευτώντων τὰ ὀνόματα — ὃ **458** καὶ νῦν παρ' ἡμῖν ἐν ταῖς ἐκκλησίαις φυλάττεται, — καὶ τελευτήσαντες, φησί, μὴ ἀξιωθεῖεν τῆς τῶν δικαίων γραφῆς, τουτέστιν μηδενὸς ἡμῖν μετάσχοιεν καλοῦ.

30 «Πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγώ»

Εὐτελὴς καὶ θλιβόμενος[5].

1. Πρβλ. Ψαλ. 68,27. **2.** Ψαλ. 56,2. **3.** Πρβλ. Ψαλ. 68,28. **4.** Πρβλ. Ψαλ. 68,29. **5.** Πρβλ. Ψαλ. 68,30.

«Ἡ σωτηρία τοῦ προσώπου σου, ὁ Θεός, ἀντελάβετό μου»

Ἀλλ' ἐπιφανεὶς καὶ περισώσας, ἐβοήθησας καὶ ἐρρύσω τῶν κακῶν· εἴρηται γὰρ πολλαχοῦ ὅτι πρόσωπον τὴν ἐπιφάνειαν καλεῖ.

31 «Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ' ᾠδῆς»

Ὑμνήσω τοίνυν αὐτὸν[1] ὑπὲρ τούτων, μετ' ᾠδῆς τὸν ὕμνον ποιούμενος.

«Μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει»

Καὶ καθ' ὅσον οἷόν τε ἐν τοῖς ὕμνοις σπουδὴν θήσομαι πᾶν ὅτι μέγα φθέγξασθαι περὶ αὐτοῦ.

32 «Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς»

Ὁ δὲ ὕμνος οὗτος ὁ τῆς εὐχαριστίας ἡδύτερος αὐτῷ φανεῖται τῆς διὰ τῶν ἀλόγων προσαγωγῆς καὶ κρείττων πάσης μόσχου προσφορᾶς, — κἂν νέος εἶναι δοκῇ ἄρτι μέλλων ἐκφύειν τάς «ὁπλάς» καὶ τά «κέρατα»[2], ὡς τῶν τοιούτων δοκιμωτέρων ὄντων εἰς προσαγωγήν· ἐπισημαντέον μέντοι ὅτι κἀνταῦθα προτιμᾷ τῶν θυσιῶν τὸν ὕμνον.

33 «Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν»

Πάντες οὗτοι, οἱ νῦν κοινωνοῦντές μοι τῆς πτωχείας καὶ τῆς συμφορᾶς, θεασάμενοι ταῦτα κοινωνησάτωσαν καὶ τῆς εὐφροσύνης[3].

«Ἐκζητήσατε τὸν Θεόν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν»

459 Καλῶς ἐπὶ παραίνεσιν τρέπεται, καὶ ἀπὸ παραινέσεως εἰς ὕμνον, ὡς σύνηθες αὐτῷ. Μελησάτω ὑμῖν φησι τῶν τοῦ Θεοῦ προσταγμάτων, καὶ ἔργον ὑμῖν γενέσθω ζητεῖν τὰ τῷ Θεῷ ἀρέσκοντα· οὕτω γὰρ ἀπολαύσετε τῆς παρ' αὐτοῦ σωτηρίας.

---

1. Πρβλ. Ψαλ. 68,31. **2.** Ψαλ. 68,32. **3.** Πρβλ. Ψαλ. 68,33.

34 «Ὅτι εἰσήκουσεν τῶν πενήτων ὁ Κύριος καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν»

Μέλει γὰρ αὐτῷ τῶν εὐτελῶν[1].

35 «Αἰνέτωσαν αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς»

Ἀντὶ τοῦ τὰ πάντα αὐτὸν ὑμνείτω[2]· ἀπὸ γὰρ τῶν κυριωτέρων τὰ κατὰ μέρος συμπεριέλαβεν.

36 «Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας»

Οὗτος γὰρ ὁ περισώζων ἡμᾶς καὶ τὴν πόλιν ἀνιστῶν.

«Καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν»

Καὶ διαμενοῦσιν οἰκοῦντες ὡς ἐν ἰδίαις κτήσεσιν, οὐκέτι ὑπὸ ἀλλοτρίοις ὄντες· τοῦτο γὰρ λέγει τό «κληρονομήσουσιν»[3], ἐπειδὴ ἰδία τοῦ κληρονομοῦντος ἡ κτῆσις.

37 «Καὶ τὸ σπέρμα τῶν δούλων σου καθέξουσιν αὐτήν»

Καὶ οἱ ἐξ ἡμῶν διαδέξονται τὴν κτῆσιν.

«Καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου κατασκηνώσουσιν ἐν αὐτῇ»

Καὶ διαμενοῦσιν οἰκοῦντες[4] μάλιστα τῆς περί σε ἐλπίδος ἐπιμελόμενοι.

Ψαλμὸς 69

460 Ἐν ταῖς παρὰ τοῦ Ἀβεσσαλὼμ συμφοραῖς ὁ μακάριος Δαβὶδ[5] καθεστώς, προσευχόμενος ἐχρήσατο τῷ παρόντι ψαλμῷ.

2 «Ὁ Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες. Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον»

Μελησάτω σοι τοῦ βοηθῆσαί μοι, καὶ ὀξυτάτην παράσχου τὴν βοήθειαν[6].

---

1. Πρβλ. Ψαλ. 68,34. **2.** Πρβλ. Ψαλ. 68,35. **3.** Ψαλ. 68,36. **4.** Πρβλ. Ψαλ. 68,37. **5.** Πρβλ. Β' Βασ. κεφ. 15-18. **6.** Πρβλ. Ψαλ. 69,2.

3 «Αἰσχυνθήτωσαν καὶ ἐντραπήτωσαν οἱ ζητοῦντες τὴν ψυχήν μου»

Οἱ ἐρῶντές μου τοῦ θανάτου μὴ ἐπιτύχοιεν τοῦ σκοποῦ.

«Ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθήτωσαν οἱ βουλομένοί μοι κακά»

Μὴ διανύσαιεν ἃ σπουδάζουσι κατ' ἐμοῦ[1].

4 «Ἀποστραφήτωσαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι Εὖγε Εὖγε»

Οἱ εὐφραινόμενοι, φησίν, ἐπὶ ταῖς ἐμαῖς συμφοραῖς μὴ ἀπολαύσαιεν τῆς εὐφροσύνης· τὸ γάρ «εὖγε»[2] ἔθος ἐστὶ λέγειν τοῖς ἀνθρώποις, ὅταν τινὸς τύχωσι τῶν καθ' ἡδονήν. Πρέπων δὲ τῇ διαθέσει τοῦ μακαρίου Δαβὶδ ὁ ψαλμός· οὕτως γὰρ φαίνεται καὶ ἐν τῇ τῶν Βασιλειῶν ἱστορίᾳ ἑαυτοῦ ὑπερευξάμενος καὶ ὑπὲρ ἑαυτοῦ σπουδάσας, οὐ τοῦ Ἀβεσσαλὼμ κατευξάμενος.

5 «Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε, ὁ Θεός»

461 Οἱ μέντοι, φησί, τῶν σῶν φροντίζοντες βουλευμάτων εὐφρανθεῖεν[3], θεασάμενοι τῶν ἐμῶν κακῶν τὴν λύσιν. Καλῶς δὲ ζητοῦντας εἶπεν τὸν Κύριον τοὺς τὰ αὐτοῦ φρονοῦντας, ἐπειδὴ ἅπαντες αὐτῷ συνέπραττον καὶ συνήλγουν οἱ τοῦ ὀρθοῦ ἐπιμελόμενοι.

«Καὶ λεγέτωσαν διὰ παντὸς Μεγαλυνθήτω ὁ Θεός, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου»

Καὶ οἱ τὴν παρά σού φησι στέργοντες σωτηρίαν καὶ ταύτην ζητοῦντες, ἵνα εἴπῃ οἱ πρός σε βλέποντες, θεασάμενοί σου τὴν εἰς ἡμᾶς βοήθειαν, εἰπάτωσάν τε καὶ ὁμολογησάτωσαν τὸ μέγεθος τῆς σῆς δυνάμεως.

6 «Ἐγὼ δὲ πτωχὸς καὶ πένης· ὁ Θεός, βοήθησόν μοι»

Εὐτελὴς καὶ μικρός, καὶ διὰ τοῦτο μάλιστα τῆς σῆς δεόμενος βοηθείας.

---

1. Πρβλ. Ψαλ. 69,3. **2.** Ψαλ. 69,4. **3.** Πρβλ. Ψαλ. 69,5.

«Βοηθός μου καὶ ῥύστης μου εἶ σύ· Κύριε, μὴ χρονίσῃς»

Σὲ δὲ καὶ βοηθὸν[1] ἐπιγράφομαι, ὥστε δίκαιον μὴ βραδῦναι τὴν χάριν, καὶ διὰ τὰς συμφοράς, καὶ διὰ τὴν εἴς σε ἐλπίδα.

Ψαλμὸς 70

Τὰ κατὰ τὸν λαὸν προαγορεύει τὸν ἐν Βαβυλῶνι, ὅσα τε καὶ οἷα πείσονται λέγων, καὶ ὅτι εἰς διόρθωσιν αὐτοῖς ἔσται τοῦ βίου τὰ τῶν συμφορῶν. Ὑπαινίττεται δὲ ἅμα καὶ τὴν ἐπάνοδον· οὐδαμοῦ γὰρ ψιλὰς λέγει τὰς **462** συμφοράς, μὴ κἀκεῖνο προμηνύων, οὗ μάλιστα ἀναγκαία ἡ πρόῤῥησις Ἰουδαίοις οὖσιν ἀσθενεστέροις, ὥστε μὴ ἀπογνόντας ἀδιόρθωτον δέξασθαι τὸ κακόν, — ἅπαντα μέντοι συνήθως ἐκ τοῦ ἐκείνων λέγει προσώπου.

1 «Ἐπί σοι, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα»

Μὴ εἰς τὸ παντελὲς καταλίπῃς τοιαῦτα πάσχειν, ὥστε καὶ αἰσχύνεσθαι ἐπὶ τῇ τῶν κατεχόντων θρασύτητι, ὡς ουδὲν ἡμῶν ὠφεληθῆναι παρά σου δυνηθέντων· τοῦτο γὰρ σημαίνει τό «μὴ καταισχυνθείην»[2].

2 «Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με καὶ ἐξελοῦ με»

Καλῶς πρὸς τό «μὴ καταισχυνθείην»[3], «Ἐν τῇ δικαιοσύνῃ σου»[4]. Εἰ γὰρ καὶ εἴς σε ἥμαρτον, ἀλλὰ τούτων με δικαίως ἀπαλλάξεις, ὅτι τε οὐδεμίαν ἔχουσι γνῶσιν τῆς σῆς θεότητος, καὶ ὅτι μάτην ἡμᾶς ἀδικοῦσιν.

«Κλῖνον πρός με τὸ οὖς σου, καὶ σῶσόν με»

Φρόντισον ἀκοῦσαί μου τῆς προσευχῆς καὶ σῶσαί με, — ἐκ μεταφορᾶς τῶν κλινόντων τὸ οὖς ὅταν τι σπουδαίως ἀκούειν βούλωνται.

3 «Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν»

Ὡς Θεὸς κατὰ τό σοι πρέπον βοήθησον[5], — ἐκ μεταφορᾶς τῶν

---

1. Πρβλ. Ψαλ. 69,6. **2.** Ψαλ. 70,1. **3.** Ψαλ. 70,1. **4.** Ψαλ. 70,2. **5.** Πρβλ. Ψαλ. 70,3.

ἐν τοῖς πολέμοις προτιθέντων τὰς ἀσπίδας, καὶ ταύταις σκεπόντων τοὺς κινδυνεύοντας.

«Καὶ εἰς τόπον ὀχυρὸν τοῦ σῶσαί με»

Οὕτω, φησί, περίσωσον, μηδὲ ἐάσας παθεῖν, ὥσπερ οἱ ἐν τόποις ὀχυρωμένοις ἀσάλευτοι διαμένουσιν.

«Ὅτι στερέωμά μου καὶ καταφυγή μου εἶ σύ»

Ἡ στεῤῥότης, ἡ ἰσχύς, ἡ ἀπὸ τῶν κακῶν καταφυγή, πάντα μου σύ.

4 «Ὁ Θεός μου, ῥῦσαί με ἐκ χειρὸς ἁμαρτωλοῦ, ἐκ χειρὸς παρανομοῦντος καὶ ἀδικοῦντος»

463 Ἀπάλλαξόν με[1] τούτων τῶν κρατούντων καὶ ὑπὸ τὴν δουλείαν ὥσπερ χειρί τινι κρατούντων, ἀνδρῶν ἁμαρτίαις πεπληρωμένων, ἀνόμων τε καὶ ἀδίκων.

5 «Ὅτι σὺ εἶ ἡ ὑπομονή μου, Κύριε»

Σὲ γὰρ ἔχω προσδοκίαν καὶ ἐλπίδα τῆς βοηθείας[2].

«Κύριε, ἡ ἐλπίς μου ἐκ νεότητός μου»

Οὐ νῦν πρώτως, ἀλλὰ καὶ ἄνωθεν καὶ ἐξ ἀρχῆς· δέδεικται γὰρ ἡμῖν ἐν τῷ κδ΄ ψαλμῷ τὴν νεότητα[3] ἐπὶ τοῦ λαοῦ ὅτι τὸν ἐν Αἰγύπτῳ καλεῖ καιρόν.

6 «Ἐπὶ σὲ ἐπεστηρίχθην ἀπὸ γαστρός»

Πάντα στηριγμὸν καὶ βεβαίωσιν διά σου ἔσχον[4] ἐξ οὗ καὶ γεγέννημαι, τουτέστιν ἐξότε τὸ γένος συνέστηκεν. Ὥσπερ γὰρ νεότητα λέγει τὸν καιρὸν ἐκεῖνον ἐν συγκρίσει τοῦ παρόντος, οὕτω γέννησιν τὴν ἀρχὴν τῆς συστάσεως, ἣν ἐκ τῶν πατέρων ἔσχον.

«Ἐκ κοιλίας μητρός μου σύ μου εἶ σκεπαστής»

Ἐξότε ὅλως ἐκ τῶν πατέρων προήλθομεν. Σημαίνει δὲ διὰ

---

1. Πρβλ. Ψαλ. 70,4. **2.** Πρβλ. Ψαλ. 70,5. **3.** Πρβλ. Ψαλ. 24,7. **4.** Πρβλ. Ψαλ. 70,6.

τούτων ὅτι καὶ ἐν Αἰγύπτῳ ὄντων προενόει, μᾶλλον δὲ καὶ αὐτὴν τὴν εἴσοδον ἀπὸ προνοίας ἐποιήσατο· ἤδη γὰρ συνειστήκει τὸ γένος, εἰ καὶ ἐν ὀλίγοις τέως, — διέθρεψε γὰρ αὐτοὺς ἐν τοσαύτῃ λιμῷ, ἔτι καὶ τὴν κρείττονα τῆς Αἰγύπτου κατέχειν γῆν παρασκευάσας.

«Ἐν σοὶ ἡ ὕμνησίς μου διὰ παντός»

464 Εἴ τίς μοι ὕμνος καὶ ἔπαινος προσγέγονέ ποτε παρὰ τῶν θαυμαζόντων με, διὰ τὰς παρά σου γέγονεν εὐεργεσίας· ταύταις γὰρ ἀεὶ περίβλεπτος ἐφάνην.

7 «Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς»

Ἀλλ᾽ ἰδοὺ νῦν, ὁ οὕτω πᾶσι περίβλεπτος, ἐν τέρατός εἰμι τάξει τοῖς ἀνθρώποις[1], πάντων διὰ τὰς συμφορὰς ὥσπερ τι σημεῖον καὶ τὸ ὁρᾶν ἀποτρεπομένων· διὰ γὰρ τὸ μέγεθος τῆς συμφορᾶς σύμβολον κακὸν ἡγοῦνταί μου τὴν θέαν.

«Καὶ σὺ βοηθὸς κραταιός»

Καίτοι, φησί, σοῦ τοῦ ἀεὶ βοηθοῦντός μου, ἰσχυροῦ τε ἄγαν ὄντος καὶ κραταιοῦ, ὥστε μὴ εἶναι ὑπονοεῖν μήποτε διὰ τὴν τοῦ βοηθοῦντός μοι ἀτονίαν, ταῦτα ὑπομένομεν.

8 «Πληρωθήτω τὸ στόμα μου αἰνέσεως»

Οὐκοῦν ἐπειδὴ δύνῃ, ὕμνων πλήρωσόν μου τὸ στόμα[2]. Βούλεται δὲ εἰπεῖν ὅτι εὐεργέτησόν με· αἱ γὰρ εὐεργεσίαι εἰς ὕμνους ἐκκαλοῦνται.

«Ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου»

Ὥστε με διηνεκῶς ἐπαινεῖν καὶ θαυμάζειν ὅπως μὲν ἐπίδοξος εἶ, ὅπως δὲ μεγαλοπρεπὴς καὶ θαυμάσιος.

9 «Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως»

Νεότητα καλεῖ τὸν ἐν Αἰγύπτῳ καιρόν, ἐν παραθέσει τοῦ τότε

---

1. Πρβλ. Ψαλ. 70,7. **2.** Πρβλ. Ψαλ. 70,8.

καλῶς γῆρας ἐκεῖνον καλῶν τὸν χρόνον. **465** Μὴ νῦν με, φησί, μετὰ τοσοῦτον χρόνον καὶ τοσαύτην κηδεμονίαν ἀποῤῥίψῃς[1], καὶ ἔξω ποιήσῃς τῆς σῆς προνοίας.

«Ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν μου, μὴ ἐγκαταλίπῃς με»

Ἀσθενήσαντα λοιπὸν καὶ ἐνδόντα πρὸς τὰ κακὰ μὴ ἀφῇς.

10-11 «Ὅτι εἶπαν οἱ ἐχθροί μου ἐμοὶ καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτὸ λέγοντες Ὁ Θεὸς ἐγκατέλιπεν αὐτόν· καταδιώξατε καὶ καταλάβετε αὐτόν, ὅτι οὐκ ἔστιν ὁ ῥυόμενος»

Ἰδοὺ γὰρ οἱ πολέμιοι καὶ πάντα ποιοῦντες καὶ παραφυλάττοντες ὅπως ἂν μου καὶ τὴν ψυχὴν ἀφέλωσιν τῷ πλήθει τῷ τῶν συμφορῶν, συνιόντες ἀεὶ κατὰ ταὐτὸ λέγουσιν, Οὐκέτι μέλει αὐτῶν τῷ Θεῷ, κρατήσατε, συνθλίψατε, ἀνέλετε· οὐ γάρ ἐστιν ὁ ἐπαμύνων αὐτοῖς[2]. Βούλεται δὲ εἰπεῖν ὅτι ἀλλήλοις ἐγκελεύονται καὶ παρορμῶσιν ἀλλήλους κατ' ἐμοῦ.

12 «Ὁ Θεός, μὴ μακρύνῃς ἀπ' ἐμοῦ»

Ἀλλ' εἰ καὶ ταῦτά φασιν ἐκεῖνοι καὶ ἔργῳ μοι ἐπιθῶνται, μὴ μακρύνῃς τοῦ πάλιν τὴν σὴν προσνεῖμαι βοήθειαν.

«Ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσχες»

Μελησάτω δέ σοι τοῦ βοηθῆσαί μου[3].

13 «Αἰσχυνθήτωσαν καὶ ἐκλιπέτωσαν οἱ ἐνδιαβάλλοντες τὴν ψυχήν μου»

Σύμμαχος· 'οἱ ἀντικείμενοι τῇ ψυχῇ'· ἴδιον γὰρ τῶν ἀντικειμένων τισὶ τὸ διαβάλλειν αὐτοὺς ἀεὶ πειρᾶσθαι. Ὡς οὖν πολλῶν ὄντων τῶν πολλὰ λεγόντων τότε καὶ διαβαλλόντων εἰς τὸ μῖσος ἐγεῖραι κατ' αὐτῶν, τοῦτο ἔφησεν «Αἰσχυνθήτωσαν»[4] οὖν οὗτοι, μηδενὸς αὐτοῖς εἰς πέρας ἀγομένου.

---

1. Πρβλ. Ψαλ. 70,9. **2.** Πρβλ. Ψαλ. 70,11. **3.** Πρβλ. Ψαλ. 70,12. **4.** Ψαλ. 70,13.

«Περιβαλέσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ ζητοῦντες τὰ κακά μοι»

Οἱ πάντα πράττοντες εἰς τὸ κακοῖς με περιβαλεῖν.

14 «Ἐγὼ δὲ διὰ παντὸς ἐλπιῶ ἐπὶ σέ»

466 Διαμένω γὰρ τῆς εἴς σε ἐλπίδος ἐχόμενος[1]. Καλῶς τοῦτο ὡς παρὰ τοῦ λαοῦ διὰ τὰς ἁμαρτίας ὄντος ἐν τῇ συμφορᾷ καὶ ἐπαγγελλομένου τοῦ λοιποῦ τὴν διόρθωσιν.

«Καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου»

Καὶ οὐκ ἀποστήσομαι τῶν εἴς σε ὕμνων ἀρκούμενος τῷ ἅπαξ ἢ δεύτερον τοῦτο ποιῆσαι, ἀλλὰ διαμένω προστιθεὶς τοῖς πρώτοις τὰ δεύτερα.

15 «Τὸ στόμα μου ἀναγγελεῖ τὴν δικαιοσύνην σου»

Διατελέσω διηγούμενος ὅπως μετὰ πολλοῦ τοῦ δικαίου τοὺς ἐχθροὺς τιμωρησάμενος ἡμᾶς περιέσωσας.

15-16 «Ὅλην τὴν ἡμέραν τὴν σωτηρίαν σου, ὅτι οὐκ ἔγνων γραμματείας. Εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου»

Σαφέστερον Σύμμαχος· 'οὐ γὰρ οἶδα ἐξαριθμῆσαι'. Κἂν γὰρ διηνεκῆ φησι τὴν εἴς σε εὐχαριστίαν ποιώμεθα, οὐδὲ οὕτως ἀριθμῷ τὰς παρά σου χάριτας ὑποβαλεῖν δυνησόμεθα πᾶσαν ὑπερβαινούσας διήγησιν. «Γραμματείας»[2] δὲ εἶπεν, ἐπειδὴ τοῖς λεγομένοις τότε γραμματεῦσιν ἔργον ἦν τὸ τοὺς ἀριθμοὺς ἔχειν καὶ τοὺς καταλόγους τῶν στρατιωτῶν, καὶ ὅλως ἅπαντα πράττειν τὰ βασιλικά.

16 «Κύριε, μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου»

Καί σε ὡς δίκαιον κριτὴν καὶ εὐεργέτην μόνον ἐπιγνώσομαι[3], οὐκέτι καὶ τοῖς εἰδώλοις προσκυνῶν, — ὅπερ οἱ πατέρες φαίνονται πεποιηκότες μετὰ τὴν ἐξ Αἰγύπτου ἀναχώρησιν, τοῖς εἰδώλοις

---

1. Πρβλ. Ψαλ. 70,14. **2.** Ψαλ. 70,15. **3.** Πρβλ. Ψαλ. 70,16.

τὴν χάριν περιάψαντες· ἔδει γὰρ τῶν ἄνωθεν μνημονεύσαντας ἐκ παραθέσεως ἐπαγγείλασθαι τὸ διάφορον.

17 «Ἐδίδαξάς με, ὁ Θεός, ἐκ νεότητός μου καὶ μέχρι νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου»

467 Τοὐναντίον γὰρ ἄνωθεν τὴν ἀρχὴν ποιησάμενος, ἅπαντα τὰ εἰς τὸ γένος γενόμενα διηγήσομαι[1].

18 «Καὶ ἕως γήρους καὶ πρεσβείου»

Μόνον μή με ἀφεὶς νῦν ἐν αὐτοῖς τοῖς ἐσχάτοις καὶ μετὰ τοσοῦτον χρόνον.

«Ὁ Θεός, μὴ ἐγκαταλίπῃς με, ἕως οὗ ἀναγγείλω τὸν βραχίονά σου πάσῃ τῇ γενεᾷ τῇ ἐρχομένῃ τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου»

Τό «ἕως» οὐκ ἔστιν ὁριστικόν. Οὐ γὰρ τοῦτο λέγει, ὅτι μέχρι τότε μὴ ἐναφῇς, μετὰ δὲ ταῦτα ἄφες, — ἀτοπώτατον γάρ, — ἀλλ' ἀντὶ τοῦ βοήθησόν μοι καὶ νῦν συνήθως, ἵνα λαβὼν καιρὸν διηγήσωμαί σου τὴν ἰσχύν, εἴπω δὲ καὶ μεθ' ὅσης δυνάμεως δικαιοτάτην ἡμῖν τῶν πολεμίων ἐχαρίσω τὴν ἀπαλλαγήν, ἐπὶ τῷ καὶ τῇ μεθ' ἡμᾶς γενεᾷ μνήμῃ παραδοθῆναι τὰ γενόμενα διὰ τῆς ἡμετέρας διηγήσεως. Τὸ οὖν «τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου»[2] συνῆπται κατὰ τὴν διάνοιαν τῷ «ἕως οὗ ἀναγγείλω τὸν βραχίονά σου», διὰ μέσου δὲ τό «τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ» τρίτον ὂν τῇ δυνάμει τοῦ νοήματος, ἵνα ᾖ «ἕως οὗ ἀναγγείλω τὸν βραχίονά σου, τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου τῇ γενεᾷ πάσῃ τῇ ἐρχομένῃ».

19 «Ὁ Θεός, ἕως ὑψίστων ἃ ἐποίησας μεγαλεῖα»

«Ἃ ἐποίησας»[3] θαυμάσιά σού φησι τοιαῦτα, ὡς μέχρι «τῶν ὑψίστων» εἶναι, — ἵνα εἴπῃ ὑψηλά.

«Ὁ Θεός, τίς ὅμοιός σοι;»

Οὐδεὶς γάρ σοι παραπλήσιος.

1. Πρβλ. Ψαλ. 70,17. **2.** Ψαλ. 70,18. **3.** Ψαλ. 70,19.

20 «Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακάς, καὶ ἐπιστρέψας ἐζωοποίησάς με»

468 Ἀλλ' οὐκ ἀφῆκας πάσχειν ἀεί· μεταβαλόμενος γὰρ ἐῤῥύσω τῶν θανάτων καὶ τῶν κινδύνων[1], — ἐκ μεταφορᾶς τῶν ὁδόν τινα ποιουμένων, εἶτα, ὅταν μεταμεληθῶσιν, ἐπιστρεφόντων.

21 «Καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με»

Καὶ μονονουχὶ ἐν τῷ βαθυτέρῳ τῆς γῆς γενομένους καὶ καταποθέντας, ὅσον ἀπὸ τοῦ πλήθους τῶν κινδύνων ἐξέσπασας[2].

«Ἐπλεόνασας τὴν μεγαλωσύνην σου»

Πολλήν σου τὴν δύναμιν ἐπεδείξω τῆς εἰς ἡμᾶς εὐεργεσίας.

«Καὶ ἐπιστρέψας παρεκάλεσάς με καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς πάλιν ἀνήγαγές με»

Δευτεροῖ τὴν εὐεργεσίαν ὡς ἀξίαν τοῦ πολλάκις λέγεσθαι.

22 «Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι»

Τό «γάρ» οὐ πάντως κατὰ ἀκολουθίαν κεῖται, ἀλλ' ἀπὸ τοῦ ἰδιώματος πολλαχοῦ προσέῤῥιπται — ὡς τό «Γῆ ἐσείσθη καὶ γὰρ οἱ οὐρανοί»[3], ἀντὶ τοῦ γῆ ἐσείετο καὶ οἱ οὐρανοί. Οὕτως κἀνταῦθα «Καὶ γὰρ ἐγώ»[4], ἀντὶ τοῦ καὶ ἐγώ. Οὕτως λέγει Σύμμαχος 'κἀγὼ οὖν ἐξομολογήσομαί σοι', — ὑπὸ τούτων, φησί, διαπράξομαι κἀγὼ τὸ προσῆκον ἐμοί. Τί δὲ τοῦτο; Ἡ εἷς σε εὐχαριστία.

«Ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός»

Σκεύη λέγει ψαλμοῦ τὰ ὄργανα δι' ὧν ἔψαλλον, τύμπανον καὶ ὄργανον, ψαλτήριον καὶ κιθάραν, καὶ εἴ τι τοιοῦτον. Διὰ πάντων οὖν τούτων φησὶ τὴν ἀληθινήν σου καὶ θαυμαστὴν βοήθειαν αἰτήσομαι.

---

1. Πρβλ. Ψαλ. 70,20. **2.** Πρβλ. Ψαλ. 70,21. **3.** Ψαλ. 67,9. **4.** Ψαλ. 70,22.

«Ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ»

469 Τοὺς διὰ ταύτης ὕμνους ἀποδώσω σοι· ἡρμήνευσε δὲ τὸ ἐν σκεύεσι.

23 «Ἀγαλλιάσονται τὰ χείλη μου, ὅταν ψαλῶ σοι»

Καὶ αὐτὸ δέ φησι, τὸ ὑμνῆσαί σε, οὐ μικρὰν ἐμοὶ παρέξεται τὴν εὐφροσύνην[1].

«Καὶ ἡ ψυχή μου, ἣν ἐλυτρώσω»

Πολλῆς φησι καὶ αὕτη μεθέξει τῆς χαρᾶς, ἥτις ἀπαλλαγεῖσα τῶν κακῶν διὰ τῆς σῆς βοηθείας ἀφ' ὧν ἀπήλαυσεν οἶδεν τὴν χάριν.

24 «Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου, ὅταν αἰσχυνθῶσιν καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι»

Ὅπερ εἶπεν διὰ τοῦ «προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσιν»[2], τὸ αὐτὸ κἀνταῦθα λέγει. Καὶ οὐχ ἅπαξ αὐτὸ ποιήσας παύσομαι, ἀλλ' ἔτι καὶ ἔτι προσθήσω, καὶ ποιήσομαι διηνεκῆ τῆς σῆς εὐεργεσίας τὴν διήγησιν, ἐπειδὰν ἀπαλλαγῶ μὲν ἐγὼ τῶν κακῶν, «αἰσχυνθῶσιν»[3] δὲ οἱ νῦν ὀνειδίζοντες καὶ ὀχλοῦντες τῶν προσδοκωμένων εἰς πέρας ἐξελθεῖν δυνηθέντος.

Ψαλμὸς 71

Τινὲς ἔφασαν τοῦ ψαλμοῦ τὰ μὲν εἶναι εἰς τὸν Σολομῶντα, τὰ δὲ εἰς τὸν Χριστόν, — ἔστι δὲ τὸ πᾶν γέλως· οὔτε γὰρ ἔπρεπεν ταῖς περὶ τοῦ Χριστοῦ προφητείαις τὰ περὶ ἀνθρώπων συναναμεμίχθαι. Τοῦτο γὰρ οὐδαμοῦ τῶν περὶ τοῦ ‹Χριστοῦ› ψαλμῶν ἐστιν εὑρεῖν· εἰσὶ δὲ οἱ αὐτοῦ ἴδιοι **470** καὶ διόλου προσήκοντες αὐτῷ. Πῶς δὲ οὐχὶ κἀκεῖνο παγγέλοιον τὸ τὰ μὲν ἑρμηνεύειν ἐπὶ τοῦ Σολομῶντος, τὰ δὲ ἐπὶ τοῦ Χριστοῦ, πάλιν τε ἐπ' ἐκεῖνον μεθίστασθαι καὶ πάλιν ἐπὶ τοῦτον χωρεῖν, καὶ μονονουχὶ ἐπὶ ἀδελφῶν ἐξ

---

1. Πρβλ. Ψαλ. 70,23. **2.** Ψαλ. 70,14. **3.** Ψαλ. 70,24.

ἴσου διελομένων τὴν δόξαν τὴν ἑρμηνείαν ποιεῖσθαι τοῦ ψαλμοῦ; Αἴτιον δὲ τούτου γεγένηται τὸ τοὺς ἑρμηνεύοντας ἐπὶ τῶν ῥητῶν γιγνομένους τοῦ ψαλμοῦ τῇ λέξει δουλεύειν καὶ μὴ τὴν διάνοιαν περισκοπεῖν, — ὃ δὴ μάλιστα πολλάκις ἐν τοῖς ψαλμοῖς εὑρίσκεται, οἷον λέγει «τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς»[1] καὶ ποῖαι ἀνατολαὶ ἐπάνω τῶν οὐρανῶν; Ἀλλ' ἀπὸ τῆς διανοίας ἡ λύσις εὑρίσκεται· Σύμμαχος γάρ, φησίν, 'ἐκ πρώτης', ὡς δῆλον εἶναι ὅτι διὰ τὸ ἀρχὴν εἶναι τῆς ἡμέρας τὴν ἀνατολὴν τό 'ἐκ πρώτης' καί 'ἐξ ἀρχῆς' «ἀνατολάς» ἐκάλεσεν. Ἔστι δὲ ὁ ψαλμὸς οὐδὲ ἰδικῶς ἁπλῶς εἰς τὸν Σολομῶντα· πάντες γὰρ οἱ ψαλμοὶ τοῦ μακαρίου Δαβὶδ πρὸς τὴν ὠφέλειαν τοῦ κοινοῦ βλέπουσιν, ὥστε οὐδὲ μέγα τι ἔχων φανεῖται εἰ μέλλοι περὶ ἑνὸς εἶναι προφητεία. Τί οὖν ἐστιν;

Βασιλεὺς ὢν ὁ μακάριος Δαβὶδ καὶ δίκαιος καὶ προφήτης πολλὴν εἶχεν τοῦ λαοῦ φροντίδα, καὶ ἔμελεν αὐτῷ μετὰ τὴν αὐτοῦ τελευτὴν ὅπως ἂν τὰ κατὰ τὸν λαὸν διοικεῖσθαι μέλλοι. Ἐπιθυμοῦντι δὴ περὶ τούτων καὶ εὐχομένῳ ἐμήνυσεν ὁ Θεὸς ὡς ὁ διαδεξόμενος αὐτὸν υἱὸς τιμῆς τε καὶ δόξης πολλῆς ἀξιωθήσεται καὶ ἐν εἰρήνῃ βαθυτάτῃ διατελέσει, καὶ τοῦ δικαίου ἐπιμελήσεται, καὶ ἐν εὐθηνίᾳ πολλῇ ἔσται ὁ λαὸς καὶ δόξῃ καὶ τιμῇ δι' αὐτόν. Ἐπὶ τούτοις ἡσθεὶς ὁ μακάριος Δαβὶδ τὰ μὲν προφητεύει, τὰ δὲ εὔχεται, — τῇ μὲν προφητείᾳ ὅτι ἔσται σημαίνων, τῇ δὲ προσευχῇ ὥστε διαμεῖναι αἰτῶν, — ὥσπερ οὖν καὶ ἕτερα πολλὰ προαγορεύων, ἐν προσευχῆς εἴδει γενέσθαι αἰτῶν, ὅτι ἔσται σημαίνων, τοὺς τότε παιδεύων μὴ ἀρκεῖσθαι τοῦ γνῶναι ὅτι ἔσται, αἰτεῖν δὲ ὡς ἂν καὶ γένοιτο, ἐπὶ τὸ καὶ σπουδάζειν αὐτοὺς ἀξίους ἑαυτοὺς τῶν προρρηθέντων κατασκευάζειν τῇ τοῦ βίου ὀρθότητι, τοιοῦτοι πολλοὶ μὲν τῶν περὶ τοῦ ἐν Βαβυλῶνι λαοῦ, πολλοὶ δὲ καὶ τῶν περὶ τοῦ Ἐζεκίου. Ἔστιν οὖν καὶ οὗτος οὐχ ἁπλῶς εἰς τὸν Σολομῶντα ὁ ψαλμός, ἀλλ' ὑπὲρ τοῦ κοινοῦ εἰς τὰ κατ' αὐτόν.

1 «Ὁ Θεός, τὸ κρίμα σου τῷ Βασιλεῖ δὸς καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως»

---

1. Ψαλ. 67,34.

Ἐπειδὴ πρὸ τούτων μάλιστα ἐπιτηδείαν σοφίαν ἐδέξατο παρὰ τοῦ Θεοῦ, συνετῶς τε κρίνων καὶ δικαίως, — ἁπάντων δὲ ἦν τοῦτο βασιλεῖ προτιμότερον καὶ πρὸς τὴν κοινὴν λυσιτέλειαν συμβαλλόμενον, — **471** τοῦτο μάλιστα καὶ πρὸ πάντων εὔχεται αὐτῷ προσεῖναι. «Τῷ βασιλεῖ»[1] οὖν φησι καὶ τῷ τούτου βασιλεῖ υἱῷ, ἵνα εἴπῃ τῷ μέλλοντι διαδέχεσθαι, καὶ δύναμιν δὸς τοῦ κρίνειν καὶ γνώμην τοῦ δικαίως κρίνειν.

2 «Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ καὶ τοὺς πτωχούς σου ἐν κρίσει»

Ἐὰν γὰρ τούτων, φησί, τύχῃ παρά σου, μετὰ τοῦ δικαίου ποιήσεται τοῦ λαοῦ τὴν ἐξέτασιν[2], καὶ ἐπαμυνεῖ τοῖς πτωχοῖς ἀδικουμένοις ὑπὸ τῶν δυνατωτέρων.

3 «Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ σου καὶ οἱ βουνοὶ ἐν δικαιοσύνῃ»

Ἔδειξεν ἐντεῦθεν μάλιστα ὅτι ὑπὲρ τοῦ κοινοῦ προσεύχεται· πάντα, φησί, πληρωθήτω εἰρήνης[3].

4 «Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ»

Καὶ παρὰ πᾶσι κρατείτω τὸ δίκαιον. Πῶς οὖν τοῦτο γένηται;

«Καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων»

Δικαιώσει τε γὰρ αὐτοὺς ἀδικουμένους, «καὶ σώσει»[4] κινδυνεύοντας διὰ τὴν πενίαν.

«Καὶ ταπεινώσει συκοφάντην»

«Συκοφάντην» λέγει τὸν ἐπηρεάζοντα, ἐπειδὴ ἴδιον τῶν συκοφαντούντων τὸ ἐπηρεάζειν. Τιμωρήσεταί φησι τοὺς ἀδικοῦντας· οὕτως οὖν τὰ πάντα καθέξει εἰρήνη καὶ δικαιοσύνη, ὅτε τοιαῦτα ποιεῖ τῇ χορηγίᾳ τῆς παρά σου σοφίας.

5 «Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ»

Οἱ περὶ τοῦ Σολομῶντος ψιλῶς οἰηθέντες εἰρῆσθαι τὸν ψαλ-

---

1. Ψαλ. 71,1. **2.** Πρβλ. Ψαλ. 71,2. **3.** Πρβλ. Ψαλ. 71,3. **4.** Ψαλ. 71,4.

μόν, τοῦτο ὡς οὐχ ἁρμόττον ἐκείνῳ τὸ ῥητὸν ἔλαβον περὶ τοῦ Χριστοῦ. Ἔστι δὲ οὐχ οὕτως· πρὸς γὰρ τό «Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ καὶ οἱ βουνοὶ δικαιοσύνην»[1] καὶ τὰ ἑξῆς ἔχει τὴν ἀκολουθίαν. Ἐκείνου γάρ, φησίν, οὕτω πράττοντος καὶ τοῖς πένησιν ἐπαμύ472νοντος καὶ τιμωρουμένου τοὺς ἀδικοῦντας, ἡ εἰρήνη βαθεῖα παραμενεῖ καὶ τὸ δίκαιον παραπλήσιον τῷ ἡλίῳ διαμονὴν ἔχοντα· ἀνάγκη γὰρ ἦν τοῦ βασιλέως ἐπιμελομένου τῶν πρεπόντων κρατεῖν τὸ καλόν. Ὡς οὖν οὐχ οἷόν τε, φησί, παύσασθαι τὸν ἥλιον τοῦ τε ἀνατέλλειν καὶ φαίνειν, οὕτως οὐχ οἷόν τε τοῦ βασιλέως τῇ σῇ βοηθείᾳ τούτων ἐπιμελομένου παύσασθαι κρατοῦσαν τὴν εἰρήνην. Τὸ οὖν «συμπαραμενεῖ τῷ ἡλίῳ»[2] οὐ περὶ τοῦ Σολομῶντος λέγει, ἀλλὰ περὶ τῆς εἰρήνης καὶ τοῦ δικαίου, ὡς οὕτω κρατησάντων ὑπ' αὐτοῦ μέχρι ἂν ἄγηται ὑπὸ τῆς τοῦ Θεοῦ σοφίας.

«Καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν»

[689] Τό «πρό» οὐχ ὡς ἐπὶ χρόνου λέγει, ὥς τινες ᾠήθησαν, ἐπεὶ ποίαν ἕξει πρὸς τὸ παραμένειν ἀκολουθίαν; «Συμπαραμενεῖ» γάρ, φησί, «τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν». Τὸ μὲν γὰρ συμπαραμένειν εἰς τὸ ἑξῆς λέγεται, τὸ δὲ πρὸ ἐπὶ τῶν προλαβόντων· οὐδεὶς οὖν λέγει ὅτι πρὸ τοῦδε συμπαραμενεῖ ἀλλ' εἰ ἄρα αὐτῷ συμπαραμενεῖ. Εἰ δέ τις τό «συμπαραμενεῖ» μὴ βούλοιτο κατὰ κοινοῦ νοεῖσθαι, τό «καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν» οὐδὲν ποιήσει ἀλλ' ἢ χωλὸν καὶ ἀπλήρωτον ἔχον τὴν διάνοιαν· οὐ γὰρ συνῆπται αὐτῷ ὅτι ἐστίν, ὅτι ὑπάρχει, ἢ ὅτι ἦν, ἤ τι τοιοῦτον. Τὸ μὲν οὖν «συμπαραμενεῖ» κατὰ κοινοῦ λέγει, τὸ δὲ πρὸ οὐχ ἐπὶ τῆς τοῦ χρόνου λέγει ὑπεροχῆς, ἀλλ' ἐπὶ τῆς κατ' αὐτὸ τὸ διαμένειν. Διαμενεῖ τοίνυν, φησί, καὶ διαφυλαχθήσονται ἡ εἰρήνη καὶ τὸ δίκαιον ἴσα τῷ ἡλίῳ λάμποντα καὶ ὑπὲρ τὴν σελήνην, ὥστε καὶ προέχειν τῆς σελήνης κατὰ τοῦτο. Διὰ τί δὲ καὶ προέχει τῆς σελήνης; Ὅτι ἡ μὲν ἔχει καὶ μειώσεως πολλοὺς καιρούς, αὕτη δὲ ἐν τῷ διαμένειν ἀεὶ καὶ αὔξειν φυλάττεται. Τὸ δέ «γενεὰς γενεῶν» κατὰ τὸ οἰκεῖον ἰδίωμα εἶπεν, ἀντὶ τοῦ ἐπὶ πολύ.

---

1. Ψαλ. 71,3. **2.** Ψαλ. 71,5.

6 «Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν»

Ἔσται γὰρ καὶ ἡδὺς καὶ εὐπαράδεκτος παντὶ τῷ πλήθει, τοῦ ὀρθοῦ καὶ τοῦ δικαίου ἐπιμελούμενος οὐκ ἔλαττον σταγόνας ὑετῶν πόκῳ τε καὶ γῇ φερομένας προσίεται[1].

7 «Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη»

473 [692] Ἔδειξεν ὅτι τό «συμπαραμενεῖ τῷ ἡλίῳ»[2] ἐπὶ τῆς εἰρήνης εἶπεν καὶ τοῦ δικαίου. Ἐχρήσατο οὖν καὶ τῇ ὁμοιότητι, τό «ἀνατελεῖ»[3] ὡς ἐπὶ τοῦ ἡλίου εἰπὼν ἀντὶ τοῦ φανήσεται· οὕτω λάμψει, φησίν, ὡς ὁ ἥλιος.

«Καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη»

Νῦν οὖν αὐτὸ ἐδήλωσε σαφέστερον. Καὶ οὕτω, φησί, βαθεῖα τὰ πάντα καθέξει ἡ εἰρήνη διὰ τὴν παρά σου κηδεμονίαν, ὡς ὁμοίως ἀδύνατον εἶναι λυθῆναί τε τὴν ἐπ' αὐτοῦ εἰρήνην καὶ τῆς σελήνης τὴν ὕπαρξιν. Ταῖς δὲ ὑπερβολαῖς ἐπὶ τῶν τοιούτων ἔθος κεχρῆσθαι τῇ θείᾳ Γραφῇ, — ὡς καὶ ἐν τῷ πη' ψαλμῷ τό «θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ»[4], ὑπερβολικώτερον εἰπὼν τὸ τὴν βασιλείαν ἐν τοῖς διαδόχοις τοῦ Δαβὶδ ἴσα τῷ οὐρανῷ ἀδιάλυτον παραμένειν, καὶ ἑξῆς δὲ πάλιν «καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα»[5], — ἅπερ κατὰ μὲν τὸ ἀκριβὲς οὐχ οὕτω γέγονεν, ὑπερβολικώτερον δὲ εἴρηται τῇ θείᾳ Γραφῇ.

8 «Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης»

Οὐχ ὅτι κρατήσει πάντως καὶ βασιλεύσει, ἀλλ' ὅτι τῇ φήμῃ καὶ τῇ δόξῃ πάντες ὡς κύριον ἑαυτῶν θαυμάσονται· ὃ καὶ ἀληθῶς γεγονὸς εὑρίσκεται. Σαφέστερον γοῦν αὐτὸ ἑξῆς λέγει.

---

1. Πρβλ. Ψαλ. 71,6. **2.** Ψαλ. 71,5. **3.** Ψαλ. 71,7. **4.** Ψαλ. 88,30. **5.** Ψαλ. 88,37-38.

9 «Ἐνώπιον αὐτοῦ προσπεσοῦνται Αἰθίοπες, καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσιν»

Τοῦτο δὲ γέγονεν ὅτε ἐλήλυθεν ἡ τῆς Αἰθιοπίας βασίλισσα[1] ὑπὸ τῆς περὶ αὐτοῦ δόξης κινηθεῖσα.

10 «Βασιλεῖς Θαρσὶς καὶ αἱ νῆσοι δῶρα προσοίσουσιν»

474 Εἴρηται ὅτι Θαρσὶς τὰς παραθαλασσίους λέγει πόλεις ὁ Δαβίδ. Πάντες οὖν φησι, καὶ οἱ ἀπὸ τῶν παραθαλασσίων πόλεων καὶ ἀπὸ τῶν νήσων ἀποτελοῦσιν αὐτῷ δῶρα· πολλὴ γὰρ αὐτῷ διὰ τῶν πλοίων ἡ ἐμπορία ἐκομίζετο. Οὕτως οὖν «κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης»[2] τῷ τὰ δῶρα αὐτῷ ἀποστέλλεσθαι, τῷ τιμᾶσθαι παρὰ πάντων.

«Βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσιν»

Ἦν γὰρ ὁ ἐναντιούμενος οὐδείς, φίλοι δὲ ὄντες εἰκότως ἐπλήρουν.

11 «Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ βασιλεῖς τῆς γῆς»

Τίμιον λογιοῦνται.

«Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ»

Αὐτῷ ὑποταγήσονται ἅπαντες[3] καὶ οὐ πολεμήσουσι.

12 «Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ χειρὸς δυνάστου καὶ πένητα, ᾧ οὐχ ὑπῆρχεν βοηθός»

Τούτων δὲ ἁπάντων, φησί, βασιλεύσει διὰ τὴν περιοῦσαν αὐτῷ σοφίαν, ἀφ᾿ ἧς καὶ τὸ τοῦ δικαίου ἐπιμελεῖσθαι κέκτηται.

13 «Φείσεται πτωχοῦ καὶ πένητος καὶ ψυχὰς πενήτων σώσει»

Ἀδικουμένους ἐλεήσει καὶ περισώσει τῶν ἀδικούντων· τὸ γάρ «φείσεται»[4] λέγει ἀντὶ τοῦ ἐλεήσει, — ἐλεοῦντες γὰρ τὴν φειδὼ ποιούμεθα.

---

1. Πρβλ. Γ′ Βασ. 10,1-13. Β′ Παρλ. 9,1-12. **2.** Ψαλ. 71,8. **3.** Πρβλ. Ψαλ. 71,11. **4.** Ψαλ. 71,13.

14 «Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν»

Ἀπαλλάξει πάσης πλεονεξίας καί ἀδικίας[1] τόκον γὰρ τὴν πλεονεξίαν λέγει, ὡς τό «οὐκ ἐξέλιπεν ἐκ τῶν πλατειῶν αὐτῆς τόκος»[2].

«Καὶ ἔντιμον τὸ ὄνομα αὐτοῦ ἐνώπιον αὐτῶν»

475 Ὑπὲρ τούτων, φησί, πολλῇ ἔσται τῇ τιμῇ, πάντων αὐτὸν θαυμαζόντων.

15 «Καὶ ζήσεται, καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας»

Ἀλλὰ καὶ μακροημερεύσει[3] διὰ τὴν τοῦ δικαίου ἐπιμέλειαν, καὶ κύριος ἔσται τῶν ἀλλοτρίων ἀγαθῶν.

«Καὶ προσεύξονται περὶ αὐτοῦ διὰ παντός»

Καὶ διὰ τὴν περὶ αὐτὸν διάθεσιν εὔξονται αὐτὸν ἐπὶ πολὺ διαβιῶναι· οὕτω καὶ ἀνωτέρω εἶπεν τό «καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον»[4].

«Ὅλην τὴν ἡμέραν εὐλογήσουσιν αὐτόν»

Διατελέσουσιν πάντοτε ἐπαινοῦντες αὐτὸν καὶ θαυμάζοντες.

16 «Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων»

«Στήριγμα» λέγεται πᾶν ὅτι δι' ἀσθένειαν ἐπιστηρίζεται καὶ βοηθεῖται, ὥσπερ καὶ βακτηρίᾳ πρεσβύτης διὰ τὸ γῆρας· «στήριγμα»[5] οὖν ἐκάλεσεν ὡς βοηθὸν τῶν πενήτων. Θαυμάσονται τοίνυν αὐτὸν καὶ ἐπαινέσουσιν, ἐπειδὴ τοῖς ἀσθενέσι καὶ τοῖς ἀδικουμένοις ἅπασιν ἐν τάξει στρατηγήματος ἔσται τῇ παρ' αὐτοῦ βοηθείᾳ, τοσοῦτον ἀνωτέρους γίνεσθαι τῶν ἀδικούντων ὡς μηδὲν διαλλάττειν τῶν «ἐπ' ἄκρων τῶν ὀρέων» ἑστώτων.

«Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ»

Τεύξεται καὶ εὐπαιδείας οὐ μικρᾶς, ἀλλ' ὥστε θαυμάζειν ἅπαν-

---

1. Πρβλ. Ψαλ. 71,14. **2.** Ψαλ. 54,12. **3.** Πρβλ. Ψαλ. 71,15. **4.** Ψαλ. 71,6. **5.** Ψαλ. 71,16.

τας τῶν τέκνων τό τε κάλλος καὶ τὸ πλῆθος καὶ τὴν ἰσχὺν οὐκ ἔλαττον ἢ τὰς ἐν τῷ Λιβάνῳ κέδρους.

«Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς»

476 Ἀπὸ γὰρ τῆς ἄγαν εὐπαιδίας ἀθρῶον αὐτοῦ τὸ γένος ἀρθήσεται καὶ φανεῖται δίκην τοῦ χόρτου.

17 «Ἔστω τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας»

Ὑπὲρ τούτων ἐπὶ πολὺ διαμενεῖ θαυμαζόμενος.

«Πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ»

[692] Ἔδειξε κἀνταῦθα ὅτι τό «πρό» οὐκ ἐπὶ χρόνου λέγει, ἵνα τῷ Χριστῷ ἁρμόττειν νομισθῇ — ὅ τινες ᾠήθησαν. Εἰ γὰρ τό «πρό» ἐπὶ χρόνου λέγει καὶ προϋπάρξεως, πῶς τό «διαμενεῖ»[1], ὅπερ ἐπὶ τῶν ἑξῆς, λέγει; Οὕτω τοίνυν, φησί, «τὸ ὄνομα αὐτοῦ διαμενεῖ» θαυμαζόμενον, οὐκ ἔλαττον ἢ ὁ ἥλιος καὶ ἡ σελήνη. Καὶ τούτου ἀπόδειξις τὸ ἄχρι τῆς δεῦρο, τοῦ τε ἡλίου καὶ τῆς σελήνης διαμενόντων, διαμένειν κἀκεῖνον παρὰ πᾶσιν ἀνθρώποις μνημονευόμενόν τε καὶ θαυμαζόμενον ἐπὶ τῇ σοφίᾳ, ἐπὶ τῇ δόξῃ, ἐπὶ τῇ τιμῇ, ἧς παρὰ πάντων ἔτυχεν.

«Καὶ εὐλογηθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς»

Ἐνταῦθα μάλιστα συνήγαγε τῶν εἰς αὐτὸν λόγων τὴν αἰτίαν, ὅτι διὰ τὸ κοινὸν τοῦ πλήθους τὰ περὶ αὐτὸν διηγεῖται καλά. Πᾶσα γὰρ τιμὴ βασιλέως, καὶ μάλιστα ἡ τοῦ δικαίου φροντίς, κοινὸν ὄφελος τῶν βασιλευομένων. Θαυμασθήσονται γάρ, φησί, δι' αὐτόν «πᾶσαι αἱ φυλαί», τουτέστι πᾶς ὁ Ἰσραήλ. Καὶ τούτου ἀπόδειξις τὸ τὴν τοῦ νότου βασίλισσαν[2] παραγενομένην μακαρίσαι τοὺς ὑπηρετουμένους ὅτι διηνεκῶς ταύτης ἀπήλαυον τῆς σοφίας.

«Πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν»

Οὐδὲ τοῦτο λόγου δεῖται ὅτι ἀληθές, — ἐδείχθη γὰρ ἐκ τῶν πραγμάτων.

---

1. Ψαλ. 71,17. **2.** Πρβλ. Γ' Βασ. 10,1-13. Β' Παρλ. 9,1-12.

18-19 «Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ὁ ποιῶν θαυμάσια μόνος καὶ εὐλογητὸν τὸ ὄνομα τῆς δόξης αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος»

477 Ὁ δὲ περὶ αὐτὸν μακαρισμὸς ὕμνον τῷ Θεῷ προξενεῖ ὡς μόνῳ δυναμένῳ θαυμαστὰ ποιεῖν[1]· ἅπασα γὰρ ἡ γῆ ταῦτα θεασαμένη αὐτὸν θαυμάσεται ὡς τούτων αἴτιον, ὃ δὴ καί «γένοιτο»[2], καλῶς ἐπαγαγὼν τῆς βεβαιώσεως τὴν προσευχήν.

19 «Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ. Γένοιτο γένοιτο»

Ὁ ἐπιδιπλασιασμὸς δὲ τοῦ «γένοιτο» παρίστησι ὡς ἀδιαστάτως καὶ συνεχῶς προσευκτέον. Τὸ δὲ ἑβραϊκὸν πανταχοῦ τό «γένοιτο γένοιτο» ἀμὴν ἀμὴν λέγει· ταῦτα δὲ δείκνυσιν ὅλον τὸν ψαλμὸν εὐκτικῶς εἰρημένον.

Ψαλμὸς 72

Ἅπαντα ὁ μακάριος Δαβὶδ πρὸς τὴν κοινὴν ἁπάντων ὠφέλειαν λέγων διατελεῖ, ποιούμενος μὲν τοὺς ψαλμοὺς ἀπὸ τῶν ὑποθέσεων, βλέπων δὲ πρὸς τὴν κοινὴν ἁπάντων ὠφέλειαν. Κἀνταῦθα τοίνυν ἐστὶν ὑπόθεσις αὐτῷ τοῦ ψαλμοῦ ὁ ἐν Βαβυλῶνι λαός, ὡς ἐκ προσώπου τοῦ ἐκείνων λέγοντος οἷα εἰκὸς ἦν ἐν τῷ καιρῷ τῆς αἰχμαλωσίας καὶ τῶν συμφορῶν αὐτοὺς λογι**478**σαμένους ἀτοπώτατά τε καὶ ἀπρεπῆ περὶ Θεοῦ μεταγινώσκειν ἐπὶ τούτοις μετὰ τὴν ἐπάνοδον. Λέγει δὲ καὶ ταῦτα οὐχ ἁπλῶς, ἀλλ' ἐπειδήπερ ἔθος ἐστὶν τοῖς ἀνθρώποις ἐν ταῖς συμφοραῖς εἰς λογισμούς τε καταπίπτειν ἀτόπους καὶ ἐννοίας ἀπρεπεῖς, ἀπὸ τῶν κατὰ τὸν λαὸν παιδεύει πάντας μὴ τοῦτο ὑπομένειν, διὰ τούτων ὥσπερ πράγματι παιδεύων ἡμᾶς εἰδέναι ὡς ὁ Θεὸς πολλάκις οἰκονομῶν τι καταλιμπάνει μὲν πρὸς ὀλίγον πάσχειν ὑπὸ ἀσεβῶν τε καὶ ἀδίκων ἀνθρώπων, παρέχει δὲ πάντως καὶ ἀπροσδόκητον τὴν ἀπαλλα-

---

1. Πρβλ. Ψαλ. 71,18. **2.** Ψαλ. 71,19.

γήν. Φαίνεται δὲ ἀπὸ τῶν ῥητῶν μᾶλλον τοῖς ἐναρέτοις ἁρμόττων ὁ ψαλμὸς ἢ τοῖς πᾶσιν.

1 «Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεός»

Ὁ Θεός, ὡς μετὰ τὴν ἐπάνοδον ἐκείνων λεγόντων τοῦτό φησιν, ὢ πῶς ἀγαθὸς περὶ τὸν Ἰσραὴλ ὁ Θεός[1], δαψιλῶς αὐτὸν καὶ φιλοτίμως εὐεργετῶν· τοῦτο γάρ με λοιπὸν τὰ πράγματα πείθει.

«Τοῖς εὐθέσι τῇ καρδίᾳ»

Καὶ μάλιστα ἂν τοῦ πρέποντος ἐπιμελώμεθα, καὶ περὶ τὸ ὀρθὸν καὶ δίκαιον ἔχωμεν.

2 «Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες»

Ἐγὼ μέντοι «παρὰ μικρόν»[2] παρατραπεὶς ἤμην τῆς εὐθείας ὁδοῦ καὶ παρολισθήσας· ἐν γὰρ τῷ καιρῷ τῶν συμφορῶν οὕτως ἦσαν οἱ λογισμοί μου χαῦνοι, δίκην ὕδατος στάσιν οὐκ ἔχοντος.

«Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου»

Ἐγγὺς ἐγενόμην τοῦ διαδεχθῆναι καὶ διαλυθῆναι τῶν ποδῶν τὰς βάσεις, ὡς μηδὲ ἑστάναι δύνασθαι τοῦ λοιποῦ. Βούλεται δὲ εἰπεῖν τῶν λογισμῶν τὴν παρατροπήν· ὥσπερ γὰρ ὁδὸν καλεῖ τὴν πρᾶξιν, οὕτω «διαβήματα» τοὺς λογισμοὺς οἷς πρὸς τὸ τὴν πρᾶξιν ἀνύειν κεχρήμεθα. Πόθεν δὲ τοῦτο ἔπαθον;

3 «Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις εἰρήνην ἁμαρτωλῶν θεωρῶν»

479 Ζήλῳ καὶ ὀργῇ λαμβανόμενος ἐπὶ τοῖς κατέχουσιν ἡμᾶς, ὅτι πάσης πεπληρωμένους ἀσεβείας καὶ ἁμαρτίας ἐν εἰρήνῃ διατελοῦντας ἑώρων[3].

4 «Ὅτι οὐκ ἔστιν ἀνάνευσις τῷ θανάτῳ αὐτῶν»

Ἐπειδὴ τῷ ἀνανεύειν ἀπαγορεύομεν ὅτι ποτ' ἂν βουλώμεθα, ἠβουλήθη εἰπεῖν ὅτι εἰ καί ποτε ἐν κινδύνοις ἔδοξαν ἐξετάζεσθαι,

---

1. Πρβλ. Ψαλ. 72,1. **2.** Ψαλ. 72,2. **3.** Πρβλ. Ψαλ. 72,3.

οὐκ ἐνῆν ἰδεῖν αὐτοὺς ἀπαγορευθέντας ἀπὸ τῶν ἐπικειμένων κινδύνων, ἀλλὰ πρὸς ὀλίγον πάσχειν δοκοῦντες πάλιν ἀπηλλάττοντο. Σαφέστερον δὲ Ἀκύλας εἶπεν τό «ἀνάνευσις»[1] 'δυσπάθεια', τουτέστιν οὐκ ἐνῆν ἰδεῖν αὐτοὺς βαρὺ πάθος ὑπομένοντας ὥστε καὶ ἀπαγορευθῆναι.

«Καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν»

Οὐδὲ στεῤῥάν τινα καὶ μεγάλην ἐδέχοντο τὴν μάστιγα, ἀλλὰ τοσαύτην ὅση μηδὲ λυπεῖν ῥαδίως δύναται.

5 «Ἐν κόποις ἀνθρώπων οὐκ εἰσίν»

Οὐδὲ τὰ ἀνθρώπινα παθεῖν ὑπομένουσιν.

«Καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται»

Οὐδὲν ὅμοιον πάσχουσι τοῖς λοιποῖς.

6 «Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία εἰς τέλος»

Ἐντεῦθεν γὰρ μάλιστα καὶ μεγάλα ἐφρόνουν, ὅλοι τῇ ὑπερηφανίᾳ κρατούμενοι.

«Περιεβάλοντο ἀδικίαν καὶ ἀσέβειαν ἑαυτῶν»

480 Ἐκύκλωσαν ἑαυτοὺς τῇ τε ἀδικίᾳ καὶ τῇ ἀσεβείᾳ[2], ἐν τούτοις ὄντες ἀεί, ἐν τούτοις φαινόμενοι, ἐκ μεταφορᾶς τῶν τὰ ἱμάτια περιβαλλομένων καὶ ἐν αὐτοῖς φαινομένων ἐν τοῖς ὄρεσιν.

7 «Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν»

Εἴρηται ἡμῖν καὶ ἐν τῷ ξβ' ὅτι στέαρ καὶ πιότητα[3] τὴν εὐθηνίαν λέγει· ὡς οὖν ἐν πολλῇ ὄντων τῇ εὐθηνίᾳ, οὕτω καὶ προσῄει ἡ ἀδικία, ἵνα εἴπῃ ὅτι σφόδρα ἠδίκουν. Ἔθος γάρ ἐστι τοῖς ἀνθρώποις ἀδικεῖν προειρημένοις ἐν εὐθηνίᾳ οὖσι καὶ πλούτῳ καὶ τιμῇ μειζόνως ἀδικεῖν.

«Διῆλθοσαν εἰς διάθεσιν καρδίας»

Λέγεται διάθεσις κυρίως ἡ περί τι σχέσις. Λέγομεν οὖν καὶ διά-

---

1. Ψαλ. 72,4. **2.** Πρβλ. Ψαλ. 72,6. **3.** Πρβλ. Ψαλ. 62,6.

θεσιν τὴν περί τινα ἀγάπην, ἀπὸ τοῦ περὶ αὐτὸν ἔχειν τε καὶ διακεῖσθαι τὴν γνώμην· οὕτω καὶ περὶ πρᾶγμα διάθεσιν λέγομεν ψυχῆς, ἀπὸ τοῦ τοιῶσδε περὶ τὸ πρᾶγμα ἔχειν. Κἀνταῦθα οὖν «διάθεσιν καρδίας»[1] λέγει τὴν σχέσιν, ἀκολουθῶν τῷ ἄνω. Ἠδίκουν γάρ, φησί, διὰ τὴν προσοῦσαν αὐτοῖς ἀσθένειαν οὕτως, ὡς καὶ εἰς πολλὴν ἐλθεῖν διάθεσιν τοῦ πράγματος τὴν διάνοιαν. Βούλεται δὲ τῆς κακίας τοῦ τρόπου τὴν ἐπίτασιν εἰπεῖν ἀπὸ τοῦ στέργειν τε αὐτὸ καὶ σπουδαίως ἐπιτελεῖν.

8 «Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ»

Λογιζόμενοι δὲ ἄτοπα καὶ ἐφθέγγοντο[2].

«Ἀδικίαν εἰς τό ὕψος ἐλάλησαν»

Ῥήματα ἐφθέγγοντο καθ' ἡμῶν εἴς σε τὴν ὕβριν ἔχοντα τεταμένην. Ἔδειξε δὲ κατὰ αὔξησιν αὐτῶν τὴν κακίαν καὶ τὴν ἀσέβειαν· ἀπὸ γὰρ τῆς εὐθηνίας, φησίν, ἠδίκουν, καὶ οὐ μόνον ἠδίκουν, ἀλλὰ καὶ τὴν περὶ τὸ πρᾶγμα διάθεσιν ἐκέκτηντο, εἶτα διακείμενοι καὶ λογιζόμενοι καὶ ἐφθέγγοντο βλάσφημα.

9 «Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν»

481 Ἐβλασφήμουν εἴς σε. Ἐμφαντικώτερον δὲ αὐτὸ εἶπεν ὅτι ἐκεῖ ἔθηκαν αὐτῶν τὸ στόμα[3], περὶ τοῦτο ἠσχόλουν τὴν γλῶσσαν, τὸ ὅτι βλάσφημον φθέγξονται κατά σου.

«Καὶ ἡ γλῶσσα αὐτῶν διῆλθεν ἐπὶ τῆς γῆς»

Διέτρεχε δέ, φησί, καὶ κατὰ τὴν γῆν ἅπασαν· οὐδενὸς γὰρ ἐφείδοντο, — ἵνα εἴπῃ ἐβλασφήμουν εἰς ἡμᾶς, εἰς τὸν ναόν, εἰς τὴν πόλιν, εἰς τὴν γῆν τῆς ἐπαγγελίας, δι' ἡμῶν σε βλασφημοῦντες καὶ ἀφ' ἡμῶν εἴς σε μεθιστάμενοι καὶ φειδόμενοι οὐδενός.

10 «Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα»

Ἀποφηναμένου καὶ λέγοντος διὰ ταύτην αὐτῶν τὴν κακίαν, ὁποῖοι δήποτ' ἂν ὦσιν, πάντως ἀφέλω τοὺς ἐμοὺς ἐξ αὐτῶν καὶ ἐπαναγαγὼν ἀποδώσω τοὺς οἰκείους τόπους.

---

1. Ψαλ. 72,7. **2.** Πρβλ. Ψαλ. 72,8. **3.** Πρβλ. Ψαλ. 72,9.

«Καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς»

[692] Καὶ ζήσονται μετὰ ἀδείας, συγκροτουμένης αὐτοῖς τῆς ζωῆς, ὡς μὴ παραιρεῖσθαι μηδεμίαν αὐτῶν ἡμέραν τοῦ βίου προλαμβανομένων ὑπὸ τοῦ θανάτου. Τοῦτο δὲ λέγει οὐχ ὡς πάντως ὡρισμένον καιρὸν παντὸς ἀνθρώπου ζῶντος[1], ἀλλ' ὡς πολλάκις ἡμῶν διὰ τὸ παθητοὺς εἶναι τὴν φύσιν ὑπὸ συμφορῶν καὶ θλίψεων ἢ καί τινων τοιούτων ὑπομενόντων θάνατον, ὃν εἰ δυνηθείημεν ἂν ἐκκλίναντες ἐπὶ μήκιστον βιῶναι. Ἕτεροι γὰρ οἱ ἀπὸ τῶν συμφορῶν ἐπιγιγνόμενοι θάνατοι καὶ ἕτεροι οἱ οὐκ ἐκ τῶν ἔξωθεν κακῶν, ἀλλ' ἀπ' αὐτῶν τῶν ἐν τῇ κατασκευῇ τῆς φύσεως συμβαίνοντες· κἂν γὰρ μηδὲν ἔξωθεν ἐπι**[693]**γένηται, οἷον ὁ διὰ ξίφους ἤ τινος τοιούτου θάνατος, ἀλλ' αὐτὴ πάντως ἡ φύσις εἰς γῆρας ἐλάσασα, ἀναγκαίως ἐφέλκεται τὸν θάνατον. Ὡς οὖν πρότερον αὐτῶν πολλὰ τοιαῦτα ὑπομενόντων καὶ ὑπὸ τῶν κατεχόντων κακῶν πολλάκις προλαμβανομένων εἰς τὸν θάνατον, τοῦτό φησιν ὅτι οὐκέτι πείσονται τοιοῦτο οὐδέν, ἀλλ' ἕξουσι τὰς ἡμέρας πλήρεις, τὸν ἀπὸ τῆς φύσεως θάνατον ἐκδεχόμενοι μόνον.

11 «Καὶ εἶπαν, Πῶς ἔγνω ὁ Θεός»

482 Τὸ προκείμενον διστίχιον, — τό «Διὰ τοῦτο ἐπιστρέφει ὁ λαός μου, καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς»[2], — ἐκ τοῦ Θεοῦ εἰρημένον παρέγκειται διὰ μέσου· τὸ γάρ «Καὶ εἶπαν Πῶς ἔγνω ὁ Θεός»[3] πρὸς τὰ ἀνώτερα τὴν ἀκολουθίαν ἔχει. Ἐγὼ γάρ φησιν οὕτω μὲν εὐθηνουμένων ἐκείνων, τοιαῦτα δὲ καὶ πραττόντων καὶ λεγόντων, ἔλεγον κατ' ἐμαυτὸν οἶδεν ἄρα ταῦτα ὁ Θεός; Τὸ δέ γε πῶς καὶ πρὸς τὰ κάτω βλέπει, ἐπισυνηγμένου αὐτοῖς κατὰ τὴν διάνοιαν. Ἐπάγει γάρ·

«Καὶ εἰ ἔστιν γνῶσις ἐν τῷ ὑψίστῳ»

Ἀντὶ τοῦ εἰ οἶδεν ταῦτα καὶ φροντίζει τούτων;

12 «Ἰδοὺ οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦνται»

Τούτοις ἀποδίδοται τὸ πῶς. Ἔλεγον γάρ, φησίν, οἶδεν ἄρα

---

1. Πρβλ. Ψαλ. 38,6. **2.** Ψαλ. 72,10. **3.** Ψαλ. 72,11.

ταῦτα; καὶ πῶς, εἴπερ οἶδεν καὶ ἔχει τούτων τὴν γνῶσιν, ἐν τοσαύταις ἁμαρτίαις οὗτοι στρεφόμενοι ἐν τοσαύτῃ καθεστήκασιν εὐθηνίᾳ;

«Εἰς τὸν αἰῶνα κατέσχον πλούτου»

Καὶ διαμένουσι πλουτοῦντες[1], οὐδενὸς αὐτοῖς τὴν εὐπραγίαν διακόπτοντος.

13 «Καὶ εἶπα, Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου»

Ἐλογιζόμην οὖν, φησίν, ὅτι τάχα εἰκῇ καὶ οὐδενὸς κέρδους ἕνεκεν ἐφρόντιζον ἐπιμελεῖσθαι τοῦ δικαίου. Σύμμαχος ʽἴσως οὖν ἔγνω, μάτην ἐκάθηρα τὴν καρδίαν μουʼ. Πανταχοῦ δὲ ὥσπερ καὶ ἐνταῦθα τό «εἶπα»[2] ἀντὶ τοῦ ἐλογιζόμην λέγει, ἐπειδὴ ὁ λογιζόμενος καθʼ ἑαυτὸν ὥσπερ λέγων ἐστὶν ἑαυτῷ τὸ ἐνθύμημα.

«Καὶ ἐνιψάμην ἐν ἀθῴοις τὰς χεῖράς μου»

Καὶ εἰκῇ ἐσπούδασα πρὸς τοὺς ἀθῴους ἔχειν τὴν κοινωνίαν καὶ πάντων καθαρεύειν τῶν πταισμάτων· εἴρηται γὰρ ὅτι διὰ τοῦ «ἐνιψάμην» τὴν κοινωνίαν ἐμφαίνει, καὶ ἐν τῷ κε′ καὶ ἐν τῷ νζ′. Διὰ τί δὲ ταῦτα ἐλογιζόμην;

14 «Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν»

483 Ὅτι ἑώρων ἐμαυτὸν ἀεὶ ἐν μάστιξιν[3].

«Καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωίας»

Σύμμαχος· ʽκαὶ ἐλεγχόμενος καθʼ ἕκαστον ὄρθρονʼ, καὶ ὥσπερ εἰς τοῦτο ὀρθρίζων, — εἰς τὸ ἐλέγχεσθαι ἐφʼ οἷς ἥμαρτον καὶ μαστίζεσθαι· οὕτω γὰρ ἀεὶ διετέλουν ταῦτα ὑπομένων.

15 «Εἰ ἔλεγον, Διηγήσομαι οὕτως»

Πολλάκις δέ, φησίν, ἐλογιζόμην ὅτι μᾶλλον ἐκεῖνο προσῆκεν ἐννοεῖν τε καὶ λέγειν· τὸ γάρ «Διηγήσομαι οὕτως»[4], ἀντὶ τοῦ μᾶλλον τοῦτο λογίσασθαι καὶ εἰπεῖν τάχα προσήκει, — ὥσπερ

---

1. Πρβλ. Ψαλ. 72,12. **2.** Ψαλ. 72,13. **3.** Πρβλ. Ψαλ. 72,14. **4.** Ψαλ. 72,15.

γὰρ τό «ἔλεγον», οὕτως καὶ τό «διηγήσομαι», φησίν, ἐπὶ τοῦ ἐννοεῖν καὶ λέγειν. Ποῖον οὖν ὡς ἀληθέστερον τάχα ὃ οὐ δεῖν λογίζεσθαι;

«Ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκας»

Ὅτι τάχα τὰς συνθήκας πρὸς τὸ γένος τὸ ἡμέτερον, τὰς πρὸς ἡμᾶς, οὓς τῇ διαθέσει ἐν υἱῶν τάξει ἔχειν ἠξίωσεν, ταύτας ἔλυσεν. Ἀπὸ γὰρ τῆς συνθήκης εἶπεν τό «ἠσυνθέτηκας», τουτέστιν παρέλυσας τὰς πρὸς ἡμᾶς συνθήκας· οὐ γὰρ ὡς πολλοὶ τὸ κείμενον οὐκ εἰδότες καὶ ἕτερόν τι νομίσαντες γραώδεις μύθους ἑρμηνειῶν μᾶλλον ἀνέπλασαν.

16 «Καὶ ὑπέλαβον τοῦ γνῶναι»

Σύμμαχος· 'καὶ διελογιζόμην ἐπιγνῶναι', ἀντὶ τοῦ ὑπέλαβον τόδε δεῖν εἰδέναι τε καὶ φρονεῖν περὶ τῶν παρόντων μᾶλλον. Ποίων;

«Τοῦτο κόπος ἐστὶν ἐναντίον μου»

484 Ὅτι τὰς μὲν συνθήκας οὐκ ἔλυσε τὰς πρὸς ἡμᾶς, ταῦτα δὲ νῦν ἃ πάσχω καὶ ἐν οἷς ἐξετάζομαι κόπον μοι καὶ θλίψιν ἐπήγαγεν[1].

17 «Ἕως εἰσέλθω εἰς τὸ ἁγιαστήριον τοῦ Θεοῦ»

Ἀντὶ τοῦ οὐ διηνεκῆ, οὐχ ὥστε ἐν θλίψεσιν ἐξετάζεσθαι καὶ συμφοραῖς ἀεί, — ὅπερ ἐστὶ τοῦ τὰς συνθήκας λύσαντος, — ἀλλὰ μέχρις ἂν «εἰς τὸ ἁγιαστήριόν»[2] με πάλιν εἰσαγάγῃς, ἀντὶ τοῦ μέχρις ἂν ἐπαναγάγῃς εἰς τήν «γῆν τῆς ἐπαγγελίας»[3] καὶ τὸν ἅγιον τόπον· ἵνα εἴπῃ ὅτι εἰσάξεις με πάντως καὶ τὰ νῦν θλίψις ἐστὶ πρὸς καιρὸν ἐπενεχθεῖσα, ἣ πέρας ἕξει τὴν εἴσοδόν μου τὴν εἰς τήν «γῆν τῆς ἐπαγγελίας»[4] πάντως ἐσομένην.

«Καὶ συνῶ εἰς τὰ ἔσχατα αὐτῶν»

Τότε ὄψομαι καὶ τούτων τὰ τέλη εἰς τί ποτε, ἄρα ποτὲ αὐτοῖς τὰ τῆς εὐθηνίας καὶ τὰ τῆς ἀδικίας ἀποβήσεται.

---

1. Πρβλ. Ψαλ. 72,16. **2.** Ψαλ. 72,17. **3.** Ἑβρ. 11,9. **4.** Ἐνθ' ἄν.

18 «Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά»

Διὰ γὰρ τὴν κακίαν αὐτῶν καὶ τὴν πανουργίαν, μυρίοις αὐτοὺς περιβαλεῖς κακοῖς[1].

«Κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι»

Ἐπαρθέντας καὶ μεγάλα φρονήσαντας ἀπὸ τῆς εὐπραγίας κατασπάσεις καὶ καθελεῖς.

19 «Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα;»

Ὥστε τὸ ἐναντίον με θαυμάζειν ὅπως αἰφνιδίως εἰς πολλὴν περιέστησαν τήν «ἐρήμωσιν», ἐν βραχείᾳ τῇ ῥοπῇ πολλὴν δεξάμενοι τὴν μεταβολήν.

19-20 «Ἐξέλιπον, ἀπώλοντο διὰ τὴν ἀνομίαν αὐτῶν. Ὡσεὶ ἐνύπνιον ἐξεγειρομένου»

485 Κατὰ κοινοῦ τὸ πῶς αἰφνίδιον ἠρημώθησαν; «Ἀπώλοντο»[2], ὡς μηδὲν ἐνυπνίου διαλλάττειν αὐτῶν τὴν εὐπραγίαν. Πάντα μὲν οὖν ἐναργῆ τῆς θείας Γραφῆς τὰ παραδείγματα, μάλιστα δὲ τοῦτο. Τοιοῦτο γὰρ τό «ἐνύπνιον», φαντάζον μὲν πρὸς βραχὺ τὴν ψυχήν, εἰ δέ τις αἰφνίδιον διαναστήσειε τὸν καθεύδοντα πάντα διαλέλυται καὶ οὐδὲν ὑφέστηκεν, μόνη δὲ μένει ἡ τοῦ δοκεῖν τι ἑωρακέναι μνήμη. Οὕτω φησὶ καὶ ἡ τούτων εὐπραγία ἔσται, φαντασίαν ἔχουσα μόνον, αἰφνιδίως δὲ ἀπολλυμένην ὡς μηδὲν ἔχειν λείψανον τοῦ πράγματος.

20 «Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις»

Καὶ ἐν τῷ λη′ ψαλμῷ εὐπραγούντων μνημονεύων φησί, «Μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος»[3], — τουτέστιν ἐν εἰκόνι καὶ γραφῇ σχῆμα μόνον ἐστὶν ὁ ἄνθρωπος, δοκῶν μὲν πλουτεῖν καὶ θησαυρίζειν, μετὰ βραχὺ δὲ ἀπιὼν μέν, ἀπολαύων δὲ οὐδενός, — οὕτω κἀνταῦθα λέγει «ἐν τῇ πόλει σου»[4] φησί, τουτέστι διὰ τὴν σὴν πόλιν, ὑπὲρ τοῦ ἐκείνην πάλιν οἰκοδομηθῆναι καὶ πάλιν ἡμᾶς συστῆναι, εἰς οὐδὲν περιστήσεις τούτων τὴν δοκοῦσαν αὐτοῖς εἰκό-

---

1. Πρβλ. Ψαλ. 72,18. **2.** Ψαλ. 72,19. **3.** Ψαλ. 38,7. **4.** Ψαλ. 72,20.

να προσεῖναι καὶ τὸ σχῆμα. «Εἰκόνα» δὲ ἐκάλεσεν εἰκότως, ὡς πρὸς ὀλίγον μὲν φαινομένων, ἀπολλυμένων δὲ ὕστερον.

21 «Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν»

Ὅτι νεφροὺς[1] τοὺς λογισμοὺς καλεῖ ἐπεσημηνάμεθα πολλαχοῦ, καὶ τὴν αἰτίαν εἰρήκαμεν. Ἐγὼ μέντοι, φησίν, οὐδὲν ἐπιστάμενος τούτων, ὅτι ἔσται μόνον ἐπὶ τοῖς παροῦσιν ἐνεθυμούμην καὶ ἐξεκαιόμην τὴν διάνοιαν, δυσφορῶν ἀεὶ ἐπὶ τῇ ἐκείνων εὐπραγίᾳ ἠλλοιώμην τε καὶ μετεβαλόμην τοὺς λογισμούς, νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα λογιζόμενος.

22 «Καὶ ἐγὼ ἐξουδενωμένος καὶ οὐκ ἔγνων»

486 Σύμμαχος· 'ἤμην δὲ ἀνεπιστήμων καὶ μὴ εἰδώς', — τουτέστιν ἤμην δὲ ὡς εἰς γνῶσιν οὐδέν, ἀντὶ τοῦ οὐδὲν τῶν δεόντων ἐπιστάμενος[2].

«Κτηνώδης ἐγενήθην παρὰ σοί»

Οὐδὲν δὲ κτήνους διήλλαττον πρός σε συγκρινόμενος, καὶ τὰς παρά σου οἰκονομίας οὕτως οὐδὲν εἰδώς, οὔτε ὅπως βούλει, οὔτε ὅπως οἰκονομεῖς, ὥσπερ καὶ τὰ κτήνη τοὺς λογισμοὺς ἡμῶν καὶ τὰ βουλεύματα οὐκ ἐπίστανται.

23 «Καὶ ἐγὼ διὰ παντὸς μετὰ σοῦ»

Τοῦ δὲ μηδὲν εἰδέναι τῶν παρά σου οἰκονομουμένων ἀπόδειξις τὰ πολλὰ καὶ διάφορα ἐμοῦ λογισαμένου καὶ πολλάκις ἀπευδοκήσαντος τὴν σωτηρίαν ἐπανελθεῖν τε καὶ εἶναι πάλιν μετά σου, κατὰ τὴν ἰουδαϊκὴν ὑπόληψιν τοῦτο εἰπὼν ὡς τοῦ Θεοῦ ἐν τῷ Σιὼν ὄρει διατρίβοντος[3].

«Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου»

Ἐκ μεταφορᾶς τῶν χειρὶ κατεχόντων αὐτοὺς καὶ ἑλκόντων ἐκ

---

1. Πρβλ. Ψαλ. 72,21. **2.** Πρβλ. Ψαλ. 72,22. **3.** Πρβλ. Ψαλ. 9,12.

μέσου τῶν κατεχόντων, καὶ οὕτως ἀποσπώντων· ὥσπερ γάρ, φησί, λαβόμενός μου τῆς χειρός[1], οὕτως με εἵλκυσας.

24 «Καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με»

Καὶ κατὰ τὴν σὴν βουλήν, τουτέστι κατὰ τὴν σὴν σύνεσιν, ἄχρι τῆς γῆς τῆς ἐπαγγελίας[2] «ὡδήγησας»[3].

«Καὶ μετὰ δόξης προσελάβου με»

Εἵλκυσας δὲ πρὸς σεαυτὸν καὶ ἐπανήγαγές με μετὰ πολλῶν θαυμάτων, ὡς καὶ μεγάλην μοι περιποιησάμενος δόξαν ἐκ τοῦ πράγματος, πάντων ἐκπληττομένων τὰ περὶ ἐμὲ γιγνόμενα.

25 «Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς»

487 Τί γὰρ ἕτερον ἔχων ἐζήτησα λαβεῖν ἢ «ἐν τῷ οὐρανῷ» ἢ «ἐπὶ τῆς γῆς»[4], ἢ τοῦτο; Οὐ γὰρ διεῖλεν, τῷ μέν «ἐν τῷ οὐρανῷ» τό «ὑπάρχει» προσνεῖμαι βουληθείς, τῷ δέ «ἐπὶ τῆς γῆς» τό «ἠθέλησα», ἀλλὰ κατὰ κοινοῦ καὶ τό «ὑπάρχει» καὶ τό «ἠθέλησα», ἀντὶ τοῦ οὔτε ἔχω τι ἄλλο τούτου παραπλήσιον, οὔτε ζητῶ οὐ μόνον ἐπὶ τῆς γῆς, ἀλλ' οὐδὲ ἐν τῷ οὐρανῷ· οὕτω μοι καὶ τῶν ἐκεῖ κτημάτων τοῦτο τιμιώτερον τὸ σοὶ συνεῖναι. Ἑνὸς δὲ ὄντος, ἡ δοκοῦσα διαίρεσις συνήθως γεγένηται, καθὼς ἐν τῷ νβ' ψαλμῷ ἀκριβέστερον περὶ τούτου ἐπεσημηνάμεθα.

26 «Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου, ὁ Θεὸς τῆς καρδίας μου»

Τούτου γοῦν καὶ ἐπεθύμησα, τοῦ σε ὁρᾶν καὶ μετά σου εἶναι πάντοτε τοῦ ἐμοῦ Δεσπότου. Τὸ γάρ «ὁ Θεὸς τῆς καρδίας μου»[5], ἀντὶ τοῦ ὁ Θεός μου λέγει, συνήθως ἀπὸ τοῦ μέρους τὸ ὅλον καλέσας.

«Καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα»

Τὸ κέρδος μου τὸ ἐξαίρετον καὶ ἀγαθὸν αὐτὸς εἶ· τούτου οὖν ἐπεθύμησα, οὐδὲν ἴσον τούτου κρίνων καλόν.

---

1. Πρβλ. Ψαλ. 72,23. **2.** Πρβλ. Ἑβρ. 11,9. **3.** Ψαλ. 72,24. **4.** Ψαλ. 72,25. **5.** Ψαλ. 72,26.

27 «Ὅτι ἰδοὺ οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται»

Καὶ γὰρ ὅσοι ἀφίστανταί σου καὶ μακρὰν γίνονται τῇ διαθέσει, οὐδὲν ἕτερον ἢ τὴν ἀπώλειαν ἐκδέχονται[1].

«Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ»

488 Πάντα γὰρ ἀφιστάμενόν σου καὶ εἰδώλοις προσέχειν βουλόμενον σφοδροτάτῃ τιμωρίᾳ περιβάλλεις, «πορνεύοντα» εἰρηκὼς τὸν ἀπὸ τῆς περὶ αὐτὸν διαθέσεως ἐξιστάμενον καὶ εἰδώλοις ἑαυτὸν προσνέμοντα, ἐν τάξει μὲν γυναικὸς πολλαχοῦ τὴν τῶν πιστῶν καὶ οἰκείων συναγωγήν, πορνείαν δὲ καλῶν τὴν ἀπὸ τῆς περὶ τὸν Θεὸν διαθέσεως διαίρεσιν. Καὶ τοῦτο εὕροι ἄν τις σαφέστερον παρὰ τῷ Ἰεζεκιήλ. Φησὶ γὰρ οὕτως «Καὶ ἐγένετο λόγος Κυρίου πρός με λέγων Υἱὲ ἀνθρώπου, δύο γυναῖκες ἦσαν θυγατέρες μητρὸς μιᾶς»[2], — μίαν καλῶν μητέρα τὴν συναγωγὴν τῶν Ἰουδαίων ἐπὶ τὸ αὐτὸ συνηθροισμένων τὸ πρότερον, δύο δὲ θυγατέρας αὐτῆς τὰς ι′ φυλὰς καὶ τὰς δύο μετὰ τὴν διαίρεσιν, ὥσπερ ἀπὸ μητρὸς τῆς συναγωγῆς ἀποτεχθέντων τῶν ὕστερον, ἐφ᾽ ὧν καὶ τὴν εἰς δύο διαίρεσιν τοῦ λαοῦ γενέσθαι συνέβη. Εἶτα ὀνειδίσας αὐτοῖς τὰ ἐν Αἰγύπτῳ[3], ὡς ἔκτοτε αὐτοὺς οἰκειωσάμενος καὶ τὴν συναγωγὴν αὐτῶν ὡσανεὶ πρὸς γάμου κοινωνίαν λαβών, τῇ παραβολῇ καὶ τὴν ἑαυτοῦ διάθεσιν μειζόνως ἐμφαίνων καὶ τὴν ἐκείνων ἀγνωμοσύνην, — ἐπειδὴ μεγάλη μὲν ἀνδρὸς καὶ γνησία ἡ πρὸς γυναῖκα διάθεσις, μεγάλη δὲ παρανομία τὸ ἀνδρὸς ἀθετῆσαι γάμον, — «Ὀλλὰ ἡ πρεσβυτέρα καὶ Ὀλλίβα ἡ νεωτέρα· καὶ ἐγένοντό μοι, καὶ ἔτεκον υἱοὺς καὶ θυγατέρας· καὶ τὰ ὀνόματα αὐτῶν, Σαμάρεια ἡ Ὀλλά, καὶ Ἱερουσαλὴμ ἡ Ὀλλίβα»[4]. Καὶ εἰπὼν ὅτι καὶ ἐτεκνοποίησαν ἐξ ἐμοῦ, τουτέστιν ὅτι τῇ ἐμῇ οἰκειώσει εἰς πλῆθος ἐπέδωκαν, ἐπάγει «Καὶ ἐξεπόρνευσεν ἡ Ὀλλὰ ἀπ᾽ ἐμοῦ»[5], ὀνειδίσας τε διὰ πλειόνων τοῖς τῶν δέκα φυλῶν τὴν ἀσέβειαν, ἑξῆς φησί «Καὶ εἶδεν ἡ ἀδελφὴ αὐτῆς ἡ Ὀλλίβα, καὶ διέφθειρεν τὴν ἐπίθεσιν αὐτῆς ὑπὲρ αὐτήν, καὶ τὴν πορνείαν αὐτῆς ὑπὲρ τὴν πορνείαν τῆς ἀδελφῆς αὐτῆς»[6].

---

1. Πρβλ. Ψαλ. 72,27. **2.** Ἰεζ. 23,1-2. **3.** Πρβλ. Ἰεζ. 23,3. **4.** Ἰεζ. 23,4. **5.** Ἰεζ. 23,5. **6.** Ἰεζ. 23,11.

28 «Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστιν»

Διὰ τοῦτο τοίνυν ἐπειδὴ τὸ ἀφίστασθαί σου τοσούτων αἴτιον γίνεται κακῶν, προτιμότερον ἁπάντων εἶναι λογίζομαι τὸ συνῆφθαι καὶ συνεῖναί σοι.

«Τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου»

489 Τοῦ ἐπί σε τὴν ἐλπίδα ἔχειν[1] καὶ παρά σου πᾶν ὅ τι καλὸν ἐκδέχεσθαι.

«Τοῦ ἐξαγγεῖλαι πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών»

Καὶ τὸ διηνεκῶς τοὺς ὕμνους καὶ τὰς εὐχαριστίας ὑπὲρ ὧν εὐεργετούμεθα ἀποδιδόναι σοι ἐν τῇ Ἱερουσαλὴμ γενομένους, ὡς ἐκεῖ καὶ ὄντος τοῦ Θεοῦ καὶ προσιεμένου τοὺς ἐκεῖ γιγνομένους. Εἴρηται δὲ καὶ ἐν τῷ θ' ὅτι θυγατέρα Σιών[2] τὴν πόλιν καλεῖ.

Ψαλμὸς 73

Τῶν Μακκαβαίων ἐνταῦθα διηγεῖται τὰς συμφοράς, ὡς ἂν ἐκείνων λεγόντων τό τε μέγεθος τῶν τότε περιεχόντων αὐτοὺς κακῶν, καὶ ἀπαλλαγῆναι τὸν Θεὸν ἐπὶ τούτοις ἀξιούντων.

1 «Ἵνα τί ἀπώσω, ὁ Θεός, εἰς τέλος»

Οὐχ ἐπὶ μέμψεως τό «Ἵνα τί», ἀλλὰ διαποροῦντος· καὶ γὰρ σύνηθες τοῦτο τῷ Προφήτῃ τό, Ἵνα τί. Κέχρηται μέντοι αὐτῷ συνεχῶς, οὐχ ἁπλῶς, ἀλλ' ἢ ὥστε δεῖξαι ὅτι ἔστι τις αἰτία τῶν χαλεπῶν ἁπάντων ἄδηλος τοῖς ἀνθρώποις, καὶ οὐχ ἁπλῶς τοῖς βαρυτέροις ἡμᾶς περιπίπτειν ἐᾷ κακοῖς ὁ Θεός. Τίς οὖν ἄρα, φησίν, ἡ αἰτία, δι' ἣν οὕτως ἡμᾶς ἀπέβαλες; — ἐκ μεταφορᾶς τῶν ἀπωθουμένων οὓς μισοῦσι, καὶ οὐ προσιεμένων οὐδὲ ἐγγίζειν συγχωρούντων.

---

1. Πρβλ. Ψαλ. 72,28. **2.** Πρβλ. Ψαλ. 9,15.

«Ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου;»

490 Ἐπισεσήμανται ἡμῖν καὶ ἑτέρωθι ὅτι πολλαχοῦ τὴν ὀργὴν ἐπιτετηρημένως λέγει τὴν παράτασιν τοῦ θυμοῦ· λέγει μὲν οὖν καὶ ἀδιαφόρως τὸν θυμὸν ὀργὴν καὶ τὴν ὀργὴν θυμόν. Ἔστι δὲ καὶ ὅπου τετηρημένως τὴν ὀργὴν αὐτὴν λέγει τὴν παράτασιν, ὡς θυμοῦ κυρίως ὄντος τῆς κινήσεως· τοῦτο γοῦν κἀνταῦθα δείκνυσι διὰ τοῦ «ὠργίσθη ὁ θυμός σου»[1]. Λέγει γὰρ ὅτι παρέτεινες τὸν καθ' ἡμῶν σου θυμόν, καὶ ἐπέμεινας ἐπὶ πολὺ θυμούμενος ἡμῖν τοῖς προβάτοις τῆς σῆς νομῆς, ἵνα εἴπῃ οὓς αὐτὸς ἐποίμαινες ἀεὶ καὶ ἔμενες φροντίζων τε ἡμῶν καὶ διοικῶν τὰ καθ' ἡμᾶς.

2 «Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς»

Καὶ ἐν τῷ μγʹ ψαλμῷ τὰ κατὰ τοὺς Μακκαβαίους λέγων μέμνηται τῶν παλαιῶν τῶν κατ' Αἴγυπτον, κἀνταῦθα ὁμοίως. «Μνήσθητι», φησίν, ἡμῶν «τῆς συναγωγῆς σου»[2], ὅτι αὐτὸς συνήγαγες διεσπαρμένους κατὰ χώραν τότε, ὡς εἰκός, καὶ δουλεύοντας. Καλῶς δὲ τό «ἐκτήσω», ἐπειδήπερ οἱ κτώμενοί τι διὰ καμάτων ἀεὶ τὰς κτήσεις ἑαυτοῖς περιποιοῦνται· οὕτω γὰρ καὶ ὁ Θεὸς πολλοῖς τοῖς θαύμασιν ἀφελὼν αὐτοὺς τῆς τῶν Αἰγυπτίων καταδυναστείας ἰδίους ἀπέφηνεν.

«Ἐλυτρώσω ῥάβδον κληρονομίας σου»

Τό «ἐλυτρώσω» τῷ ἄνω συνῆπται, τουτέστι «Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἐλυτρώσω ῥάβδῳ κληρονομίας σου», — οὕτω λέγει καὶ Σύμμαχος 'οὓς ἐλυτρώσω σκήπτρῳ κληρουχίας σου'. Ὑπομνήσθητι, φησίν, ὅπως μὲν ἡμᾶς συνήγαγες καί «ἐκτήσω», ὅπως δὲ ἀπαλλάξας τῶν τότε κατεχόντων κακῶν ἰδίαν ἡμᾶς ἐποιήσω βασιλείαν καὶ ἰδίαν κληρονομίαν, — ἀντὶ τοῦ ὥσπερ ἐξαίρετόν σου κτῆμα καὶ ἐξαιρέτως τῇ σῇ βασιλείᾳ προσήκοντας διὰ τῆς περὶ ἡμᾶς σου προνοίας σαφῶς ἀπέφηνας. Ὅτι γὰρ τὴν ῥάβδον ἐπὶ τῆς βασιλείας[3] λέγει ἐπισεσήμανται ἡμῖν καὶ ἑτέρωθι καὶ μάλιστα ἐν τῷ μδʹ ψαλμῷ, σαφῶς αὐτὸ λέ**491**γοντος ἐκ μετα-

---

1. Ψαλ. 73,1. **2.** Ψαλ. 73,2. **3.** Πρβλ. Ψαλ. 44,7.

φορᾶς τῶν βασιλέων τῶν τὰ σκῆπτρα μετακεχειρισμένων· πανταχοῦ γὰρ ἐπὶ τῶν τοιούτων τὸ σκῆπτρον καλεῖ τὴν ῥάβδον, ὡς καὶ ἐνταῦθα δέδεικται ἐκ τῆς Συμμάχου παραινέσεως.

«Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ»

Καὶ ἤγαγες εἰς τοῦτο τοῦ Σιὼν τὸ ὄρος, ἐν ᾧ καὶ αὐτὸς κατοικεῖν ἐδικαίωσας. Λέγει δὲ ὅτι ἀπαλλάξας τῶν κατεχόντων, «ἐκτήσω» ἡμᾶς τοῖς οἰκείοις κατορθώμασιν καὶ ἰδίους μάλιστα παρὰ πάντας ἡμᾶς ἀπέφηνας ἀνθρώπους ἐν τῷδε τῷ τόπῳ ἐν ᾧ καὶ κατοικεῖς, ἔχων ἀεὶ μεθ' ἑαυτοῦ· σωματικώτερον δὲ τὴν περὶ αὐτοὺς πρόνοιαν μεγίστην οὖσαν ἐνέφηνεν.

3 «Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος»

Τιμώρησαι αὐτοὺς ὑπερηφανευομένους καθ' ἡμῶν[1] καὶ μεγαλοφρονοῦντας ἐφ' οἷς τοσαῦτα καὶ τηλικαῦτα ἡμᾶς διέθηκαν κακά, — ἐκ μεταφορᾶς τῶν ταῖς χερσὶ παιόντων οὓς βούλονται· καὶ γὰρ ἀπανταχοῦ χεῖρα Θεοῦ τὴν ἐνέργειαν αὐτοῦ καλεῖ εἴτε ἐπὶ καλῷ εἴτε ἐπὶ κακῷ γιγνομένην. Τὸ δὲ ὅπως ἡ ἀκολουθία δείκνυσιν.

«Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου»

Καὶ γὰρ οὐ μικρὰ τὰ παρὰ τούτων εἰς ἡμᾶς γιγνόμενα.

4 «Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου»

Σύμμαχος· 'ἐν μέσῳ τῆς συναγωγῆς σου'. Καλῶς δὲ αὐτὴν ἑορτὴν ἐκάλεσεν ἀπὸ τοῦ συνιόντας ἑορτάζειν Θεῷ. Πολλά, φησίν, ἃ κατεκαυχήσαντο ἡμῶν ἐφ' οἷς ἠδίκησαν.

4-5 «Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν. Ὡς εἰς τὴν εἴσοδον ὑπεράνω»

492 [693] Ἔχει μὲν πολλὴν ἀπὸ τῆς ἑρμηνείας τὴν δυσκολίαν

1. Πρβλ. Ψαλ. 73,3.

τὸ ῥητόν. Λέγει δὲ αὐτὸ Σύμμαχος σαφῶς, 'ἔθεντο τὰ σημεῖα αὐτῶν ἐπισήμως γνώρισμα κατὰ τὴν εἴσοδον ἐπάνω'. Ἐπειδὴ γὰρ ἔθος ἦν τοῖς παλαιοῖς, εἴ πού τινα ἐκράτησαν πόλιν, ἐπὶ τῆς πύλης γράμματα διαχαράττειν τὴν ἑαυτῶν προσηγορίαν ἐμφαίνοντα ὡς ἐνίκησάν τε καὶ ἔλαβον τὴν πόλιν αἰχμάλωτον, πολλάκις δὲ καί τινα ὡς σημεῖα καὶ σύμβολα ἐγκαταπηγνύμενοι, — οἷα δὴ πολλὰ καὶ ἄχρι τῆς δεῦρο διαμένοντα ἐν πύλαις πόλεών ἐστιν εὑρεῖν, — τοῦτο οὖν λέγει ὡς κρατήσαντες ἡμῶν τὰ τρόπαια καὶ τὰ σύμβολα ἐπισήμως πρὸ τῆς πύλης ἔθηκαν[1] ὡς κρατήσαντες, ὡς αἰχμάλωτον αὐτὴν λαβόντες.

6 «Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς»

Οὕτω τε αὐτὴν ἀφειδῶς ἐπόρθησαν, ὡς καὶ τὰς τῶν οἰκημάτων «θύρας ἀξίναις» κατακόπτειν[2], ὡσανεὶ ξύλα τις ἐν ὕλαις τέμνοι ἀναγκαίως διὰ τὴν τῶν ἀνθρώπων τεμνόμενα χρείαν.

«Ἐπὶ τὸ αὐτὸ ἐν πελέκει καὶ λαξευτηρίῳ κατέρραξαν αὐτήν»

Λαξευτήριον λέγεται τὸ τῶν λιθοξόων ὄργανον, οἷς τοὺς λίθους διατέμνουσιν. Ἔχοντες οὖν, φησίν, ἐν χερσὶν καὶ πέλεκυν καὶ τὰ τοιαῦτα ὄργανα, πᾶσι καταχρησάμενοι κατέβαλον τὰ τείχη.

7 «Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου»

Πυρὶ παρέδωκαν τὸν ναόν[3].

«Εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου»

Βέβηλον οὐ πάντως τὸ ἀκάθαρτον καλεῖ, ἀλλὰ πολλαχοῦ καὶ τὸ κοινόν, οὕτως ἐν ταῖς **493** Βασιλείαις τὸ Οὐκ εἰσὶ βέβηλοι ἄρτοι[4]. Οὐκ αἰδεσθέντες, φησίν, οὐδ' ὅτι ναὸς ἦν σός, ὥς τι κοινὸν οἰκοδόμημα καθεῖλον ἀδιαφόρως μέχρι τῆς γῆς κατασπάσαντες.

8 «Εἶπαν ἐν τῇ καρδίᾳ αὐτῶν ἡ συγγένεια αὐτῶν ἐπὶ τὸ αὐτό. Δεῦτε καὶ κατακαύσωμεν πάσας τὰς ἑορτὰς τοῦ Θεοῦ ἀπὸ τῆς γῆς»

---

1. Πρβλ. Ψαλ. 73,4-5. **2.** Πρβλ. Ψαλ. 73,6. **3.** Πρβλ. Ψαλ. 73,7. **4.** Πρβλ. Α' Βασ. 21,5.

Συνελάλουν δέ, φησίν, ἀλλήλοις καὶ ἐκελεύοντο, — ὅπερ ἴδιον μάλιστα τῶν μετὰ θυμοῦ τι πραττόντων, — ἐπέλθωμεν ἐπ' αὐτούς, καθέλωμεν αὐτῶν τὴν πόλιν καὶ τὸν ναόν, ὥστε μηδὲν αὐτοῖς ὑπολειφθῆναι τοιοῦτον ἐφ' οὗ δυνήσονται συνιόντες ἑορτάζειν Θεῷ[1] καὶ τῆς θεραπείας ἐπιμελεῖσθαι ταύτης ἐφ' ᾗ μεγαλοφρονοῦσιν.

9 «Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν»

Οὔτε γάρ ἐστι φοβηθῆναι μήποτέ τι πάθωμεν. Διὰ τί; Ἐπεὶ μηδὲν ὁρῶμέν τι ἐν αὐτοῖς γιγνόμενον σημεῖον, οἷα πολλὰ γεγενῆσθαι παρ' αὐτοῖς ψευδόμενοι λέγουσιν, ἃ θεασάμενοι δικαίως ἂν πιστεύσαντες κατεπλάγημεν. Ἐπειδὴ γὰρ ἐπὶ τούτοις μεγάλα ἐφρόνουν οἱ Ἰουδαῖοι, δικαίως τοῦτό φησιν ὅτι πάντα ἡμᾶς διατιθέασι τὰ κακά, ὡς οὐδὲν πεισόμενοι, ἔτι καὶ χλευάζοντες ὡς οὐδενὸς οὐδέποτε γενομένου τοιούτου, οἷα πολλὰ περὶ ἡμᾶς γεγενῆσθαι καυχώμεθα, ἀλλὰ μάτην ἡμῶν αὐχούντων καὶ ψευδομένων.

«Οὐκ ἔστιν ἔτι Προφήτης, καὶ ἡμᾶς οὐ γνώσεται ἔτι»

Ἀλλ' οὐδὲ Προφήτης τίς ἐστιν παρ' αὐτοῖς, ὃς δυνήσεται τὰ ἐν κρυφῇ παρ' ἡμῶν ἢ λεγόμενα ἢ γιγνόμενα προλέγειν αὐτοῖς[2], καὶ φυλάττεσθαι τὴν ἡμετέραν ἔφοδον. Ἐγίγνετο γὰρ καὶ ταῦτα παρ' αὐτοῖς διὰ τῶν Προφητῶν, — οἷον καὶ τὸ παρὰ Ἐλισσαίου τοῦ προφήτου, ὅπως τῶν τῆς Συρίας βασιλέων πολεμούντων προλαμβάνων ἔλεγεν αὐτοῖς ὅσαπερ ἐβουλεύοντο[3]· καὶ τοῦτο ἡμᾶς σαφέστερον ἡ τετάρτη τῶν Βασιλειῶν διδάσκει.

10 «Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός»

494 Μέχρις οὖν πότε δώσεις αὐτοῖς τοιαῦτα καυχᾶσθαι καθ' ἡμῶν καὶ ὀνειδίζειν ἡμᾶς ἐπὶ τούτοις;

«Παροξυνεῖ ὁ ὑπεραντίος τὸ ὄνομά σου εἰς τέλος;»

Πρὸς τό «ἕως πότε»[4] βλέπει καὶ τοῦτο τῷ ἄνω ἐπισυνημμένον, ἀντὶ τοῦ ἕως πότε ὀνειδιεῖ καὶ παροξυνεῖ; Μέχρι πότε ἐνδώσεις

---

1. Πρβλ. Ψαλ. 73,8. **2.** Πρβλ. Ψαλ. 73,9. **3.** Πρβλ. Δ' Βασ. 6,8 ἑξ. **4.** Ψαλ. 73,10.

αὐτοῖς ὀνειδίζειν τε ἡμᾶς ἐπὶ τούτοις καὶ φθέγγεσθαι ῥήματα παροξυσμῶν καὶ χλεύης μεστά; Σύμμαχος δὲ τό «παροξυνεῖ» σαφέστερον εἶπεν 'προπηλακίζει', ἀντὶ τοῦ χλευάσει, παίξει· ταῦτα γὰρ ἔλεγον ὡς οὐδὲ τῶν προτέρων γεγενημένων, ἀλλὰ μάτην αὐτῶν ὅτι γέγονεν εἰς αὐτοὺς τοιαῦτα καυχωμένων.

11 «Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου»

Ἐπειδή «χεῖρα» καλεῖ τὴν ἐνέργειαν, οὐκέτι φησὶν ὑπερτίθεσθαι δίκαιον, τοιούτων ὄντων τῶν παρὰ τῶν ἐχθρῶν, τὸ ἡμῖν τε βοηθῆσαι κἀκείνους τιμωρήσασθαι. Τοῦτο γὰρ οὐ γιγνόμενον ἐπὶ πλεῖον αὐτοὺς ἐπιτρέψει τοῦ καὶ χρήσασθαι τοῖς λόγοις καὶ ὀνειδίζειν ἡμᾶς, ὡς οὐδενὸς μὲν οὐδέποτε τοιούτου περὶ ἡμᾶς γεγενημένου· μάτην δὲ ἡμῶν ψευδομένων δοκοῦνται ἐγγύθεν ἔχειν ὧν λέγουσιν τὴν ἀπόδειξιν. Ἐκ μεταφορᾶς δὲ αὐτὸ εἶπεν τῶν ἐπὶ τῆς χειρὸς ἐχόντων τι ἀγαθόν, καὶ ἀποστρεφόντων εἰς τοὐπίσω ὅταν διδόναι μὴ βούλωνται.

«Καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰς τέλος;»

Ὥσπερ χεῖρα καλεῖ τὴν ἐνέργειαν, οὕτω «δεξιάν»[1] τὴν βοήθειαν, ἀπὸ τοῦ κρείττονος τὴν ἐπωφελῆ αὐτῶν ἐνέργειαν σημαίνων. Ἐπειδὴ γὰρ χεῖρα εἰπὼν ἄδηλον ἦν τὴν ὁποίαν λέγειν βούλεται, τῇ ἐπαγωγῇ τῆς δεξιᾶς ἐδήλωσεν σαφέστερον τὸ λεγόμενον. Ἵνα τί οὖν, φησί, τὸ βοηθῆσαι ἡμῖν ὑπερτίθεσαι; Τὸ δέ «ἐκ μέσου τοῦ κόλπου» ἀκολούθως εἶπεν τῷ ἀποστρέφειν· κόλπος γὰρ τὸ ἔμπροσθεν μέρος λέγεται. Κατὰ οὖν τὴν σωματοποίησιν ἀκολούθως εἶπεν διὰ τί τὴν χεῖρά σου ἀπέμπροσθεν λαβὼν εἰς τὰ ὀπίσω μετάγεις οὐδενὸς ἡμῖν μεταδιδούς;

12 «Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος»

495 Τὰ προκείμενα, — τό «Ἕως πότε ὀνειδιεῖ ὁ ἐχθρός»[2], — παρενθέσεως μᾶλλον ἔχει δύναμιν κἂν ἀκολούθως ἐπῆχθαι δοκῶσιν. Οὐδὲ γὰρ αἱ παρενθέσεις περιτταί εἰσιν καὶ τῆς ὑποθέσεως ἀλλότριαι, ἀλλὰ βλέπουσαι μὲν πρὸς τὴν ὑπόθεσιν, ἐν μέσῳ δὲ

---

1. Ψαλ. 73,11. **2.** Ψαλ. 73,10.

νοήματος ἢ διὰ τὸ μέτρον ἢ διὰ τὸ ἀναγκαῖον παρεγκείμεναι πολλάκις τῷ μέλλειν τὴν ἐπαγωγὴν μακροτέραν εἶναι, — ὥσπερ οὖν ἐνταῦθα ἡ τοῦ «Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν»[1] ἐπαγωγή, τῶν τε ἑξῆς μακροτέρα οὖσα, ἀπέκλειεν ἐν τούτοις τοῖς νῦν ἐν μέσῳ παρεντεθεῖσι ῥητοῖς ἀναγκαίοις οὖσι πρὸς τὰ παρ' ἐκείνων λεγόμενα καὶ κινητικοῖς καὶ πάθος ἐμποιῆσαι δυναμένοις. Εἰ γὰρ καὶ μὴ ἔχρηζεν τούτων ὁ Θεός, ἀλλὰ τῷ προλέγοντι Προφήτῃ ἀναγκαῖον ἦν ἐκ πάντων κοσμεῖν τὸν λόγον. Τοιοῦτο δὲ καὶ παρὰ τῷ Ἀποστόλῳ εὑρίσκεται. Εἰπὼν γάρ «Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι πολλάκις προεθέμην ἐλθεῖν πρὸς ὑμᾶς»[2], δέον ἀκολούθως ἐπαγαγεῖν «ἵνα τινὰ καρπὸν σχῶ καὶ ἐν ὑμῖν»[3] καὶ τὰ ἑξῆς, ἀλλὰ διὰ τὸ μακρότερα εἶναι παρενέθηκεν τό «ἐκωλύθην»[4] ἄχρι τοῦ δεῦρο, ἵνα μὴ ἀναγκαῖον ὂν ἀπὸ τοῦ μήκους τῶν ἑξῆς ἐξωσθεὶς παρενθεῖναι ζημιώσῃ τὸν λόγον· ἀπολογίας γὰρ τόπον ἐπεῖχεν.

Τὸ οὖν «Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν» πρὸς τὸ ἄνω βλέπει. Εἰπὼν γὰρ ὅτι ἐκεῖνοι οὕτω χλευάζουσιν ἡμᾶς, — ποῖα γὰρ παρ' αὐτοῖς λέγοντες «σημεῖα»[5]; τίς δέ «προφήτης»[6], οἷα γεγενῆσθαι πολλὰ παρ' αὐτοῖς φασιν; — ἐκπλήττειν μᾶλλον καὶ ἀπατᾶν βουλόμενοι τοὺς ἀκούοντας ὥστε οὐδὲν αὐτοὺς δεδιέναι προσήκει, ὁρμήσαντας δὲ πᾶν ὅ τι κακὸν αὐτοὺς διαθεῖναι, εἶτα ἐπαγαγὼν τὴν παρένθεσιν ὡς ἀναγκαίαν, — τὸ μέχρι πότε τοιαῦτα λέγειν αὐτοῖς ἐπιτρέψῃς οὐ βοηθῶν ἡμῖν, ἀλλὰ διὰ τούτου παρέχων αὐτοῖς τοῦ τοιαῦτα λέγειν τὰς ἀφορμάς; — ἐνταῦθα ἀπέδωκεν τὰς ἀφορμάς, «Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων», τουτέστιν οὐ γὰρ ἡμῶν ἀεὶ Δεσπότης κἂν ἐκεῖνοι χλευάζουσι καὶ ἀρνῶνται, ὥστε δίκαιον καὶ νῦν τῇ εἰς ἡμᾶς σου βοηθείᾳ βεβαιωθῆναι μὲν τῶν τότε τὴν ἀλήθειαν, φανῆναι δὲ τούτους βλασφήμως μᾶλλον ἀρνούμενος τὰ γινόμενα.

«Εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς»

Σὺ γὰρ ὁ τότε τὴν σωτηρίαν ἡμῖν παρασχόμενος. Τό «ἐν μέσῳ τῆς γῆς», ἵνα εἴπῃ οὕτως ἡμᾶς περιέ**496**σωσας μετὰ μεγάλων

1. Ψαλ. 73,12. **2.** Ρωμ. 1,13. **3.** Ἔνθ' ἀν. **4.** Ἔνθ' ἀν. **5.** Ψαλ. 73,9. **6.** Ἔνθ' ἀν.

θαυμάτων, ὡς μηδένα διαλαθεῖν τὰ γιγνόμενα, — ἐκ μεταφορᾶς τῶν ἐν μέσῳ πλήθους ὄντων, οἳ τῷ κυκλῶσθαι μάλιστα παρὰ πάντων ὁρῶνται.

13 «Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν»

Σὺ τότε συνήγαγες τὴν θάλασσαν, καὶ ὀλισθηρὰν οὖσαν τὴν φύσιν ἔπηξας κατὰ τὴν σὴν δύναμιν, ἐν τάξει τειχῶν ἐργασάμενος τὰ ὕδατα.

«Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος»

Καὶ ἡμᾶς μὲν οὕτω διαβῆναι πεποίηκας, τοὺς δὲ πολεμίους δίκην «δρακόντων» ἕρποντας καθ' ἡμῶν ἐπ' αὐτῷ «συνέτριψας»[1] καὶ ἀπώλεσας τῷ ὕδατι· τοῦτο γὰρ δὴ τὸ θαυμαστόν, ὅτι τὸ ὑπὲρ ἡμῶν παγὲν ἐκείνους κατεπόντωσεν.

14 «Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος»

Ἵνα εἴπῃ τοῦ Φαραώ· καὶ αὐτὸν δὲ τὸν ἔξαρχον ἀνεῖλες. Καλῶς τό «σύ» δι' ὅλου ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἀρνουμένων καὶ χλευαζόντων, δράκοντας δὲ μεταφορικῶς διὰ τὴν πονηρίαν αὐτοὺς καλέσας. Τό «συνέτριψας τὰς κεφαλάς»[2] αὐτῶν καί «συνέθλασας»[3] ἐμφαντικωτέραν τὴν κατ' αὐτῶν τιμωρίαν ἐποίησεν. Οὐχ ἁπλῶς δὲ πάντας τοὺς πονηροὺς δράκοντας καλεῖ, ἀλλὰ τοὺς ἐξάρχοντας τῶν πονηρῶν, ἐπειδὴ τοιοῦτον ἐν τοῖς ἑρπετοῖς ὁ δράκων. Βούλεται οὖν εἰπεῖν τοὺς παρ' αὐτοῖς στρατηγοὺς καὶ σατράπας, διὰ τοῦτο εἰπὼν τῶν δρακόντων κεχωρισμένως, πάλιν εἶπεν «τοῦ δράκοντος» τὸν βασιλέα λέγων.

«Ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψιν»

Πόλεμος ἦν Αἰγυπτίοις ἀεὶ πρὸς Αἰθίοπας πλησιοχωροῦντας αὐτοῖς. Τῆς οὖν πληγῆς γενομένης, καὶ ἀπολομένου τοῦ βασιλέως, ἀπολομένων δὲ τῶν ἀρχόντων, ἀπολομένου **497** δὲ τοῦ στρατοῦ παντός, ἐπελθόντες οἱ Αἰθίοπες κάκιστα τὴν χώραν διέθηκαν. «Ἔδωκας» τοίνυν, φησίν, «αὐτόν», ἵνα εἴπῃ τὸν Αἰγύπτιον, κατά-

1. Ψαλ. 73,13. **2.** Ἔνθ' ἀν. **3.** Ψαλ. 73,14.

βρωμα τῶν Αἰθιόπων, οἳ τὴν χώραν ἐπελθόντες ἔρημον οὖσαν στρατοῦ τε καὶ βασιλέως ἐνεμήθησαν καὶ κατέφαγον.

15 «Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους»

Ὕδατά φησιν ἡμῖν κατὰ τὴν ἔρημον οὖσιν ἀνέδωκας. Τὸ δέ «χειμάῤῥους»[1], ἵνα εἴπῃ τὸ τῶν ὑδάτων αἰφνίδιον, ὅτι μὴ κατὰ συνήθειαν ῥέοντα ὕδατα διὰ μόνην τὴν αὐτῶν χρείαν ἐκδοθῆναι πεποίηκεν· τοιοῦτοι γὰρ οἱ χείμαῤῥοι, οὐ κατὰ συνήθειαν φερόμενοι, ἀλλ' αἰφνίδιον ἐπιῤῥέοντες.

«Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ»

Τὰ μὲν δέδωκας ὕδατα παρὰ συνήθειαν, τὰ δὲ ἐπέσχες παρὰ τὴν φύσιν, οἷον δὴ τὸ τοῦ Ἰορδάνου. Ἡ μὲν οὖν δευτέρα τῶν Βασιλειῶν μέμνηται τοῦ βασιλέως Ἠθάμ, Ἰεδδοῦρον τὸν ἑαυτοῦ υἱὸν πρὸς τὸν Δαβὶδ μετὰ πολλῶν ἀποστείλαντος δώρων, ὑπὲρ ὧν τὸν Ἀδραζὰρ ἐτιμωρήσατο σφόδρα πρὸς αὐτὸν πολεμίως διακείμενον[2]. Συμβαίνει δέ που καὶ δι' ἐκείνων ὡς εἰκὸς φέρεσθαι τὸ ὕδωρ τοῦ Ἰορδάνου· ὅθεν ἀπὸ τοῦ μερικοῦ ποταμοῦ «Ἠθάμ» τὸν Ἰορδάνην ὠνόμασεν ὁ Προφήτης. Οὐκ εὔδηλον μέντοι νῦν ἡμῖν, οὐδὲ σαφὲς τοῦτο καθέστηκεν ἀκριβῶς, τίς ἄρα ὁ Ἠθάμ, τόπος ἢ χώρα, ἀπὸ τῆς ἐγγενομένης ταῖς ὀνομασίαις τῶν τε τόπων καὶ τῶν πόλεων ἐναλλαγῆς, ἣν μάλιστα πολλὴν καὶ διάφορον προβαίνων ὁ χρόνος εἰργάσατο.

16 «Σή ἐστιν ἡ ἡμέρα, καὶ σή ἐστιν ἡ νύξ»

Συνήθως ἀπὸ τοῦ μερικοῦ ἐπὶ τὸ καθολικώτερον ἐκβαίνει. Καὶ οὐδὲν θαυμαστὸν εἰ ταῦτα πεποίηκας, αὐτὸς ὢν ὁ τῶν πάντων Δεσπότης, ὃς ἡμέραν τε καὶ νύκτα κατεσκεύασας.

«Σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον»

498 Αὐτὸς πεποίηκας τὸν ἥλιον εἰς τὸ φαίνοντα τὴν ἡμέραν ἐργάζεσθαι.

---

1. Ψαλ. 73,15. **2.** Πρβλ. Β' Βασ. 8,9-11.

17 «Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς»

Καὶ κοινῶς τὰ πάντα κατασκευάσας αὐτός[1].

«Θέρος καὶ ἔαρ, σὺ ἔπλασας αὐτά»

Αὐτὸς καὶ τὰς τροπὰς εἰργάσω.

18 «Μνήσθητι ταύτης· ἐχθρὸς ὠνείδισεν τὸν Κύριον, καὶ λαὸς ἄφρων παρώξυνεν τὸ ὄνομά σου»

Ἐπειδὴ εἶπεν ἄνω «Ἕως πότε ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός, παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος;»[2] καλῶς ἐνταῦθα «Μνήσθητι ταύτης»[3], τουτέστι τῆς συναγωγῆς, ὑπὲρ ἧς τοσαῦτα ἐποίησας, ὑπὲρ ἧς τοσαῦτα εἰργάσω· ἀπόβλεψον πρὸς τοὺς ἐχθροὺς ὀνειδίζοντας, καὶ ὀργῆς ἄξια φθεγγομένους ὡς οὐ γενομένων ποτὲ τοιούτων, καὶ ἀπόδειξιν τούτου τιθεμένους τὰ νῦν κατέχοντα κακά, καὶ δεῖξον ὅτι γέγονεν δι' ὧν νῦν ἐπαμύνεις.

19 «Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι»

Καὶ μὴ τούτοις ἐναφῇς τοὺς εἰδότας εὐχαριστεῖν σοι ὑπὲρ ὧν ἂν λάβωμεν.

«Τῶν ψυχῶν τῶν πενήτων σου μὴ ἐπιλάθῃ εἰς τέλος»

Ἡμῶν τῶν σῶν καὶ ἐν συμφοραῖς ἐξεταζομένων μὴ ποιήσῃς λήθην[4].

20 «Ἐπίβλεψον εἰς τὴν διαθήκην σου»

Πρόσχες ἡμῖν, πρὸς οὓς διέθου καὶ οἷς ἀεὶ βοηθήσειν συνέθου.

«Ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν»

Πανοικεὶ λέγομεν ἀεὶ ἀντὶ τοῦ πάντες. Ἡμεῖς οὖν, φησίν, «οἱ ἐσκοτισμένοι τῆς γῆς»[5], **499** ἵνα εἴπῃ οἱ παρὰ πάντας ἀνθρώπους ἐν σκότῳ καὶ συμφοραῖς ὄντες, τοὺς οἴκους τῶν ἀνομιῶν ἔχομεν πεπληρωμένους, ἀντὶ τοῦ πανοικεὶ τῶν κακῶν ἀπηλαύσαμεν, καὶ οὐδεὶς ἡμῶν τῆς βλάβης ἀπείραστος, οὐ γυναῖκες οὐ νήπια.

---

1. Πρβλ. Ψαλ. 73,16-17. **2.** Ψαλ. 73,10. **3.** Ψαλ. 73,18. **4.** Πρβλ. Ψαλ. 73,19. **5.** Ψαλ. 73,20.

21 «Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμμένος»

Ἡμεῖς τοίνυν οἱ ἀπὸ τῶν συμφορῶν τεταπεινωμένοι, μὴ ἀποστραφείημεν κατῃσχυμμένοι[1] καὶ οὐδενὸς ἀπολαύσαντες καλοῦ.

«Πτωχὸς καὶ πένης αἰνέσουσιν τὸ ὄνομά σου»

Ἡμεῖς γὰρ οἱ μικροὶ καὶ τοιαῦτα πάσχοντες, ἀπολαύσαντες τῆς παρά σου βοηθείας, ὕμνους σοι τοὺς προσήκοντας ἀναπέμψομεν.

22 «Ἀνάστα, ὁ Θεός, δίκασον τὴν δίκην σου»

«Δίκασον»[2]· σὴ γὰρ ἡ δίκη, ἐπειδὴ σὺ ὁ δι' ἡμῶν ὑβριζόμενος παρ' ἐκείνων, — σαφέστερον δὲ αὐτὸ λέγων πῶς αὐτοῦ ἡ δίκη ἐπάγει.

«Μνήσθητι τῶν ὀνειδισμῶν σου τῶν ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν»

Ὅτι σε διὰ παντὸς ὀνειδίζουσι καὶ εἴς σε βλασφημοῦσι δι' ἡμῶν, ὡς οὐδενὸς πώποτε τοιούτου γενομένου παρά σου ἀλλ' ἡμῶν ψευδομένων.

23 «Μὴ ἐπιλάθῃ τῆς φωνῆς τῶν ἱκετῶν σου· ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διὰ παντὸς πρὸς σέ»

Ἀμφοτέρων δὴ ἀκούσας, ἀμφοτέροις τὸ εἰκὸς φύλαξον, ὧν τε ἡμεῖς ἱκετεύομεν καὶ ὧν ἐκεῖνοι βλασφημοῦντες φθέγγονται.

Ψαλμὸς 74

500 Τὴν κατὰ τῶν Ἀσσυρίων ἐπὶ τοῦ Ἐζεκίου νίκην γενομένην[3] ἐν τούτῳ προφητεύει τῷ ψαλμῷ, ὡς ἐκ προσώπου κοινοῦ πάντων τὴν εὐχαριστίαν ἐπὶ τοῖς γεγενημένοις ἀναφθεγγόμενος.

---

1. Πρβλ. Ψαλ. 73,21. **2.** Ψαλ. 73,22. **3.** Πρβλ. Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,20-22. Ἡσ. 37,36.

2 «Ἐξομολογησόμεθά σοι, ὁ Θεός, ἐξομολογησόμεθά σοι»

Εὐχαριστήσομέν σοι ὑπὲρ τῶν γεγενημένων[1]· τῷ δὲ διπλασιασμῷ συνήθως τὴν ἐπίτασιν τῆς εὐχαριστίας δείκνυσιν.

«Καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου»

[693] Καὶ ἀπὸ τοῦ σοῦ ὀνόματος καλέσομεν ἑαυτούς, ἀντὶ τοῦ Δεσπότην σε ὁμολογήσομεν, εὐεργέτην, προστάτην, εἰκότως ἀφ' ὧν ἀπηλαύσαμεν τὸ ὠφέλιμον παιδευόμενοι. Ἴδιον γὰρ τῶν ἀνθρώπων τὸ ἀπ' ἐκείνων καλεῖσθαι τῶν δεσποζόντων ἢ εὐεργετούντων, οἷον ὅταν λέγωμεν ὁ τοῦδε εἴτε δοῦλος, εἴτε οἰκεῖος, εἴθ' ὁτιδήποτε τοιοῦτον.

3 «Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅταν λάβω καιρόν· ἐγὼ εὐθύτητας κρινῶ»

Ἐνταῦθα ἑνικῶς εἶπεν οὐ διηγησόμεθα πάντα τὰ θαυμάσιά σου, ἀλλά «διηγήσομαι», οὐκ ἄλλο τι βουλόμενος εἰπεῖν, ἀλλ' ὡς ἑκάστου τοῦτο λέγοντος ὅπερ ἐν τῇ κοινῇ πάντων γίγνεται φωνῇ. Λαβόμενος οὖν νῦν σχολῆς καὶ εὐκαιρίας, καὶ ἀπαλλαγεὶς τῆς ἐφόδου τῶν πολεμούντων, ἔργον θήσομαι τὸ μέγεθος τῶν γενομένων διηγεῖσθαι. Τοῦτο δὲ αὐτὸ τὴν **501** εὐχαριστίαν λέγει· εὐχαριστία γὰρ εἰς Θεὸν τὸ ὁμολογεῖν εὐεργετεῖσθαι διηγούμενον τὰς χάριτας, οἷον καὶ ἐν τῷ θ' ψαλμῷ τό «Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου»[2]. Ποῖα οὖν θαυμάσια διηγῇ; —«ἐγὼ εὐθύτητας κρινῶ»[3]. Ταῦτα, ὅτι ἐπηγγείλω κρίνειν «εὐθύτητας», ὡς τοῦ Θεοῦ τοῦτο εἰπόντος καὶ ἐπαγγειλαμένου. Δέδεικται γὰρ πολλαχοῦ ἀντὶ τοῦ ἔργου τὸν λόγον καὶ τὴν ἐπαγγελίαν λαμβάνων. Οὐ δεῖ δὲ θαυμάζειν ὅτι μὴ εἶπεν, Διηγήσομαι τὰ θαυμάσιά σου, ὅταν λάβω καιρὸν ὅτι εἶπας «ἐγὼ εὐθύτητας κρινῶ». Ἴδιον γὰρ αὐτοῦ τὸ ἐκ τῆς ἀκολουθίας λέγειν τὰ ἔκ τινων ῥηθέντα, καὶ μὴ προστιθέναι τὸ εἰπὼν ἢ λέγων ἤ τι τοιοῦτον. Καὶ πολλαχοῦ τοῦτο ἄν τις εὕροι ζητήσας τῶν ψαλμῶν, οἷον τὸ ἐν τῷ ριθ' «Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέ-

---

1. Πρβλ. Ψαλ. 74,2. **2.** Ψαλ. 9,2. **3.** Ψαλ. 74,3.

κραξα, [696] καὶ εἰσήκουσέν μου»[1]. Καὶ οὐ προστεθεικὼς τὸ εἰπὼν ἐπήγαγεν «Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων»[2]· ἀκόλουθον γὰρ ἦν εἰπεῖν ὅτι «Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα» εἰπών «Κύριε, ῥῦσαι τὴν ψυχήν μου», ἀλλ' οὐκ εἶπεν, κατὰ ἀποσιώπησιν σημάνας ἐκ τῆς ἀκολουθίας τὸ εἰπών. Καὶ σαφέστερον ἐν τῷ β' ψαλμῷ· «Παρέστησαν» γάρ, φησίν, «οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ. Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν»[3]. Νῦν δὲ παραλιπὼν τὸ λέγοντες, ἐχρήσατο τῇ οἰκείᾳ δι' ὅλων ἀκολουθίᾳ· καὶ ὅλως πολλαχοῦ τοῦτό ἐστιν εὑρεῖν. Ἀρκεῖ γὰρ ταῦτα παραθεμένους εἰς μαρτυρίαν τοῦ παρ' ἡμῶν λεγομένου ἐν αὐτῇ τῇ καθεξῆς ἑρμηνείᾳ δεῖξαι πολλαχοῦ φερόμενον τὸ ἰδίωμα, τῶν ἀναγινωσκόντων μέντοι εἴη ἂν μνημονεύειν ἁπανταχοῦ τῆς ἐπισημασίας.

4 «Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ»

Μόνον τε γὰρ τοῦτο ἐπηγγείλω, καὶ ἤρκεσεν ἡ ἀπειλὴ καταπλῆξαι τὴν γῆν καὶ τούς «ἐν αὐτῇ». Καλῶς δὲ τό «ἐτάκη»· ἴδιον γὰρ τῶν τιμωρίαν προσδοκώντων τὸ τήκεσθαι ὑπὸ τῆς ἀθυμίας.

«Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς»

Τό «ἐγὼ ἐστερέωσα»[4] τῷ «ἐγὼ εὐθύτητας κρινῶ»[5] ἐπισυνῆπται. Ταῦτα, φησίν, εἶπας καὶ ἐπηγγείλω, ἐγὼ κρινῶ καὶ τοῦ ὀρθοῦ δικαστὴς ἔσομαι· ἐγὼ γάρ εἰμι ὁ καὶ τὴν σύμπασαν **502** γῆν ἐργασάμενός τε καὶ ἑδράσας, ὥστε ἀξιόπιστός εἰμι κριτὴς τοῖς οἰκείοις μέλλων δικάζειν ἔργοις. Τὸ δέ «ἐτάκη ἡ γῆ» διὰ μέσου παρέγκειται, διὰ τὸ μέτρον τοῦ Προφήτου παρεντεθεικότος· εἴρηται δὲ καὶ πρὸς κατάπληξιν, ὡς μόνῃ τῇ ἀπειλῇ τοῦ Θεοῦ καταπλῆξαι ποιήσαντος. Ὅλον μέντοι ἐπισυνῆπται τῷ «Διηγήσομαι τὰ θαυμάσιά σου»[6], — ἀντὶ τοῦ ταῦτα διηγήσομαι, ὅπως ἐπηγγείλω κρίνειν ὡς ἰδίους, καὶ ἤρκεσεν ἡ ἀπειλὴ μόνη πρὸς τιμωρίαν.

---

1. Ψαλ. 119,1. **2.** Ψαλ. 119,2. **3.** Ψαλ. 2,2-3. **4.** Ψαλ. 74,4. **5.** Ψαλ. 74,3. **6.** Ἔνθ' ἀν.

5 «Εἶπα τοῖς παρανομοῦσι, Μὴ παρανομεῖτε»

Ταῦτα δέ, φησίν, εἰδὼς ἐγὼ καὶ πρὸ τοῦ γενέσθαι, συνεβούλευον ἀποστῆναι τῆς κακίας.

«Καὶ τοῖς ἁμαρτάνουσι, Μὴ ὑψοῦτε κέρας»

Συνεβούλευον δὲ αὐτοῖς καὶ μὴ μεγάλα φρονεῖν ἐπὶ τῇ οἰκείᾳ ἰσχύϊ· τὸ γάρ «κέρας»[1] ἐπὶ τῆς δυνάμεως καὶ τῆς ἰσχύος λαμβάνει, ἐκ μεταφορᾶς τῶν τοῖς κέρασιν κεχρημένων ζῴων εἰς ἄμυναν.

6 «Μὴ ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν, μὴ λαλεῖτε κατὰ τοῦ Θεοῦ ἀδικίαν»

Μὴ μεγάλα φρονοῦντες ἐπὶ τῇ προσούσῃ ὑμῖν δυνάμει[2], τοσοῦτον αὐτὴν μεγάλην νομίσητε ὡς ἀδεὲς οἴεσθαι καὶ τὸ κατὰ τοῦ Θεοῦ τι εἰπεῖν. Καιρίως δὲ τοῦτο μάλιστα πρὸς Ἀσσυρίους πολλὰ τοὺς Ἰσραηλίτας ὀνειδίσαντας, ὡς μάτην περὶ τὴν τοῦ Θεοῦ θεραπείαν ἔχοντας[3].

7-8 «Ὅτι οὔτε ἀπὸ ἐξόδων οὔτε ἀπὸ δυσμῶν οὔτε ἀπὸ ἐρήμων ὀρέων, ὅτι ὁ Θεὸς κριτής ἐστιν»

[696] Ἔξοδον πολλαχοῦ καλεῖ τὴν τοῦ ἡλίου ἀνατολήν, ὡς τό «ἐξόδους πρωίας καὶ ἑσπέρας τέρψεις»[4]. Ἐπειδὴ καὶ ἔξοδον τοῦ ἡλίου καλεῖ αὐτὴν τὴν ἀνατολήν, ὡς τό «Ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτοῦ»[5], ἔξοδον οὖν λέγει τῶν ἀνατολῶν, «ἐρήμων δὲ ὀρέων» ἄρκτου καὶ μεσημ**503**βρίας. Ἐπειδὴ γὰρ τῶν δύο τούτων κλιμάτων τὰ μέν ἐστιν ἀοίκητα καὶ ἔρημα δι' ὑπερβολὴν κρύους, — λέγω δὲ τὰ ἀρκτῶα, — τὰ δὲ δι' ὑπερβολὴν θάλπους, — ὡς τὰ μεσημβρινά, — «ἐρήμων ὀρέων»[6] ἐκάλεσεν ταῦτα τὰ δύο κλίματα. Βούλεται δὲ εἰπεῖν ὅτι οὐδαμόθεν ἐστὶν διαφυγεῖν τὸν Θεόν· ὅπου ποτὲ γὰρ ἂν ἀπέλθῃς τῶν τεσσάρων κλιμάτων τῆς οἰκουμένης διαφυγεῖν οὐχ οἷόν τε τὸν Θεὸν κοινὸν ὄντα δικαστὴν καὶ πανταχοῦ παρόντα.

---

1. Ψαλ. 74,5. **2.** Πρβλ. Ψαλ. 74,6. **3.** Πρβλ. Δ' Βασ. 18,17 ἑξ. 19,10. Β' Παρλ. 32,9 ἑξ. Ἡσ. 36,2 ἑξ. **4.** Ψαλ. 64,9. **5.** Ψαλ. 18,7. **6.** Ψαλ. 74,7.

8 «Τοῦτον ταπεινοῖ καὶ τοῦτον ὑψοῖ»

Ποιεῖ τοίνυν ὅσα βούλεται, τὸν μὲν κατασπῶν καὶ εἰς πολλὴν ἕλκων ταπείνωσιν, τὸν δὲ ἀνεγείρων[1] παρ' ἐλπίδα. Ἐκ τοῦδε τοῦ πράγματος αὐτὸ λαβὼν εἶπεν· παρ' ἐλπίδας γὰρ καὶ Ἀσσυρίους ἐταπείνωσεν καὶ Ἰσραηλίτας ἀνήγειρεν[2].

9 «Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος»

Τὸν οἶνον ἐπὶ τῆς τιμωρίας λαμβάνει, ἀπὸ τοῦ περιάγεσθαι καὶ καταπίπτειν, τῇ τοῦ Θεοῦ πληγῇ τοὺς τιμωρουμένους δίκην μεθυόντων· ἔχει γάρ, φησίν, ἐν τῇ ἑαυτοῦ χειρὶ ποτήριον πεπληρωμένον ἀκράτου οἴνου[3], — ἵνα εἴπῃ φοβερωτέρας τιμωρίας, ἀπὸ τοῦ τὸν ἄκρατον οἶνον μειζόνως καθάπτεσθαι. Τὸ δέ «κεράσματος», οὐ κεκραμένου λέγει (πῶς γὰρ οἷόν τε εἰπόντα «ἀκράτου» πάλιν εἰπεῖν κεκραμένου;) ἀλλ' ἐπειδὴ κρᾶσιν πολλάκις καλοῦμεν τὸ μέτρον, ὃ πρὸς πόσιν ἀρκεῖ, τοῦτο ἠβουλήθη εἰπεῖν ὅτι τοιαύτην κρᾶσιν οὕτω μεγίστην ὥστε πληρῶσαι τὸ ποτήριον. Βούλεται δὲ εἰπεῖν ἐξ ἀμφοτέρων τῆς τιμωρίας τὴν ἐπίτασιν, καὶ ἐκ τοῦ ἄκρατον εἶναι τὸν οἶνον, καὶ ἐκ τοῦ πεπληρῶσθαι τὸ ποτήριον, τῷ μὲν ἀκράτῳ τὸ αὐστηρὸν καὶ εὔτονον δεικνύς, τῷ δὲ πλήρει τὸ διαρκὲς καὶ πάντων ἁπτόμενον.

«Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο»

504 Καὶ ἐν αὐτῷ, φησίν, ἐστὶν ὃν βούλεται ποτίζειν, ἵνα εἴπῃ ὃν θέλει τιμωρεῖσθαι. Ἡμῶν γὰρ προσδοκώντων κινδυνεύειν, ἔδοξεν αὐτῷ μετακλῖναι τοῦ ποτηρίου τὴν πόσιν ἐφ' ὑμᾶς, καὶ ἰδοὺ ἡμεῖς μὲν ἐκτὸς κατέστημεν τῶν κινδύνων, ὑμεῖς δὲ τὴν τιμωρίαν ἐδέξασθε.

«Πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη»

Καὶ οὐκ ἐκένωσεν τὴν τιμωρίαν οὕτως, ὡς μὴ δύνασθαι πάλιν ἑτέρους κολάζειν, ἀλλ' ἔχει παρ' ἑαυτῷ ἔτι.

---

1. Πρβλ. Ψαλ. 74,8. **2.** Πρβλ. Δ' Βασ. 19,35-36. Β' Παρλ. 32,20-22. Ἡσ. 37,36. **3.** Πρβλ. Ψαλ. 74,9.

«Πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς»

Ἔστι γὰρ λείψανον παρ' αὐτῷ, ᾧ τοὺς λοιποὺς τιμωρήσεται. Βούλεται δὲ εἰπεῖν ὅτι κἂν ἄλλοι τοιαῦτα ἡμᾶς διαθεῖναι βουληθῶσιν, τοιαῦτα πείσονται.

10 «Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα, ψαλῶ τῷ Θεῷ Ἰακώβ»

Ἐγὼ μέντοι διηνεκῶς ἐπὶ τοῖς δοθεῖσιν εὐφρανθήσομαι[1], καὶ ὑμνήσω τὸν ταῦτα παρέχοντα Δεσπότην.

11 «Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συγκλάσω»

Τῇ γὰρ αὐτοῦ δυνάμει πάντας τοὺς ἐπανισταμένους μοι ἐχθροὺς τιμωρήσομαι.

«Καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου»

Φανοῦμαι δὲ μέγας ἐγὼ καὶ πάντων μείζων ὁ τῆς σῆς γνώσεως ἐχόμενος λαός· δίκαιον γὰρ κατὰ τοῦτο λέγει.

Ψαλμὸς 75

505 Ἐπὶ τῇ αὐτῇ ὑποθέσει καὶ οὗτος εἴρηται ὁ ψαλμός.

2 «Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός»

Γνωρίζεται παρ' ἡμῖν[2] ἀεὶ διὰ τῶν εἰς ἡμᾶς εὐεργεσιῶν.

«Ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ»

Πάντες γοῦν αὐτὸν ὡς μέγαν θαυμάζουσιν, ἐκ τῶν περὶ ἡμᾶς τὴν ἀπόδειξιν λαμβάνοντες.

3 «Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ»

Ὁ οὖν αὐτῷ προσήκων τόπος καὶ ἀφωρισμένος, ἵνα εἴπῃ τὰ Ἱεροσόλυμα, τηλικαύτης ἐφόδου πολεμίων παρὰ πᾶσαν ἀπαλλα-

---

1. Πρβλ. Ψαλ. 74,10. **2.** Πρβλ. Ψαλ. 75,2.

γεὶς προσδοκίαν, εἰρήνης ἀπολαύει βαθείας. Ποῖος δὲ αὐτοῦ τόπος, φανερώτερον ἐπάγει.

«Καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών»

Τουτέστιν ὁ ναὸς ὁ τοῦ Σιών, ἐν ᾧ κατοικεῖ[1].

4 «Ἐκεῖ συνέτριψεν τὰ κράτη τῶν τόξων, ὅπλον καὶ ῥομφαίαν καὶ πόλεμον»

Πάντας γὰρ ἐκεῖ τοὺς τὴν πόλιν κυκλώσαντας κατηνάλωσεν, τὰ τόξα συντρίψας[2], τοὺς θυρεούς, τὰ ξίφη, καὶ οὕτω διαλύσας τὸν πόλεμον.

5 «Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων»

506 Ὥσπερ σκότος καλεῖ τὰς θλίψεις, οὕτω φωτισμὸν καλεῖ τοῦ Θεοῦ τὴν ἀντίληψιν, ὡς λύουσαν τὰς θλίψεις· καὶ τοῦτο ἡμῖν ἐπισεσήμανται πολλαχοῦ. Ἀπὸ γὰρ ἐκείνων σού φησι τῶν «ὀρέων»[3], — ἵνα εἴπῃ τοῦ Σιών, — ἀεὶ ἐπιφαινόμενος μετὰ πολλοῦ τοῦ θαύματος, πάντα λύεις τὰ λυπηρά, καὶ πάντα φωτὸς πληροῖς καὶ εὐφροσύνης. Αἰώνιον δὲ εἶπεν τὸ ὄρος ὡς διαμένον ἰσχυρόν, καὶ οὐδέποτε ὑπὸ πολέμοις γενόμενον μέχρις ἂν μὴ τῷ Θεῷ δοκῇ.

6 «Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ»

Οἱ γὰρ εὐηθέστατοι ἐκεῖνοι καὶ οἰηθέντες τὸν σὸν τόπον κρατήσειν ἀπροσδόκητον ὑπέστησαν ταραχήν, ὡς μήτε συνορᾶν τίς ἂν αὐτοῖς γένοιτο φυγὴ τῶν κατεχόντων κακῶν.

«Ὕπνωσαν ὕπνον αὐτῶν καὶ οὐχ εὗρον οὐδέν»

Ἐπειδὴ ἐκαθεύδησαν παρὰ τῷ τείχει, ὡς πρωὶ τὴν πόλιν κατασκάψοντες, εἶτα διὰ τῆς νυκτὸς[4] αἰφνίδιον ἅπαντες ἀπώλοντο. Ἐκαθεύδησαν, φησί, καὶ ηὑρέθη οὐδέν[5], τουτέστιν εἰς τὸ μηδὲν περιέστησαν πάντες αἰφνίδιον ἀποθανόντες.

---

1. Πρβλ. Ψαλ. 75,3. **2.** Πρβλ. Ψαλ. 75,4. **3.** Ψαλ. 75,5. **4.** Πρβλ. Δ' Βασ. 19,35. Ἠσ. 37,36. **5.** Πρβλ. Ψαλ. 75,6.

«Πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν»

Ἅπαντες γὰρ οὗτοι οἱ δυνατοὶ καὶ εὔποροι ἀεὶ ταῖς ἰδίαις πεποίθασι χερσίν, ἵνα εἴπῃ τῇ οἰκείᾳ δυνάμει.

7 «Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακώβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοὺς ἵππους»

507 Ἀλλὰ μόνον ὠργίσθης καὶ ἐπετίμησας[1], καὶ ὥσπερ τινὶ νυσταγμῷ κατασχεθέντες ἅπαντες τῶν ἵππων κατηνέχθησαν, οὐδὲ τοῦ τρόπου τῆς τιμωρίας ἐπαισθανόμενοι, — ἀπὸ τοῦ τοὺς νυστάζοντας ἄγαν αἰφνιδίως καὶ ἀνεπαισθήτως καταπίπτειν, τὸ αἰφνίδιον παραστῆσαι βουληθεὶς τῆς πληγῆς.

8 «Σὺ φοβερὸς εἶ, καὶ τίς ἀντιστήσεταί σοι;»

Κατὰ πρόσωπόν σου· φόβου γὰρ γέμεις, καὶ οὐ δυνατὸν οὐδὲ ἀντιβλέψαι σοί τινα[2].

«Ἀπὸ τότε ἡ ὀργή σου»

Καὶ οὐ νῦν ἤρξω τοῦ ὀργιζόμενος τιμωρεῖσθαι οὓς ἐθέλεις, ἀλλ' ἄνωθεν καὶ ἐκ μακροῦ τοῦ χρόνου δύνασαί τε ταῦτα καὶ ποιεῖς.

9 «Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν»

Συνήθως οὖν ἄνωθεν καὶ νῦν τῆς κρίσεως, ἧς ἀποφαίνῃ, πάντας ἀκοῦσαι ποιήσεις. Ἐσχημάτισεν δὲ αὐτὸ ὡς τοῦ Θεοῦ ἄνωθεν ἀποφαινομένου πάντας ἀπολέσθαι, καὶ οὕτως αὐτῶν ἀπολομένων.

«Γῆ ἐφοβήθη καὶ ἡσύχασεν»

Ὅμοιόν ἐστιν τῷ ἐν τῷ πρὸ τούτου ψαλμῷ. Μόνον φησίν, ἀπεφήνω καὶ ἔλαβεν πάντας φόβος καὶ ἡσυχία[3]· ἀπώλοντο γὰρ πολεμοῦντες καὶ ταράττοντες.

---

1. Πρβλ. Ψαλ. 75,7. **2.** Πρβλ. Ψαλ. 75,8. **3.** Πρβλ. Ψαλ. 75,9.

10 «Ἐν τῷ ἀναστῆναι εἰς κρίσιν τὸν Θεόν, τοῦ σῶσαι πάντας τοὺς πραεῖς τῆς γῆς»

Ἀναστάντος οὖν, φησίν, εἰς τὸ δικάσαι[1] καὶ περισῶσαι ἡμᾶς τοὺς μάτην παρ' ἐκείνων ἀδικουμένους, ἐκεῖνοι ταῦτα πείσονται.

11 «Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξολογήσεταί σοι»

508 Ὑπὲρ τούτων, φησί, τὰ ἐνθυμήματα ἡμῶν εὐχαριστήσει σοι[2], — ἵνα εἴπῃ αἱ διάνοιαι ἡμῶν καὶ οἱ λογισμοὶ ἡμῶν περὶ τοῦτο ἀσχοληθήσονται, ὡς μηδὲ βουλεύσασθαί τι ἕτερον.

«Καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι»

Ἐπειδὴ ἔθος ἡμῖν ἐν ταῖς συμφοραῖς λιποψυχεῖν, τοῦτο φησίν, ὅτι ἡ ψυχὴ ἡμῶν καὶ ὁ λογισμός, ὁ περιληφθεὶς ἡμῖν διὰ τὴν παρά σου βοήθειαν, οὗτος ἐν ἑορτῆς μέρει θήσεται τῶν σῶν ἀγαθῶν τὴν μνήμην.

12 «Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ὑμῶν»

Τοῦτο λοιπὸν ὁ Προφήτης ἐγκελεύεται· ὑπὲρ ὧν τετυχήκατε, φησίν, εὐχόμενοι τὰ ὀφειλόμενα αὐτῷ ἀπόδοτε[3].

12-13 «Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσιν δῶρα τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων φοβερῷ παρὰ τοῖς βασιλεῦσι τῆς γῆς»

Οὐδὲ γὰρ θαυμαστόν φησιν ὑμᾶς τοῦτο διαπράττεσθαι ὁπότε τῶν γενομένων τὸ μέγεθος εἰς ἔκπληξιν πάντας καταστήσει τοὺς περιοικοῦντας, ὥστε δῶρα αὐτῷ προσαγαγεῖν ὡς μεγάλῳ καὶ ποιοῦντι ὅσα βούλεται, καὶ ἀναιροῦντι ἄρχοντας, καὶ βασιλέας τιμωρουμένῳ[4]. Εἰκὸς δὲ ἦν τοῦτο γενέσθαι παρὰ τῶν **509** περιοικούντων, οὐ μόνον ἐκπληττομένων τὸ γενόμενον, ἀλλὰ καὶ εὐχαριστούντων. Κοινῶς γὰρ πάντας τοὺς Ἀσσυρίους ἀπονεμηθέντος καὶ μικροῦ ἀπολέσαντος, κοινὴ πάντων ἦν ἐλευθερία ὁ ἐκείνων θάνατος.

---

1. Πρβλ. Ψαλ. 75,10. **2.** Πρβλ. Ψαλ. 75,11. **3.** Πρβλ. Ψαλ. 75,12. **4.** Πρβλ. Ψαλ. 75,13.

Ψαλμὸς 76

Λέγει μὲν κἀνταῦθα τὰ κατὰ τὸν ἐν Βαβυλῶνι λαὸν ἐξηγούμενος. Ἔχει δέ τινα ὁμοιότητα ἐν τῷ σχήματι πρὸς τὸν οβ΄. Ὥσπερ γὰρ ἐκεῖ, φησίν, ὅσα τε καὶ οἷα ὑπὸ τῶν συμβαινόντων πραγμάτων λογίζεσθαι προσήγοντο, οὕτως κἀνταῦθα λέγει ὅσα μὲν ἔπασχον καὶ οἷα, τίνα δὲ καὶ ἐννοεῖν ὑπὸ τῶν συμφορῶν ἠναγκάζοντο. Λέγει δὲ ταῦτα κατὰ τὸ σύνηθες ἀπὸ τοῦ ἐκείνων προσώπου, ὡσανεὶ μετὰ τὴν ἐπάνοδον λεγόντων τὰ τότε συμβάντα καὶ τίνα ἐλογίσαντο.

2-3 «Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς τὸν Θεόν, καὶ προσέσχεν μοι. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα»

Ἐβόησα, φησί, πρὸς αὐτὸν καὶ ἐφρόντισέν μου[1].

3 «Ταῖς χερσίν μου νυκτὸς ἐναντίον αὐτοῦ, καὶ οὐκ ἠπατήθην»

Σύμμαχος τό «ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ»[2], σαφέστερον εἶπεν 'ἡ χείρ μου νυκτὸς ἐκτέταται διηνεκῶς'. Ὁπηνίκα, φησίν, ἐθλιβόμην· ᾔτουν τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν, διὰ πάσης τῆς νυκτὸς πρὸς τὸν Θεὸν ἐκτείνων τὰς χεῖρας· καὶ οὐ διεψεύσθην τῶν ἐλπίδων, ἔτυχον δὲ ὧν ἐχρῆν.

«Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου»

Πολλάκις, φησίν, ὑπὸ τοῦ μεγέθους τῶν κακῶν καὶ τῶν συμφορῶν ἀπηρνησάμην καὶ ἀπηγόρευσα πᾶσαν **510** παράκλησιν, τουτέστιν οὐκ ἤλπισα ἔσεσθαί τινα λύσιν καὶ παραμυθίαν τῶν λυπηρῶν· τὸ μὴ γὰρ ἐλπίζειν ὅτι λυθήσεται οὐδεμίαν ἔχειν παράκλησιν συγχωρεῖ.

4 «Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην»

Ἀλλ' εἰ καί ποτε ὑπὸ τῶν συμφορῶν ἀπηγόρευσα τὰ κατ' ἐμαυτόν, τῇ μνήμῃ τοῦ Θεοῦ ηὐφραινόμην, λογιζόμενος ὅτι μέγας

---

1. Πρβλ. Ψαλ. 76,2. **2.** Ψαλ. 76,3.

ὁ Δεσπότης καὶ πάντων δυνατώτερος, ἀρκῶν πρὸς πᾶσαν λύσιν συμφορῶν. Ἐντεῦθεν λοιπὸν ἐξηγεῖται πλατύτερον ὅπως μὲν ἀπηγόρευεν τὰ καθ' ἑαυτόν, οὐδὲ παρακαλεῖσθαι δυνάμενος, ὅπως δὲ ηὐφραίνετο τῇ μνήμῃ τοῦ Θεοῦ.

«Ἠδολέσχησα, καὶ ὠλιγοψύχησεν τὸ πνεῦμά μου»

Εἰρήκαμεν πολλαχοῦ ὅτι ἀδολεσχίαν τὴν συνέχειαν λέγει ὁτουδήποτε πράγματος· τὸ οὖν «ἠδολέσχησα καὶ ὠλιγοψύχησεν τὸ πνεῦμά μου»[1], ἀντὶ τοῦ συνεχῶς καὶ πλεονάκις ὑπὸ τῶν πολλῶν καὶ κακῶν λογισμῶν εἰς ὀλιγοψυχίαν κατέπεσον.

5 «Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου, ἐταράχθην καὶ οὐκ ἐλάλησα»

Ὥσπερ ἐπὶ τῆς ἡμέρας ἔθος ἡμῖν εἰς τέσσαρα διαιρεῖν τὰς ὥρας καὶ φαμὲν γ ϛ θ καὶ ιβ τὴν ἑσπέραν, οὕτω καὶ ἐπὶ τῆς νυκτὸς ἡ διαίρεσις γίνεται. Καλεῖ μέντοι αὐτὰς φυλακὰς[2] ἡ θεία Γραφή, πρώτην φυλακὴν τὰς πρώτας τρεῖς, δευτέραν τὰς δευτέρας, τρίτην τὰς τρίτας, τετάρτην τὰς τελευταίας ἀπὸ τοῦ τοὺς ἀγρυπνοῦντας καὶ φυλάττοντας ἐκ διαδοχῆς τὰς νύκτας ἐν ταύταις ταῖς ὥραις παυομένους τῆς φυλακῆς ἑτέροις παραδιδόναι. Τοῦτο οὖν βούλεται εἰπεῖν ὅτι ἀπὸ τῶν κακῶν ἀφίστατό μου καὶ ὁ ὕπνος, ὡς ἀεὶ ἐγρηγορότος μου ὑφ' ἑκάστης φυλακῆς ἠνεωγμένους τοὺς ὀφθαλμούς μου καταλαμβάνεσθαι, — ἵνα εἴπῃ ὅτι συνεχῶς ὑπὸ τῶν κακῶν οὐδὲ λαλεῖν πολλάκις ἠδυνάμην, ὥσπερ κημωμένος ὑπὸ τῶν συμφορῶν τὸ στόμα.

6 «Διελογισάμην ἡμέρας ἀρχαίας»

511 Ὑπεμιμνησκόμην ἐκείνων τῶν παλαιῶν ἡμερῶν[3].

6-7 «Καὶ ἔτη αἰώνια ἐμνήσθην καὶ ἐμελέτησα»

Σύμμαχος τά 'ἔτη τὰ ἀπὸ αἰῶνος' λέγει. Καὶ τῶν παλαιῶν ἐκείνων ἐτῶν μνήμην ἐλάμβανον. Βούλεται δὲ εἰπεῖν ὅτι ὑπεμιμνησκόμην τῶν ἐν τῇ ἡμετέρᾳ γῇ καὶ τῆς ἐκεῖ εὐετηρίας, ὅπως διήγομεν ἐκεῖ καὶ ἐν οἷς ἦμεν καὶ οἵων ἀπηλαύομεν.

---

1. Ψαλ. 76,4. 2. Πρβλ. Ψαλ. 76,5. 3. Πρβλ. Ψαλ. 76,6.

7 «Νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν»

Συνεχῶς δὲ ἐν ταῖς νυξὶν[1] διανιστάμενος, ταῦτα ἐπὶ τῆς ἐμαυτοῦ διανοίας ἔστρεφον λογιζόμενος.

«Καὶ ἔσκαλλεν τὸ πνεῦμά μου»

Ἐπὶ τούτοις οὖν ἐταραττόμην τὴν ψυχὴν λογιζόμενος οἷα μὲν τὰ παλαιά, οἷα δὲ τὰ παρόντα, καὶ εἶπα·

8 «Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος»

Λοιπὸν, οὖν, φησί, τοῦτο ἐνεθυμούμην ἄρα πάντως ἡμᾶς ἀποῤῥίψει;

«Καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι;»

Καὶ οὐ φροντίσει πάλιν χρηστόν τι περὶ ἡμᾶς διαπράξασθαι;[2]

9 «Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει»

Ἀλλὰ παντελῶς τὴν χρηστότητα αὐτοῦ καὶ τὴν εἰς ἡμᾶς φιλανθρωπίαν ἀποτεμών, οὐδενὸς ἡμῖν καλοῦ μεταδώσει;

«Συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν;»

Σύμμαχος· 'συνετέλεσεν ῥῆσιν περὶ γενεᾶς ἑκάστης'. Ἐλογιζόμην δέ, φησί, κἀκεῖνο, ὅτι μηδὲν ἁπλῶς καὶ ὡς **512** ἔτυχεν ποιεῖς, πόῤῥωθεν δὲ ἕκαστα εἰδὼς καὶ περὶ ἑκάστου τῶν μελλόντων τίκτεσθαι ἀνθρώπων γινώσκων ἀκριβῶς ἅπαντα, οὕτω περὶ ἑκάστης γενεᾶς[3] προλαμβάνων ὁρίζεις ἕκαστόν τί τε παθεῖν καὶ ἐν οἷς προσήκει γενέσθαι· καὶ τοῦτο αὐτὸ μάλιστα ἐδεδίειν μή τι ἄρα παντελῶς περὶ ἡμῶν προλαβὼν ἐδοκίμασας τοιοῦτο, ὥστε παραδοῦναι πάντη καὶ ἐναφεῖναι τοῖς κακοῖς.

10 «Ἢ ἐπιλήσεται τοῦ οἰκτιρῆσαι ὁ Θεός»

Ἐντεῦθεν, φησίν, ἐκεῖνο μάλιστα κατ' ἐμαυτὸν ἐλογιζόμην μήποτε τί τοιοῦτον καὶ περὶ ἡμῶν ἀποφηνάμενος οὐκέτι λογιεῖται, οὔτε ἀνέξεται τοῦτο φιλάνθρωπον ποιῆσαι περὶ ἡμᾶς;

---

1. Πρβλ. Ψαλ. 76,7. **2.** Πρβλ. Ψαλ. 76,8. **3.** Πρβλ. Ψαλ. 76,9.

«Ἢ συνέξει ἐν τῇ ὀργῇ αὐτοῦ τοὺς οἰκτιρμοὺς αὐτοῦ;»

Ἀλλὰ συσφίξει καὶ καθέξει παρ' ἑαυτῷ πᾶσαν χρηστότητα διὰ τὴν καθ' ἡμῶν ὀργήν, καὶ οὐδὲν ἡμᾶς ἀγαθὸν διαθήσει; Καλῶς δὲ συνεχῶς ἔθηκεν ταῦτα, — «ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκόψει ἢ ἐπιλήσεται τοῦ οἰκτιρῆσαι ὁ Θεός»[1] καὶ ὅσα τοιαῦτα. Ἴδιον γὰρ μάλιστα τῶν ἐν ταῖς συμφοραῖς συνεχῶς στρέφειν τὸν λογισμόν (ἆρα ἔσται τι χρηστόν, ἆρα οὐκ ἔσται;) καὶ μᾶλλον ἀμφιβάλλειν ἢ προσδοκᾶν τι καλόν. Πάντα μέντοι πρὸς τό «ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου»[2] ἀπέδωκεν, ἐκεῖνο πλατύτερον εἰπών· τὸ γὰρ λέγειν ἆρα ποιήσει τόδε; ἆρα ἔσται τόδε; Ἀμφιβάλλοντος ἦν καὶ μικροῦ ἀπαγορεύοντος τὰ καθ' ἑαυτόν.

11 «Καὶ εἶπα, Νῦν ἠρξάμην»

Συντόμως σφόδρα εἰρημένον ἐν τῷ ἑβραϊκῷ οὐκ ἐπεδέξατο μετὰ τῆς αὐτῆς συντομίας ἐν τῷ ἑλληνικῷ τὴν σαφήνειαν· οὐ δύναται γοῦν οὐδὲ φρασθῆναι συντόμως ἡ τοῦ ῥητοῦ διάνοια. Ὅμοιον δέ ἐστι τῷ «ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος»[3] κειμένῳ ἐν τῇ ἀρχῇ τῆς κτίσεως· καὶ γὰρ κἀκεῖνο πλειόνων χρείαν ἔχει πρὸς παράστασιν τῆς διανοίας. Βούλεται δὲ εἰπεῖν ὅτι λογιζόμενος ἐκεῖνα τὰ παλαιὰ καὶ τὴν ἀρχαίαν εὐετηρίαν, ὁρῶν δὲ μεγάλα τὰ παρόντα κακά, ἔλεγον ὅτι τάχα ἀρχή μοι αὕτη τῶν συμφορῶν· ἐννοῶν γὰρ ὅσων καὶ οἵων ἔτυχεν ἡμῶν τὸ γένος τὸ **513** παλαιόν, ἐν οἷς δὲ νῦν εἰμι, ἐνενόησα πολλάκις ὅτι τάχα ὥσπερ ποτὲ ἔδοξεν αὐτῷ εὐποιῆσαι ἡμᾶς καὶ εἰς τοῦτο προέβαινε τὰ καθ' ἡμᾶς, οὕτω καὶ νῦν τάχα τι ἕτερον περὶ ἡμῶν δοκιμάσας πάντη ἡμᾶς ἀπέβαλεν τοῖς κακοῖς παραδούς, καὶ τάχα ταῦτα τὰ νῦν κατέχοντα κακὰ ἀρχὴ τῶν λοιπῶν ἐστιν τῶν καθεξῆς μελλόντων συμβαίνειν. Καὶ ὥσπερ ἤρξατο μέν ποτε εὐεργετεῖν ἡμᾶς, ὁσημέραι δὲ προεκόπτομεν ἐν τούτῳ, οὕτω καὶ νῦν ἤρξατο τῶν ἐναντίων, καὶ δεῖ τὴν ἐπὶ τὸ χεῖρον προκοπὴν προσδοκᾶν. Ὅμοιον δέ ἐστι τῷ ἐν τῷ οβ' «Εἰ ἔλεγον διηγήσομαι, ἰδοὺ τῇ γενεᾷ τῶν υἱῶν σου ἠσυνθέτηκας»[4]. Τοιοῦτο γάρ τι εἰπεῖν ἠβουλήθη κἀνταῦθα, ὅτι ὑπὸ τῶν κακῶν

---

1. Ψαλ. 76,9-10. **2.** Ψαλ. 76,3. **3.** Γεν. 1,2. **4.** Ψαλ. 72,15.

ἐνενόουν ὅτι τάχα πάντη ἡμᾶς ἀπέῤῥιψας, καὶ οὐδὲν δεῖ τοῦ λοιποῦ χρηστὸν προσδοκᾶν, ἀλλ' ἀρχὴν ἡγεῖσθαι ταῦτα τῶν ἐσομένων κακῶν. Διὰ τοῦτο καλῶς ἑξῆς ἐπάγει·

«Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου»

Ἀλλοιοῦσθαι λέγεται τὸ τρέπεσθαι καὶ μεταβάλλεσθαι. «Δεξιάν»[1] δὲ τοῦ Θεοῦ εἰρήκαμεν πολλαχοῦ ὅτι τὴν βοήθειαν λέγει. Ἐνενόουν, φησίν, ὅτι μετέβαλες καὶ μετέστρεψας τὴν περὶ ἡμᾶς σου γνώμην, οὐκέτι βοηθεῖν ἡμῖν θέλων ἐν κακοῖς οὖσι, παραδοῦναι δὲ ἡμᾶς ἅπαξ καὶ ἐναφεῖναι δοκιμάσας τοῖς κακοῖς· ὅθεν δὴ καὶ συμβαίνειν ἐλογιζόμην τὸ ἐν τούτοις ἐξετάζεσθαι καὶ τοιαῦτα πάσχειν ἡμᾶς. Μέχρι τούτου πρὸς τό «ἀπηνήνατο» πάντα ἀποδεδωκώς, καὶ πλατύτερον αὐτὸ εἰπὼν τὸ ὅπως ἀπηγόρευον πολλάκις τὰ καθ' ἑαυτόν, ὡς μηδὲ παράκλησιν προσίεσθαί τινα, ἐντεῦθεν πάλιν ὅπως αὐτὸν ηὔφραινεν ἡ τοῦ Θεοῦ μνήμη πλατύτερόν φησιν.

12 «Ἐμνήσθην τῶν ἔργων Κυρίου»

Ἀλλὰ μετὰ πάντας, φησί, τοὺς λογισμοὺς τούτους αὐτάρκη παράκλησιν εἶχον τῶν ἔργων σου τὴν μνήμην. Ὃ γὰρ εἶπεν διὰ συντόμου ἐν τοῖς προοιμίοις, τοῦτο πλατύτερον διὰ παντὸς ἠβουλήθη εἰπεῖν τοῦ ψαλμοῦ· εἰπὼν γάρ «ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου, ἐμνήσθην τοῦ Θεοῦ καὶ ηὐφράνθην»[2], εἶπεν πλατύτερον ὅπως τὴν παράκλησιν ἀπηγόρευσεν, οἵων μὲν ὄντων τῶν κακῶν, οἷα δὲ λογίζεσθαι ἀναγκαζόμενος. Λέγει λοιπὸν ἐντεῦθεν καὶ πῶς ηὔφρανεν αὐτὸν ἡ τοῦ Θεοῦ μνήμη, — ἐμνημόνευον οὖν, φησίν, ὧν ἐποίησας.

«Ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου»

514 Καὶ ὑπεμιμνησκόμην ἐκείνων τῶν πρώτων[3], ἵνα εἴπῃ τῶν κατ' Αἴγυπτον.

13 «Καὶ μελετήσω ἐν πᾶσι τοῖς ἔργοις σου»

Προβαίνων δὲ καθεξῆς ἁπάντων ἐμεμνήμην[4].

---

1. Ψαλ. 76,11. **2.** Ψαλ. 76,3-4. **3.** Πρβλ. Ψαλ. 76,12. **4.** Πρβλ. Ψαλ. 76,13.

«Καὶ ἐν τοῖς ἐπιτηδεύμασίν σου ἀδολεσχήσω»

Καὶ συνεχῶς ἔστρεφον ἐπὶ τῆς διανοίας οἷα πεποίηκας ἡμῖν. Τούτων δὲ ἡ μνήμη οὐ τὴν τυχοῦσάν μοι προσῆγε παράκλησιν, λογιζόμενος ὅτι τοσαῦτα ποιήσας ὑπὲρ ἡμῶν οὐκ ἀνέξεται πάντη καταλιπεῖν ἡμᾶς. Εἶτα λοιπὸν ἐξηγεῖται τὴν παλαιὰν εὐεργεσίαν εἰς μείζονα πίστωσιν.

14 «Ὁ Θεός, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου»

Ὅμοιόν ἐστι τοῦτο τῷ ἐν τῷ ξζ′ ψαλμῷ τῷ «Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός, αἱ πορεῖαι τοῦ Θεοῦ τοῦ βασιλέως τοῦ ἐν τῷ ἁγίῳ»[1]. Τοῦτο γὰρ βούλεται εἰπεῖν, ὅτι ἐπὶ τοῦ ὄρους τοῦ Σινᾶ ἐφάνη σου ἡ ὁδὸς καὶ τὰ ἴχνη. Οὕτω, φησίν, ἠξίωσας αὐτὸς παραγενόμενος πρὸς τὸν λαὸν διαλεχθῆναι αὐτοῖς, ὡς καὶ τὴν ὁδόν σου καὶ τὰ ἴχνη σου ἅπασι φανῆναι· ἀκριβέστερον δὲ εἴρηται ἐκεῖ, ἵνα μὴ τὰ αὐτὰ ἑκάστοτε πλατύνειν δοκῶμεν.

«Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν;»

Καὶ ταῦτα, φησίν, ἠξίωσας ποιῆσαι, οὐ μικρός τις ὤν, ἀλλὰ καὶ ἄγαν μέγας[2], ὡς μηδὲ εἶναί τινα τὸν ἰσούμενόν σοι.

15 «Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια»

Αὐτὸς γὰρ εἶ ὁ τὰ μεγάλα καὶ θαύματος[3] ἄξια ποιεῖν δυνάμενος.

«Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου»

515 Ἅπασιν ἀνθρώποις σαφῆ σου τὴν δύναμιν ἐκ τῶν περὶ ἡμᾶς κατεσκεύασας.

16 «Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου»

Οὕτως μετὰ πολλῆς τῆς ἰσχύος ἀπήλλαξας ἡμᾶς τῶν ἐν Αἰγύπτῳ κακῶν[4].

---

1. Ψαλ. 67,25. **2.** Πρβλ. Ψαλ. 76,14. **3.** Πρβλ. Ψαλ. 76,15. **4.** Πρβλ. Ψαλ. 76,16.

«Τοὺς υἱοὺς Ἰακὼβ καὶ Ἰωσήφ»

Ἵνα εἴπῃ ἡμᾶς.

17 «Εἴδοσάν σε ὕδατα, ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν, καὶ ἐταράχθησαν ἄβυσσοι, πλῆθος ἤχους ὑδάτων»

Σχηματίζει συνήθως ὡς τοῦ Θεοῦ προηγουμένου καὶ στρατηγοῦντος αὐτοῖς. Ἅμα τέ, φησίν, ἐθεάσατό σε τὰ ὕδατα[1], καὶ φόβῳ ληφθέντα ἐταράχθη καὶ πᾶσα ἐκείνη ἡ ἄβυσσος μετὰ πολλοῦ τοῦ ἤχου ὑπεχώρει τῇδε κακεῖσε διαιρουμένων τῶν ὑδάτων καὶ μετὰ πολλῆς τῆς σπουδῆς ὑπαναχωρούντων μὲν παρὰ φύσιν, δίοδον δέ σοι κατασκευαζόντων.

18 «Φωνὴν ἔδωκαν αἱ νεφέλαι»

Σύμμαχος 'ἦχον ἔδωκεν αἰθήρ', σφόδρα ὧδε ἀκολούθως εἴρηται. Ἐπειδὴ γὰρ τοῦ Θεοῦ προστάξαντος ἄνεμος ἐπιπνεύσας, ὡς ἐν τῇ Ἐξόδῳ γέγραπται[2], πεποίηκεν τῶν ὑδάτων τὴν διαίρεσιν, καλῶς εἶπεν ὅτι καὶ ὁ ἀὴρ ἐπήχει· σφοδροῦ γὰρ ὄντος τοῦ ἀνέμου, καὶ οὕτως σφοδροῦ ὡς διαίρεσιν ἐργάσασθαι τῶν ὑδάτων, ἀνάγκη πᾶσα ἦν καὶ τὸν ἀπὸ τοῦ ἀνέμου ἦχον μέγαν ἀποτελεῖσθαι. Καὶ τό «αἱ νεφέλαι»[3] δὲ οὐδὲν διαλλάττει· ἴδιον γὰρ μάλιστα τοῦ ἀέρος εἰς νεφέλας συστρεφομένου σφοδροτέρους ἀποτελεῖν τοὺς ἀνέμους.

«Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται»

516 Καὶ ὑπὲρ ἡμῶν φησι ταῦτα, κατὰ δέ γε τῶν ἐχθρῶν αἱ τιμωρίαι σου καὶ αἱ ἀπειλαί σου διέτρεχον.

19 «Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ»

Σύμμαχος· 'ἐν τοῖς τροχοῖς'. Βροντὴν[4] γάρ φησιν ἐπαφεὶς μεγίστην, συνεπόδισας τοὺς τροχοὺς καὶ τὰ ἅρματα τῶν Αἰγυπτίων, ὥστε μηδὲ βραχὺ δυνηθῆναι προβῆναι, ἀλλ' ὑπὸ τῶν ὑδάτων ἅπαντας καταποντωθέντας ἀπολέσθαι.

---

1. Πρβλ. Ψαλ. 76,17. **2.** Πρβλ. Ἐξ. 14,21. **3.** Ψαλ. 76,18. **4.** Πρβλ. Ψαλ. 76,19.

«Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ»

Αὗται δέ σου αἱ ἀπειλαὶ καὶ αἱ καταπλήξεις, καὶ φόβοι οἱ κατὰ τῶν Αἰγυπτίων πᾶσιν ἐγένοντο καταφανεῖς· οὐδένα γὰρ ἔλαθεν ἡ ἐκείνων τιμωρία.

«Ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ»

Πάντες γοῦν ἀκούσαντες φόβῳ καὶ τρόμῳ συνεσχέθησαν ἐπὶ τῇ ἀκοῇ τῶν τοιούτων.

20 «Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς»

Ἠκολούθησεν τῇ οἰκείᾳ σωματοποιήσει. Ὡς γὰρ στρατηγοῦντος αὐτοῖς τοῦ Θεοῦ καὶ προηγουμένου καὶ οὕτω διάγοντος αὐτοὺς τὴν θάλασσαν, ἐφάνης, φησί, προοδεύσας ἡμῶν ἐν τῇ θαλάσσῃ.

«Καὶ τὰ ἴχνη σου οὐ γνωσθήσονται»

Οὐ μήν, φησίν, «ἴχνη σου»[1] ἐθεάθη, ἵνα εἴπῃ ὅτι οὐ σωματικῶς ὤφθη σου ἡ ὁδός, ἀλλὰ διὰ τῶν θαυμάτων.

Ψαλμὸς 77

517 Νόμος ἦν τοῦ Θεοῦ δοθεὶς πρὸς τὸν μακάριον Μωυσέα, ὥστε τοὺς Ἰουδαίους τὰ γενόμενα θαύματα ἔν τε τῇ Αἰγύπτῳ καὶ τὰ κατὰ τὴν ἔρημον ἅπαντα διηγεῖσθαι συνεχῶς τοῖς ἰδίοις υἱοῖς[2], εἰς τὸ κἀκείνους μαθόντας τὰ γενόμενα διηγεῖσθαι τοῖς ἐξ αὐτῶν. Προσέταξεν δὲ τοῦτο ὁ Θεὸς οὐχ ἁπλῶς, ἀλλ' ἵνα γνόντες ὅσων μὲν καὶ οἵων ἠξιώθησαν παρὰ τοῦ Δεσπότου καλῶν, καὶ ὅτι τῇ αὐτοῦ βοηθείᾳ τε καὶ δυνάμει κέκτηνται τὴν γῆν ἣν κατέχουσιν καὶ τῆς ἐλευθερίας ἀπολαύουσιν, σπουδάσωσι μὴ ἀγνώμονες εἶναι περὶ τὸν εὐεργέτην, ἀλλὰ τῇ φυλακῇ τοῦ νόμου καὶ τῇ περὶ τὸν βίον σπουδῇ τιμῶσι τὸν δεδωκότα τὸν νόμον, ὃς εὐεργετήσας πρό-

---

1. Ψαλ. 76,20. **2.** Πρβλ. Ἐξ. 12,26-27. 13,8,14. Δευτ. 6,6-24.

τερον καὶ πολλῶν ἀπαλλάξας κακῶν οὕτω δέδωκε τὸν νόμον ὑπὲρ τῆς ἐκείνων διορθώσεως, γνόντες δὲ τῶν πατέρων τὴν ἀγνωμοσύνην καὶ τὰς ὑπὲρ τούτων τιμωρίας φυλάξωνται μὴ εἰς τὴν ὁμοίαν αὐτοῖς ἀπιστίαν καταπεσεῖν. Τοῦτο τοίνυν ὅπερ πᾶσι ποιεῖν προσετέτακτο, μάλιστα πάντων ποιεῖν ἥρμοττε τοῖς Προφήταις κεκτημένοις ἐκ τῆς τοῦ Πνεύματος χάριτος τὸ διδασκαλικὸν ἀξίωμα. Διὸ καὶ ὁ μακάριος Δαβὶδ πάντας Ἰουδαίους προτρέπων ἐπ' ἀρετὴν καὶ σπουδαιοτέρους περὶ τὴν τοῦ νόμου φυλακὴν ἐργάσασθαι βουλόμενος, κέχρηται τῷδε τῷ ψαλμῷ, διηγούμενος τὰ περὶ τὸ γένος ὑπὸ τοῦ Θεοῦ γεγονότα, ὅπως ἐξήγαγεν τῆς Αἰγύπτου, ὅπως διήγαγεν τὴν ἔρημον, ὅπως τε εἰσήγαγεν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, διὰ πάντων παιδεύων ἀνάλογον τῇ χάριτι τοῦ εὐεργέτου τὴν οἰκείαν ἐπιδείκνυσθαι προαίρεσιν, τελευταῖον μέντοι καὶ περὶ τῆς πρὸς ἀλλήλους αὐτῶν ὁμονοίας τε καὶ συμφωνίας τὰ εἰκότα διαλέγεται.

1 «Προσέχετε, λαός μου, εἰς τὸν νόμον μου»

Ἐν ταῖς κοιναῖς καὶ σπουδαιοτέραις παραινέσεσιν ὁ μακάριος Δαβὶδ προτρέπει πρότερον σπουδαίως ἀκούειν τῶν λεγομένων, οὕτως ἐν τῷ μη' τό «Ἀκούσατε ταῦτα, πάντα τὰ **518** ἔθνη»[1]. Τοιοῦτο γὰρ ἐστιν καὶ τό «Προσέχετε, λαός μου»,[2] λαὸν ἑαυτοῦ καλέσας εἰκότως Ἰουδαίους ἀρχομένους ὑπ' αὐτοῦ. Τὸ δέ «εἰς τὸν νόμον μου», τουτέστιν εἰς ἃ μέλλω λέγειν, εἰκότως νόμον καλέσας τὴν τῶν χρησίμων διδασκαλίαν· διχόθεν γὰρ αὐτῷ νομοτεθεῖν ἐξῆν, καὶ ὡς βασιλεῖ καὶ ὡς Προφήτῃ.

«Κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου»

Σπουδαίως ἀκούσατε ὧν λέγω.

2 «Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου»

Τουτέστιν ἐν διηγήσεσι. Καλῶς δὲ αὐτὸ πληθυντικῶς εἶπεν· πολλῶν γὰρ ἤμελλεν μνημονεύειν θαυμάτων.

---

1. Ψαλ. 48,2. 2. Ψαλ. 77,1.

«Φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς»

Διηγήματα ἀρχαῖα ἐρῶ[1]. Πόθεν εἰδὼς ἃ λέγεις, εἴπερ ἀρχαῖα καί σου πρεσβύτερα;

3 «Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά»

Ἃ ἀκούσαντες μεμαθήκαμέν τινων εἰπόντων[2].

«Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν»

Ἀξιόπιστα οὖν τὰ λεγόμενα, εἰ πατέρες οἱ διηγησάμενοι, οὐκ ἀνασχόμενοι ψεύσασθαι τοῖς ἰδίοις υἱοῖς.

4. «Οὐκ ἐκρύβη ἀπὸ τῶν τέκνων αὐτῶν εἰς γενεὰν ἑτέραν ἀπαγγέλοντες τὰς αἰνέσεις τοῦ Κυρίου. Καὶ τὰς δυναστείας αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ, ἃ ἐποίησεν»

Ἡ ἑρμηνεία τὸ κακοσύνθετον ἐποίησεν, οἷόν ἐστιν τὸ ἐν τῇ Ἐξόδῳ «ὁ γὰρ Μωυσῆς οὗτος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ **519** οἴδαμεν, τί γέγονεν αὐτῷ»[3]. Τοῦτο γὰρ βούλεται εἰπεῖν, ὅτι οὐκ ἔλαθεν ἡμᾶς τὰ ἐκείνων τῶν τέκνων τοὺς τῆς ἑτέρας γενεᾶς (ἑτέρα γὰρ γενεὰ[4] οἱ υἱοὶ πρὸς τοὺς πατέρας) διὰ τὸ ἐκείνους μετὰ πάσης τῆς σπουδῆς ἀπαγγέλλειν ἀεὶ τὰ ὑπὸ τοῦ Θεοῦ γενόμενα, καὶ τοὺς προσήκοντας αὐτῷ ὕμνους ἐπὶ τούτῳ ἀποδιδόναι. Τί δὲ ἦν τὸ κατεπεῖγον ἐκείνους διηγεῖσθαι;

5 «Καὶ ἀνέστησεν μαρτύριον ἐν Ἰακώβ»

Σύμμαχος· 'καὶ ἐνέστησεν διαμαρτυρίαν τῷ Ἰακώβ'. Ἐπειδὴ ὁ Θεός, φησί, τοῦτο ποιεῖν αὐτοὺς διεμαρτύρατο.

«Καὶ νόμον ἔθετο ἐν Ἰσραήλ»

«Νόμον»[5] καὶ πρόσταγμα τοῦτο θέμενος αὐτοῖς.

«Ὅσα ἐνετείλατο τοῖς πατράσιν ἡμῶν τοῦ γνωρίσαι αὐτὰ τοῖς υἱοῖς αὐτῶν»

Ὥστε ὅσα ἔμαθον οὗτοι παρὰ τοῦ Θεοῦ, ὅσα τε ἔγνωσαν καὶ εἶδον, ταῦτα δῆλα καὶ τοῖς ἐξ αὐτῶν τῇ διηγήσει καταστῆσαι. Διὰ τί;

---

1. Πρβλ. Ψαλ. 77,2. **2.** Πρβλ. Ψαλ. 77,3. **3.** Ἐξ. 32,1. **4.** Πρβλ. Ψαλ. 77,4. **5.** Ψαλ. 77,5.

6 «Ὅπως ἂν γνῷ γενεὰ ἑτέρα, υἱοὶ οἱ τεχθησόμενοι»

Ὥστε μὴ λαθεῖν αὐτοὺς τὰ γενόμενα, ἀλλὰ κἀκείνους μαθόντας παρὰ τῶν πατέρων εἰδέναι.

«Καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν»

Ὥστε πάλιν κἀκείνους τοῖς ἐξ αὐτῶν διηγεῖσθαι[1]. Διὰ πάντων δὲ τοῦτο δείκνυσιν, ὅτι τε ἀναγκαῖον ἅπαντας πάντοτε διηγεῖσθαι ἀλλήλοις καὶ διδάσκειν τοὺς ἐξ αὐτῶν, ὥστε μένειν κατὰ διαδοχὴν ἐν μνήμῃ τοῦ γένους τὰ παρασχεθέντα αὐτοῖς παρὰ τοῦ Θεοῦ, καὶ αὐτὸς δικαίως τοῦτο ποιεῖν κατὰ νόμον Θεοῦ ὁμοῦ τε ὑπομιμνήσκων καὶ παιδεύων. Τίς δὲ ἡ αἰτία, φησί, δι' ἣν ἐκέλευσε τοῦτο τοὺς πατέρας διηγεῖσθαι τοῖς τέκνοις ἐπὶ τὸ παραμεῖναι τὴν μνήμην;

7 «Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν»

520 Ἵν' ἀφ' ὧν ἔλαβον ἤδη, ἀπ' αὐτῶν καὶ περὶ τῶν μελλόντων ἐλπίζωσι[2].

«Καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ»

Καὶ μὴ λήθῃ τὰ ἤδη γενόμενα παραδῶσιν.

«Καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσουσιν»

Μεμνημένοι δὲ ὧν ἐποίησεν, φροντίζωσιν ὡς προσέταξεν.

8 «Ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν»

Καὶ φυλάξωνται ταῦτα, οἷς οἱ πατέρες αὐτῶν περιέπεσον.

«Γενεά σκολιὰ καὶ παραπικραίνουσα»

Ἵνα μὴ τοιοῦτοι γένωνται οὕτω σκολιοὶ καὶ διεστραμμένοι καὶ παροξύνοντες τὸν Θεόν. Λέγει δὲ περὶ τῶν ἐξελθόντων ἐξ Αἰγύπτου, ὧν οὐδεὶς ἠξιώθη εἰς τήν «γῆν τῆς ἐπαγγελίας»[3] εἰσελθεῖν, πάντων κατὰ τὴν ἔρημον διὰ τὴν οἰκείαν ἀπολομένων κακίαν[4].

---

1. Πρβλ. Ψαλ. 77,6. **2.** Πρβλ. Ψαλ. 77,7. **3.** Ἑβρ. 11,9. **4.** Πρβλ. Ἀριθ. 14,22 ἑξ. Δευτ. 1,34-35.

Τοιοῦτο δὲ καὶ ὁ Ἀπόστολός φησι, μὴ πορνεύωμεν ὡς ἐκεῖνοι ἐπόρνευσαν, μηδὲ πειράσωμεν ὡς ἐπείρασαν,[1] εἶτα ἑξῆς «ταῦτα δὲ πάντα ὡς τύποι ἡμῶν συνέβαινον ἐκείνοις, πρὸς νουθεσίαν δὲ ἐγράφη ἡμῶν»[2].

«Γενεά, ἥτις οὐ κατηύθυνεν τὴν καρδίαν αὐτῆς»

Πρὸς τό «ἵνα μὴ γένωνται»[3], ἀπέδωκεν καὶ τοῦτο, τουτέστιν ὅπως μὴ τοιοῦτοι γενώμεθα οἷοίπερ ἦσαν ἐκεῖνοι, οὐδὲν εὐθὲς οὐδὲ ὀρθὸν ἐπὶ τῆς οἰκείας ἔχοντες καρδίας, ἀλλ' ἀεὶ διαφόρως στρεβλούμενοι τὴν διάνοιαν.

«Καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς»

521 Τὸ πνεῦμα, τουτέστιν ἡ προαίρεσις, — ἐδείξαμεν γὰρ καὶ ἐν τῷ ν' ψαλμῷ ὅτι πολλαχοῦ τὴν προαίρεσιν πνεῦμα καλεῖ. Ἀκύλας· 'καὶ ἀβέβαιος πρὸς τὸν Θεὸν τῷ πνεύματι τῷ ἑαυτῆς', τουτέστιν οὐκ ἔσχεν πίστιν καὶ βεβαίαν πρὸς τὸν Θεὸν τὴν προαίρεσιν. Πρῶτον μὲν γὰρ μόσχον ποιήσαντες εἶπον Οὗτοι οἱ θεοί σου, Ἰσραήλ[4]· εἶτα, τῶν κατασκόπων ἀποσταλέντων,[5] ἐφιλονείκουν μὴ εἰσελθεῖν εἰς τήν «γῆν τῆς ἐπαγγελίας»[6] ὡς τοὺς κατέχοντας τότε διὰ τὴν ἰσχὺν δεδιότες. Καὶ πολλὰ ἄν τις εὕροι τῆς ἀπιστίας αὐτῶν ἐν ταῖς ἱστορίαις σύμβολα, ὡς ἂν μὴ νῦν αὐτὰ διὰ μακρωτέρων λέγωμεν. Εἶθ' οὕτω καθεξῆς διηγεῖται οἵων μὲν ἔτυχον, ὅπως δὲ ἠπείθησαν, διδάσκων αὐτοὺς μαθόντας οἷα ἔπαθον ἀπὸ τῆς ἀπειθίας μιμήσασθαι τὸν τρόπον ὡς ἂν μὴ κοινωνήσαιεν τῆς τιμωρίας.

9 «Υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξοις»

Ἀπὸ μέρους τὸ πᾶν εἰπεῖν ἠβουλήθη, — πολεμικώτατοι γάρ φησι καὶ ἰσχυροὶ κατὰ τῶν πολεμίων πολλάκις φανέντες τῇ τοῦ Θεοῦ δυνάμει.

«Ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου»

«Πολέμου»[7] καταλαμβάνοντος, πάντων ἐπιλανθανόμενοι ἐπὶ τὴν οἰκεῖαν ἐχώρουν ἀπιστίαν· ἀπαλλαγέντες μὲν γὰρ τῆς Αἰγύ-

---

1. Πρβλ. Α' Κορ. 10,8-10. **2.** Α' Κορ. 10,11. **3.** Ψαλ. 77,8. **4.** Πρβλ. Ἐξ. 32,4. **5.** Πρβλ. Ἀριθ. 13,1 ἑξ. Δευτ. 1,22 ἑξ. **6.** Ἑβρ. 11,9. **7.** Ψαλ. 77,9.

πτου παρὰ τὴν Ἐρυθρὰν ἐγόγγυζον θάλασσαν[1], ἀναχωρήσαντες δὲ κἀκεῖθεν περὶ τοῦ πολέμου τοῦ πρὸς τοὺς κατέχοντας τὴν Παλαιστίνην ἐγόγγυζον καὶ ἐμηχανεύοντο, ὡς οὐ δυνάμενοι πρὸς αὐτούς. Δείκνυσι δὲ διὰ πάντων ὅπως ἀβέβαιοι περὶ τὸν Θεὸν ἦσαν.

10 «Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ»

Ἀπέστησαν τῆς διαθήκης[2], ἣν πρὸς αὐτοὺς ὁ Θεὸς ἔθετο, — λέγει δὲ τῆς ἐπ' αὐτὸν πίστεως. Ἐξαγαγὼν γὰρ αὐτοὺς τῆς Αἰγύπτου ταύτην ἔθετο πρὸς αὐτοὺς διαθήκην, ὥστε **522** γνωρίζειν αὐτὸν Θεόν, καὶ τῆς περὶ αὐτὸν ἔχεσθαι θεραπείας, καὶ ἀξιοῦσθαι τῆς παρ' αὐτοῦ προνοίας. Ὀφθεὶς γὰρ αὐτοῖς οὕτω φησίν, «Ἐγώ εἰμι ὁ Θεός, ὃς ἐξήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου»[3], οὐ ποιήσετε θεοὺς ἑτέρους, οὐδὲ λατρεύσετε θεοῖς ἑτέροις, — τοῦτο παρ' αὐτῶν αἰτήσας καὶ τοῦτο φλάττειν αὐτοῖς προστάξας.

«Καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι»

Τὸ αὐτὸ λέγει· νόμος γὰρ ἦν τοῦ Θεοῦ καὶ πρόσταγμα τὸ ἔχεσθαι αὐτοὺς μετὰ πάσης ἐπιμελείας τῆς αὐτοῦ γνώσεως.

11 «Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς»

Πάντων ἐκείνων ἠμνημόνησαν[4] ὧν ἔτυχον εὐεργετηθέντες, οὕτω μεγάλων τε ὄντων καὶ θαυμαστῶν.

12 «Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησεν θαυμάσια»

«Τῶν πατέρων αὐτῶν»[5] λέγει, ἀντὶ τοῦ αὐτῶν ἐκείνων. Ἠκολούθησε δὲ αὐτῷ. Ἐπειδὴ γὰρ εἶπεν ἄνω «καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν»[6], τουτέστι τοῖς καθεξῆς, «ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν»[7], — ἀντὶ τοῦ μὴ αὐτοὶ ἐκείνοις ὅμοιοι γενώμεθα, ὁποῖοί τε ἦσαν ἐκεῖνοι εἰρηκὼς ἐν μέσῳ καὶ πλατύτερον αὐτῶν τὴν ἀγνωμοσύνην, ἐπήγαγεν λοιπὸν οἵων

---

1. Πρβλ. Ἐξ. 17,3. **2.** Πρβλ. Ψαλ. 77,10. **3.** Ἐξ. 10,2. **4.** Πρβλ. Ψαλ. 77,11. **5.** Ψαλ. 77,12. **6.** Ψαλ. 77,6. **7.** Ψαλ. 77,8.

ἀξιωθέντες, οἷοι ἦσαν, — ἀκολούθως ἑαυτῷ νῦν ἐπήγαγεν τό «ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησεν θαυμάσια»[1] ἀντὶ τοῦ καίτοι ὑπ' ὀφθαλμοῖς τοῖς αὐτῶν μεγάλα τοῦ Θεοῦ θαύματα πεποιηκότος. Τὸ οὖν «τῶν πατέρων αὐτῶν», ἀντὶ τοῦ τῶν πατέρων ἡμῶν, καθ' ὁμοιότητα τοῦ «ἵνα μὴ γένωνται ὡς οἱ πατέρες αὐτῶν», τουτέστιν ἵνα μὴ γενώμεθα ὅμοιοι τοῖς πατράσιν ἡμῶν, ὧν γέγονε μὲν ἐναντίον τὰ θαύματα, ἔμενον δὲ ἀπιστοῦντες ὁμοίως.

«Ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως»

Τὸν τόπον εἶπεν ἐν ᾧ τὰ θαύματα ἐγένετο, ἔνθα καὶ τὸν Φαραὼ διάγειν συνέβαινεν.

13 «Διέῤῥηξεν θάλασσαν καὶ διήγαγεν αὐτούς»

523 Καὶ οὐ τοῦτο μόνον φησίν, ἀλλὰ καὶ θάλασσαν διελὼν ἅπαντας διεβίβασεν.

«Ἔστησεν ὕδατα ὡσεὶ ἀσκόν»

Καιριώτατον τὸ ὑπόδειγμα· ἐπειδὴ γὰρ ὀλισθηρὰ τῶν ὑδάτων ἡ φύσις, ἐν ἀσκῷ δὲ συσχεθέντα ἐκ πάσης ἀνάγκης κατέχεται, οὐδαμοῦ διαῤῥεῖν δυνάμενα, οὕτω, φησίν, αὐτὰ συνεῖχες τῷ προστάγματι τῷ σῷ ὥστε εἶναι κατεχόμενα ὡς ἐν ἀσκῷ[2], μὴ διολισθαίνοντα μηδὲ διαῤῥέοντα μηδὲ ἐπιφερόμενα καὶ καλύπτοντα τὴν γῆν.

14 «Καὶ ὡδήγησεν αὐτοὺς ἐν νεφέλῃ ἡμέρας καὶ ὅλην τὴν νύκτα ἐν φωτισμῷ πυρός»

Ἄγων τε αὐτοὺς κατὰ τὴν ἔρημον, ἐν μὲν τῷ τῆς ἡμέρας καιρῷ ἐπισκιάζων αὐτοὺς τῇ νεφέλῃ[3] ψυχραῖς ἀπὸ τοῦ καύσωνος παρεμυθεῖτο ταῖς αὔραις, οὐδὲ φέρεσθαι τὴν ἀκτῖνα συγχωρῶν ἐπ' αὐτούς, — ἐν δὲ τῇ νυκτὶ ἀδιαλείπτῳ τῷ πυρὶ φωτεινὸν αὐτοῖς τὸν καιρὸν τοῦ σκότους εἰργάζετο· οὕτως ἑκάστου καιροῦ τὸ βλαβερὸν ἀπεκώλυεν.

---

1. Ψαλ. 77,12. **2.** Πρβλ. Ψαλ. 77,13. **3.** Πρβλ. Ψαλ. 77,14. Ἐξ. 13,21-22.

15 «Διέῤῥηξεν πέτραν ἐν ἐρήμῳ καὶ ἐπότισεν αὐτοὺς ὡς ἐν ἀβύσσῳ πολλῇ»

Ἐν ἐρήμῳ διελὼν πέτραν[1] οὕτως αὐτοῖς δαψιλὲς παρέσχετο ποτὸν ὡσανεὶ ὅλης ἀβύσσου παρακειμένης. Βούλεται δὲ εἰπεῖν ὅτι δαψιλὲς ὑπὲρ τὴν χρείαν αὐτοῖς τὸ ποτὸν τοῦ ὕδατος παρέσχεν. Πῶς δὲ τοῦτο ἐγένετο;

16 «Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα»

Ὅτι μὴ ἁπλῶς προχυθῆναι ὕδωρ[2] βραχύ τι παρεσκεύασας, ἀλλ' ἐκ πολλῶν μερῶν ῥεῖθρά τε ἀνεδίδους καὶ ποταμοὺς ἀπετέλεις πολλούς, ἐξ ὧν οὐ μόνον αὐτοῖς ἡ χρεία περιεγίγνετο ἀλλὰ καὶ ὑπὲρ τὴν χρείαν ἦν ἡ δαψιλία.

17 «Καὶ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ»

524 Ἀλλ' ὅμως τούτων γενομένων τοῦ πταίειν οὐκ ἀφίσταντο.

«Παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ»

Καί «παρεπίκραναν τὸν Ὕψιστον»[3] βραχὺ γὰρ αὐτοῖς ἐλλείψαντος τοῦ ὕδατος ἐγόγγυζον κατὰ τοῦ Θεοῦ τὴν ἔνδειαν ὀνειδίζοντες.

18 «Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν»

Ἔτι, φησί, καὶ πεῖραν προσῆγον τῷ Θεῷ τροφὴν τὴν οὐ δοθεῖσαν αἰτοῦντες[4]· σαφέστερον δὲ αὐτὸ λέγει ἑξῆς.

19-20 «Καὶ κατελάλησαν τοῦ Θεοῦ καὶ εἶπαν, Μὴ δυνήσεται ὁ Θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; Ἐπεὶ ἐπάταξεν πέτραν καὶ ἐῤῥύησαν ὕδατα καὶ χείμαῤῥοι κατεκλύσθησαν, μὴ καὶ ἄρτον δύναται δοῦναι ἢ ἑτοιμάσαι τράπεζαν τῷ λαῷ αὐτοῦ;»

1. Πρβλ. Ψαλ. 77,15. Ἐξ. 17,2-6. **2.** Πρβλ. Ψαλ. 77,16. Ἐξ. 17,6. **3.** Ψαλ. 77,17. Ἐξ. 17,3. **4.** Πρβλ. Ψαλ. 77,18.

Ταῦτα αἰτοῦντες τὰ βρώματα, τὸν Θεὸν αὐτοὺς πειράσαι φησίν. Ἔλεγον γὰρ ἰδοὺ πέτρα ἐῤῥάγη, καὶ ὕδατα ἐδόθη, καὶ πλεῖστα ῥεύματα ἠνέχθη παρὰ πᾶσαν προσδοκίαν· ἄρτον εἴπερ δύναται, τίνος ἕνεκεν οὐ δίδωσιν; διὰ τί δὲ καὶ τράπεζαν ἡμῖν οὐκ εὐτρεπίζει, — ἵνα εἴπῃ πάντα ὅσα ἐσθίειν ἔθος ἀνθρώποις καὶ οἷς τράπεζα κοσμεῖται, — ἀλλὰ μόνον ἡμῖν τὸ μάννα δίδωσι; (τὸ γὰρ τράπεζαν[1] Ἀκύλας καὶ Σύμμαχος 'κρέα' ἡρμήνευσαν). Οὕτω γὰρ καὶ φαίνονται τοῦτο ὀνειδίσαντες τῷ Θεῷ, ὅτι μόνου τοῦ μάννα μετελάμβανον, ὅπερ ἦν τῶν καὶ τὰ λοιπὰ ζητούντων οἷς ἔθος ἀνθρώποις ἑστιᾶσθαι.

21 «Διὰ τοῦτο ἤκουσεν Κύριος καὶ ἀνεβάλετο»

525 Ταύτην αὐτῶν ὁρῶν τὴν ἀπιστίαν ὑπερέθετο τὰ κατ' αὐτούς· δυνατὸν γὰρ αὐτῷ συντόμως εἰσαγαγεῖν, τοῦτο μὲν οὐκ ἐποίησεν, ἐπὶ τοσοῦτον δὲ κατέσχεν τῷ χρόνῳ ἄχρις οὗ πάντες διαφόρως περιπεσόντες ταῖς τιμωρίαις ἀπώλοντο.

«Καὶ πῦρ ἀνήφθη ἐν Ἰακώβ»

Εἶδος εἶπεν τιμωρίας ᾧ περιέπεσον· καὶ γὰρ ἀνηλώθησαν πλεῖστοι πυρὶ[2] διὰ τὸ γογγύσαι.

«Καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ»

Ὠργίσθη γὰρ κατ' αὐτῶν ὁ Δεσπότης.

22 «Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ»

Ἐπειδὴ ἑώρα αὐτοὺς οὐδέποτε πιστὴν ἔχοντας περὶ αὐτὸν τὴν γνώμην, ἀλλ' ἀεὶ ἐπὶ μὲν τοῖς δοθεῖσιν ἀχαριστοῦντας, περὶ δὲ τῶν μὴ δοθέντων ἀμφιβάλλοντας[3].

«Οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ»

Δέον ἀφ' ὧν ἔλαβον ἐλπίζειν ὅτι πᾶν ὅ τι καλὸν καὶ σωτηριῶδες αὐτοῖς παρέξει.

---

1. Ψαλ. 77,19. **2.** Πρβλ. Ψαλ. 77,21. **3.** Πρβλ. Ψαλ. 77,22. Ἐξ. 17,7.

23 «Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν»

Καὶ γὰρ οὐ μικρά, φησίν, ἦν τὰ παρὰ τοῦ Θεοῦ γενόμενα, ἀφ' ὧν αὐτάρκως ἠδύναντο πρὸς τὴν πίστιν χειραγωγεῖσθαι· διαφόρως γὰρ ποτὲ μὲν αὐτῶν τὴν ἀπιστίαν λέγει, ποτὲ δὲ τοῦ Θεοῦ τὰ θαύματα, δεικνὺς οἵων μὲν ἔτυχον, οἷοι δὲ περὶ τὸν Θεὸν γεγόνασιν, τοῦτον ἔχων ἄνωθεν σκοπὸν καὶ δι' ὅλων τούτους παιδεύειν ἐσπουδακὼς μὴ τοιούτους εἶναι, ἀλλ' εὐχαρίστους ὑπὲρ ὧν ἔλαβον.

«Καὶ θύρας οὐρανοῦ ἀνέῳξεν»

526 Ἐσχήματισεν τὸ πᾶν. Ἐπειδὴ παρ' ἡμῖν ἔθος ἐστὶ τὰ ταμεῖα ἀνοιγνῦναι, οὕτω τε προσκομίζειν ὅτου ποτ' ἂν ᾖ χρεία, ὥσπερ οὖν ταμείου, φησί, «θύρας ἀνέῳξεν»[1]. «Οὐρανοῦ» δὲ λέγει, οὐκ αὐτοῦ τοῦ οὐρανοῦ, ἀλλὰ τοῦ ὑπὲρ ἡμᾶς τόπου, ὡς ὅταν λέγῃ καὶ τά «πετεινὰ τοῦ οὐρανοῦ» ἐπειδὴ γὰρ ὑπὲρ ἡμᾶς ὁ οὐρανός, τὸν ὑπὲρ ἡμᾶς τόπον πολλαχοῦ οὐρανὸν καλεῖ, ὡς αὐτῷ μᾶλλον προσήκοντα.

24 «Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν»

Καὶ οὕτω φησὶ διὰ τῶν νεφελῶν οὐ κατὰ τὴν συνήθειαν ὕδατος ὑετόν, ἀλλὰ τοῦ μάννα[2] τροφὴν παρὰ φύσιν ἄφθονον αὐτοῖς ἐχορήγει.

«Καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς»

Ἄνωθεν αὐτοῖς καταπέμπων ἐδίδου τροφήν. Μέγα δὲ ἦν καὶ παράδοξον τὸ πάντων ἀνθρώπων ἀπὸ τῆς γῆς τοὺς καρποὺς καὶ τὴν τροφὴν δεχομένων, ἐκείνους ἄνωθεν αὐτόματον πεμπομένην δέχεσθαι τὴν τροφήν.

25 «Ἄρτον Ἀγγέλων ἔφαγεν ἄνθρωπος»

Οὐχ ὃν Ἄγγελοι ἤσθιον,[3] ἀλλ' οὗ πρὸς τὴν καταγωγὴν Ἄγγελοι διηκόνουν, — ὥσπερ καὶ τό «ἄρτον οὐρανοῦ», οὐχ ὃν ὁ

---

1. Ψαλ. 77,23. **2.** Πρβλ. Ψαλ. 77,24. Ἀριθ. 11,7-8. **3.** Πρβλ. Ψαλ. 77,25.

οὐρανὸς ἤσθιεν, ἀλλ' ὁ ἐκεῖθεν καταφερόμενος. Καλῶς δὲ ἀπὸ συγκρίσεως ἔδειξε τὴν διαφοράν, ἣν πρὸς τὸν ἄρτον εἶχεν τὸν συνήθη· ὁ μὲν γὰρ ἀπὸ γῆς δίδοται, ὁ δὲ ἀπ' οὐρανῶν ἐφέρετο, καὶ ὁ μὲν ὑπηρεσίᾳ ἀνθρώπων πεττόμενος κατεσκευάζετο, ὁ δὲ διὰ τῶν Ἀγγέλων ἐφέρετο.

«Ἐπισιτισμὸν ἀπέστειλεν αὐτοῖς εἰς πλησμονήν»

527 Ἐπισιτίσασθαι λέγεται τὸν μέλλοντα ὁδοιπορεῖν τὴν τροφὴν ἀποκομίσασθαι. Τοῦτο οὖν λέγει ὅτι μετὰ πολλῆς τῆς περιουσίας προευτρέπιζεν αὐτοῖς καὶ προαπετίθετο τὴν τροφήν.

26 «Ἀπῆρεν νότον ἐξ οὐρανοῦ καὶ ἐπήγαγεν ἐν τῇ δυναστείᾳ αὐτοῦ λίβα»

Τὸ αὐτὸ λέγει «λίβα» καί «νότον»[1]· ὁ γὰρ αὐτός ἐστιν ἄνεμος βραχύ τι πλαγιάζων. Τινὲς δέ «λίβα» τὸν ζέφυρον λέγουσιν, ἔστι δὲ σφόδρα ἀπᾷδον· ὑετοὺς μὲν γὰρ ὁ ζέφυρος οὐ ποιεῖ, ὁ δὲ λεγόμενος παρ' αὐτοῖς λὶψ ποιεῖ ὅπερ ἴδιόν ἐστι τοῦ νότου.

27 «Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά»

Ἐπήγαγέν τε αὐτοῖς πλῆθος πετεινῶν[2], δίκην ἄμμου σωρεύσας αὐτοῖς τὰ πετεινά, οὕτως ἦν παμπληθῆ.

28 «Καὶ ἐπέπεσον εἰς μέσον τῆς παρεμβολῆς αὐτῶν κύκλῳ τῶν σκηνωμάτων αὐτῶν»

Μονονουχὶ πρὸ τῶν θυρῶν αὐτοῖς ἠνέχθη τὰ ὄρνεα[3]· τοῦτο γὰρ θαυμαστὸν ὅτι μηδὲ καμάτου αὐτοῖς ἔδει πρὸς τὴν σύλληψιν.

29 «Καὶ ἐφάγοσαν καὶ ἐνεπλήσθησαν σφόδρα»

Καὶ ἀπήλαυσαν ὑπὲρ ὃ ἔδει.

«Καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς»

Καλῶς τό «ἤνεγκεν αὐτοῖς»[4]· ἀπεκόμισεν, φησίν, ἃ ἐπεθύμησαν, μονονουχὶ καὶ τὰ ὑπὲρ τῆς αὐτῶν χρείας ἥδιστα ἐνδεικνύμενος.

---

1. Ψαλ. 77,26. **2.** Πρβλ. Ψαλ. 77,27. **3.** Πρβλ. Ψαλ. 77,28. **4.** Ψαλ. 77,29.

30 «Οὐκ ἐστερήθησαν ἀπὸ τῆς ἐπιθυμίας αὐτῶν»

528 Ὧν γοῦν ἐπεθύμουν[1] οὐκ ἀπέτυχον.

30-31 «Ἔτι τῆς βρώσεως αὐτῶν οὔσης ἐν τῷ στόματι αὐτῶν καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς»

Ἀπὸ τῆς τοῦ Θεοῦ ὀργῆς τὸ πταῖσμα τὸ ἐκείνων εἶπεν, ὡς οὐκ ἂν τοῦ Θεοῦ ὀργισθέντος εἰ μὴ παρέσχον τὴν αἰτίαν, ὁμοῦ καὶ ὡς δῆλον ὂν ἐν τῇ ἱστορίᾳ παρασιωπήσας ἀδιαφόρως· ἐτιμωρήθησαν γὰρ διὰ τὸ ὑπὸ λαιμαργίας ὠμῶν αὐτοὺς μεταλαβεῖν τῶν σαρκῶν μηδὲ ἐθίσαντας. Ἐν αὐτῷ οὖν, φησίν, ὄντες τῷ ἐσθίειν μὴ δεόντως φαγόντες παρώργισαν τὸν Θεόν.

31 «Καὶ ἀπέκτεινεν ἐν τοῖς πίοσιν αὐτῶν»

Καὶ πλείστους ἐξ αὐτῶν ἀνεῖλεν[2].

«Καὶ τοὺς ἐκλεκτοὺς τοῦ Ἰσραὴλ συνεπόδισεν»

Τοὺς μάλιστα κρείττονας αὐτῶν ἀφελών. Σύμμαχος τό «καὶ τοὺς ἐκλεκτούς», 'τοὺς νεανίσκους' λέγει.

32 «Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι»

Οὐδὲ ταῦτα αὐτοὺς ἐσωφρόνιζεν.

«Καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ»

Οὔτε μὴν ἀπὸ τούτων προσήγοντο πρὸς τὸ πιστεύειν[3] τοῖς ὑπ' αὐτοῦ γιγνομένοις.

33 «Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν»

529 Καὶ οὕτως εἰς οὐδὲν τὰς ἡμέρας αὐτῶν κατηνάλωσαν, — ἵν' εἴπῃ ἀπώλοντο καὶ εἰς τὸ μηδὲν περιέστησαν.

«Καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς»

Καὶ μετὰ πολλῆς τῆς ὀξύτητος ἠναλώθησαν· ἡμέρας γὰρ αὐτῶν καὶ ἔτη αὐτῶν τὸν βίον αὐτῶν λέγει, τουτέστιν αὐτούς.

---

1. Πρβλ. Ψαλ. 77,30. **2.** Πρβλ. Ψαλ. 77,31. **3.** Πρβλ. Ψαλ. 77,32.

Καλῶς δὲ εἶπεν τό «μετὰ σπουδῆς»[1]· τὸ γὰρ ὑπὸ τιμωρίᾳ τῇ τοῦ Θεοῦ χιλιάδας κατ' αὐτῶν ἀπόλλυσθαι, τοῦτο ἦν ὀξύτητος, οὐ καθ' ἕνα καὶ κατὰ μέρος ἀποθνησκόντων, ἀλλ' ὑφ' ἑνὶ καιρῷ πολλῶν ὁμοῦ τῇ τοῦ Θεοῦ τιμωρίᾳ περιβαλλομένων.

34 «Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν»

Τιμωρούμενοι καὶ ἀναιρούμενοι ἐδόκουν μεταμελεῖσθαι καὶ καταφεύγειν[2] ἐπ' αὐτόν.

«Καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεόν»

Καὶ τότε δὴ μετὰ πολλῆς τῆς ταχύτητος ἐδόκουν ἐπὶ τὴν τοῦ Θεοῦ συνιέναι θεραπείαν.

35 «Καὶ ἐμνήσθησαν ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστιν καὶ ὁ Θεὸς ὁ Ὕψιστος λυτρωτὴς αὐτῶν ἐστιν»

Μνημονεύειν[3] τε τότε ἐδόκουν, ὧν ἔτυχον παρὰ τοῦ βοηθήσαντος καὶ ἀπαλλάξαντος τῆς ἐν Αἰγύπτῳ δουλείας.

36 «Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ»

Ἦν δὲ σχῆμα καὶ ὑπόκρισις τὰ λεγόμενα· ψευδόμενοι γὰρ τῷ στόματι[4] τὴν ἀγάπην ἐπηγέλλοντο.

37 «Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ»

530 Οὐ γὰρ εἶχον πρὸς αὐτὸν ὀρθὴν τὴν διάθεσιν.

«Οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ»

Οὔτε μὴν βέβαιοι ἦσαν περὶ τὸ πιστεύειν αὐτῷ καὶ ἔχεσθαι τῆς αὐτοῦ θεραπείας· εἰρήκαμεν γὰρ ἀνώτερον ὅτι διαθήκην[5] αὐτοῦ ταύτην λέγει τὴν ἐπ' αὐτὸν πίστιν.

38 «Αὐτὸς δὲ ἐστιν οἰκτίρμων»

Εἰ καὶ τὰ μάλιστα φιλάνθρωπος ὢν ἠνέσχετο αὐτῶν πολλάκις,

---

1. Ψαλ. 77,33. **2.** Πρβλ. Ψαλ. 77,34. **3.** Πρβλ. Ψαλ. 77,35. **4.** Πρβλ. Ψαλ. 77,36. **5.** Πρβλ. Ψαλ. 77,37.

οὐκ ἀφανίζων αὐτούς, ὥσπερ οὖν ἄξιοι διὰ τὸν τρόπον ὄντες ἐφαίνοντο.

«Καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν καὶ οὐ διαφθερεῖ καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ»

Ἀλλὰ γὰρ καὶ πλεῖστον ὅσον ἀπέσχετο τῆς κατ' αὐτῶν ὀργῆς. Ἐνήλλακται δὲ διόλου ὁ χρόνος, — ἀντὶ τοῦ ἱλάσατο καὶ οὐ διέφθειρεν καὶ ἀπέστρεψεν, εἰπὼν τό «ἱλάσεται, καὶ οὐ διαφθερεῖ, καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι»[1] καὶ ἑξῆς οὕτως.

«Καὶ οὐχί ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ»

Οὐδὲ γὰρ ὅλῃ ἐχρήσατο κατ' αὐτῶν τῇ τιμωρίᾳ,—καλῶς δὲ εἶπεν τό «πᾶσαν». Ἐτιμωρήσατο μὲν γὰρ ἀξίους ὄντας, οὐ μὴν κατὰ τὴν ἐκείνων ἀξίαν· ὑφ' ἑνὶ γὰρ τῷ καιρῷ πάντας κατ' αὐτὸ ὀφείλοντας ἀπολέσθαι ἤνεγκεν ἐπὶ πολλοῖς τοῖς ἔτεσιν, ἄχρις οὗ τοῖς διαδόχοις ἡ γενεὰ ἀνεδόθη.

39 «Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσιν, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον»

531 Ἔδειξεν ἐνταῦθα ὅτι ὁ χρόνος ἐνήλλακται· οὐκέτι γὰρ εἶπεν καὶ μνησθήσεται, ἀλλ' «ἐμνήσθη»[2], — καὶ τὰ ἑξῆς δὲ σαφέστερον δείκνυσιν τὴν ἐναλλαγὴν τοῦ χρόνου. Ἐννοῶν γὰρ φησίν, ὅτι οὐδέν εἰσι, φθείρονται δὲ μετὰ βραχύ, οὐκέτι ἐπαναδραμεῖν εἰς ταύτην δυνάμενοι τὴν ζωήν, ἠνέσχετο αὐτῶν, συγχωρῶν αὐτοῖς ἔτι ἐπιβιῶναι.

40 «Ποσάκις παρεπίκραναν αὐτὸν ἐν τῇ ἐρήμῳ, παρώργισαν αὐτὸν ἐν γῇ ἀνύδρῳ;»

Τό «ἐν τῇ ἐρήμῳ καὶ ἀνύδρῳ»[3] τὸ αὐτὸ λέγει. Πολλάκις γοῦν παροξυνάντων αὐτὸν κατὰ τὴν ἔρημον, ὅμως ἠνέσχετο ἐπὶ πολλῷ τῷ χρόνῳ. Καλῶς δὲ εἶπεν «ποσάκις»· καὶ τοῦτο γὰρ τῆς τοῦ Θεοῦ χρηστότητος ἀπόδειξις.

---

1. Ψαλ. 77,38. **2.** Ψαλ. 77,39. **3.** Ψαλ. 77,40.

41 «Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεόν»

Ἀξιούμενοι γὰρ ἐπὶ τοῖς προλαβοῦσιν τῆς τοῦ Θεοῦ φιλανθρωπίας, πάλιν μεταβαλλόμενοι τῆς οἰκείας εἴχοντο γνώμης, αὖθις αὐτὸν πειράζοντες.

«Καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν»

Καὶ παρώργιζον τὸν οἰκεῖον Δεσπότην[1].

42 «Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ»

Οὐχ ὑπομιμνησκόμενοι[2] ὧν ἐποίησεν εἰς αὐτούς.

«Ἡμέρας, ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος»

Οὐδὲ τοῦ καιροῦ ἐμνήσθησαν καθ' ὅν ἀπήλλαξεν αὐτοὺς τῶν κατεχόντων, καὶ πᾶν ὅ,τι διατιθέντων ὠμόν.

43 «Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ τάνεως»

532 Οὐχ ὡς θαυμαστοποιητὴν ἐμνημόνευσαν, οὐχ ὅπως τοὺς ἐναντίους ἐτιμωρήσατο· τέρας[3] γὰρ κυρίως τὸ ἐπὶ τιμωρίᾳ τινῶν θαῦμα λέγεται.

44 «Καὶ μετέστρεψεν εἰς αἷμα τοὺς ποταμοὺς αὐτῶν καὶ τὰ ὀμβρήματα αὐτῶν, ὅπως μὴ πίωσιν»

Ὅπως μὲν ἅπαν ὕδωρ εἰς αἷμα[4] μετεποίησεν, ὡς μηδὲ ἐξεῖναι αὐτοῖς ποτοῦ μεταλαβεῖν.

45 «Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς»

Ὅπως δὲ αὐτοὺς κατηνάλωσεν, τὴν κυνόμυιαν[5] ἐπ' αὐτοὺς ἀποστείλας.

«Καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς»

Ὅπως ἀπώλεσεν αὐτοὺς μικροῦ τοῖς βατράχοις.

---

1. Πρβλ. Ψαλ. 77,41. **2.** Πρβλ. Ψαλ. 77,42. **3.** Πρβλ. Ψαλ. 77,43. **4.** Πρβλ. Ψαλ. 77,44. **5.** Πρβλ. Ψαλ. 77,45.

46 «Καὶ ἔδωκεν τῇ ἐρυσίβῃ τὸν καρπὸν αὐτῶν καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι»

Ὅπως «ἐρυσίβῃ»[1] καὶ ἀκρίσιν πάντας αὐτῶν ἠφάνισεν τοὺς καρπούς, ματαίους αὐτῶν ἀποφαίνων τοὺς πόνους.

47 «Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ»

«Ἀπέκτεινεν» ἀντὶ τοῦ ἐνέκρωσεν, ἀκάρπους εἰργάσατο. «Τὴν δὲ ἄμπελον καὶ τὰς συκαμίνους»[2] εἶπεν, ἀντὶ τοῦ πᾶν ξύλον κάρπιμον.

48 «Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν»

Ἀνάλωσεν αὐτὰ διὰ χαλάζης[3].

«Καὶ τὴν ὕπαρξιν αὐτῶν τῷ πυρί»

533 Καὶ πᾶν ὅ τι ποτε εἶχον πυρὶ κατηνάλωσεν· λέγει δὲ ὁπηνίκα τὰς φλυκταίνας ἐξεδίδοσαν ἐν τοῖς σώμασιν, αὐτοί τε καὶ τὰ ὑπηρετούμενα ζῷα.

49 «Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ, θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν»

Καὶ πᾶν ὅ, τι κακὸν ἐπήνεγκεν αὐτοῖς.

«Ἀποστολὴν δι' ἀγγέλων πονηρῶν»

Τὸν τῶν πρωτοτόκων λέγει θάνατον[4], ὡς δι' Ἀγγέλων γενόμενον. Οὕτω γὰρ καὶ ὁ μακάριος Μωυσῆς παραγγέλων τοῖς Ἰσραηλίταις χρίσαι τὸ αἷμα ἐπὶ τῶν φλιῶν φησιν ὅτι «παρελεύσεται»[5] ὁ Ἄγγελος ὁ ὀλοθρεύων, καὶ θεασάμενος τὸ αἷμα τῆς οἰκίας οὐχ ἅψεται. Πονηροὺς δὲ αὐτοὺς εἶπεν, ὡς ἐκείνους πονηροὺς τοῖς δι' αὐτῶν ἀναιρουμένοις· τὸ γὰρ πονηρὸν οὐδαμοῦ ἀπὸ τῆς φύσεως λέγει, — ἐπεὶ μηδὲν οἶδέν τι ἀπὸ φύσεως πονηρόν, — ἡ θεία Γραφή, ἐνίοτε δὲ οὐδὲ ἀπὸ γνώμης, ἀλλ' ἀπὸ τοῦ πράγματος, ὡς

---

1. Πρβλ. Ψαλ. 77,46. **2.** Ψαλ. 77,47. **3.** Ψαλ. 77,48. **4.** Πρβλ. Ἀριθ. 3,43. Ψαλ. 134,8. **5.** Ἐξ. 12,23-24.

ὅταν λέγῃ «ἐν ἡμέρᾳ πονηρᾷ»[1] — πονηρὰν λέγων ἡμέραν τῶν θλιβομένων. Σύμμαχος δὲ τό «δι' Ἀγγέλων πονηρῶν»[2] ' Ἀγγέλων' εἶπεν 'κακούντων' σαφέστερον αὐτὸ εἰπών.

50 «Ὡδοποίησεν τρίβον τῇ ὀργῇ αὐτοῦ»

Ἐπειδὴ τῆς ὁδοῦ εὐτρεπισμένης ῥαδίως οἱ διοδεύοντες παρίασιν, τοῦτο ἠβουλήθη εἰπεῖν ὅτι ὀξύτατα καὶ εὐκόλως τὴν οἰκείαν αὐτοῖς ὀργὴν[3] ἐπήνεγκεν, ἐν μιᾷ ῥοπῇ πάντας τιμωρησάμενος.

«Οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισεν»

Συντόμως κἀκείνους ἀνελὼν καὶ τὰ κτήνη· βούλεται δὲ εἰπεῖν τὸν τῶν πρωτοτόκων θάνατον, ὃ καὶ σαφέστερον ἑξῆς ἐπάγει.

51 «Καὶ ἐπάταξεν πᾶν πρωτότοκον ἐν Αἰγύπτῳ, ἀπαρχὴν τῶν πόνων αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ»

534 Πάντα αὐτῶν ἀπώλεσε τὰ πρωτότοκα, καλῶς «ἀπαρχήν» καλέσας τὰ πρωτότοκα καὶ ὡς τιμιώτερα, καὶ ἐπειδὴ ἐν νόμῳ ἀπαρχῆς λόγῳ τῷ Θεῷ προσηγάγετο. Τὸ δέ «παντὸς πόνου», ἵνα εἴπῃ παντὸς καρποῦ αὐτῶν, ἀντὶ τοῦ πάντων τῶν προσόντων αὐτοῖς τὰ πρωτότοκα ἀνεῖλεν, οὐχ αὐτῶν μόνων, ἀλλὰ καὶ τῶν κτηνῶν ὅσαπερ ἦν αὐτοῖς. Καλῶς δὲ εἶπεν «τὸ ἐν τοῖς σκηνώμασιν Χάμ»[4]· πάντες γὰρ οἱ ὑπὸ Αἰγυπτίοις τόποι τῶν ἀπογόνων ἦσαν τοῦ Χάμ.

52 «Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ»

Κἀκείνους τιμωρησάμενος τούτους ἔλαβεν καὶ ἀπήγαγεν δίκην προβάτων[5], οὐδ' εἰδότας ὅποι ἀπελθεῖν δεῖ.

«Καὶ ἀνήγαγεν αὐτοὺς ὡς ποίμνιον ἐν ἐρήμῳ»

Οὕτως ἄγων τε καὶ περιάγων ὅποιπερ ἴδῃ χρήσιμον εἶναι.

53 «Καὶ ὡδήγησεν αὐτοὺς ἐν ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν»

Καὶ τῇ ἐπ' αὐτὸν ἐλπίδι, τουτέστιν τῇ οἰκείᾳ βοηθείᾳ, διήγαγεν

---

1. Ψαλ. 40,2. 48,6. Ἱερ. 17,17. **2.** Ψαλ. 77,49. **3.** Πρβλ. Ψαλ. 77,50. **4.** Ψαλ. 77,51. **5.** Πρβλ. Ψαλ. 77,52.

αὐτούς, οὐδένα φοβηθῆναι συγχωρήσας. Τὸ δέ «οὐκ ἐδειλίασαν»[1] εἶπεν ὡς πρὸς τὴν τοῦ Θεοῦ βοήθειαν. Εἰ γὰρ κἀκεῖνοι ἀπιστοῦντες συνεχῶς ἠγωνίων, ἀλλ' αὐτῶν ἦν ὄνειδος τὸ πρᾶγμα· τὰ γὰρ ὑπὸ τοῦ Θεοῦ γιγνόμενα σαφῶς αὐτοὺς ἐδίδασκεν ὡς οὐδὲν φοβεῖσθαι προσῆκεν.

«Καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψεν θάλασσα»

Ἔδειξεν ὅτι τό «οὐκ ἐδειλίασαν» ἀπὸ τοῦ πράγματος λέγει· τῇ γὰρ θαλάσσῃ τοὺς πολεμοῦντας καλύψας καὶ ἀνελών, ἀπήλλαξεν τοῦ ἐπικειμένου φόβου τούτου.

54 «Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὅριον ἁγιάσματος αὐτοῦ»

535 Ἵνα εἴπῃ εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Λέγει δὲ αὐτὸ ἀπὸ τοῦ κυριωτέρου, τουτέστιν εἰς τοῦτο τὸ σκήνωμα ἐν ᾧπερ αὐτὸς οἰκεῖν καὶ διάγειν ἐδοκίμασεν· τοῦτο γὰρ ἐποίει καὶ τὸν τόπον θαυμαστόν.

«Ὄρος τοῦτο, ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ»

«Καὶ εἰσήγαγεν αὐτοὺς εἰς τοῦτο τὸ ὄρος»[2], ὅπερ αὐτός «ἐκτήσατο», — καλῶς εἰπὼν τό «ἐκτήσατο», ὅτι ὥσπερ οἰκείοις πόνοις τοὺς κατέχοντας ἀνελὼν ἴδιον ἀπέφηνεν τὸ ὄρος.

55 «Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη»

Πάντας τοὺς κατέχοντας, φησίν, ἀπώλεσεν.

«Καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας»

Καὶ παρέδωκεν αὐτοῖς τὴν γῆν, ὥστε μέτρῳ καὶ κλήρῳ καταδιελέσθαι γῆν τὴν οὐ προσήκουσαν αὐτοῖς.

«Καὶ κατεσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς φυλὰς τοῦ Ἰσραήλ»

«Ἐν τοῖς σκηνώμασι αὐτῶν»[3], — τῶν ἐθνῶν λέγει, — ἀντὶ τοῦ καὶ τοὺς ἀλλοτρίους τόπους αὐτοῖς παρέδωκεν.

---

1. Ψαλ. 77,53. **2.** Ψαλ. 77,54. **3.** Ψαλ. 77,55.

56-57 «Καὶ ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν Ὕψιστον καὶ τὰ μαρτύρια αὐτοῦ οὐκ ἐφυλάξαντο καὶ ἀπέστρεψαν καὶ ἠσυνθέτησαν καθὼς οἱ πατέρες αὐτῶν»

Εἶτά φησι κατεσχηκότες τὴν γῆν τῆς ἐπαγγελίας, καὶ οὗτοι τοὺς ἰδίους ἐμιμήσαντο πατέρας ἀπιστοῦντες τῷ Θεῷ[1], παροργίζοντες αὐτόν, ἀμελοῦντες τοῦ νόμου, ἀφιστάμενοι τοῦ Θεοῦ, ἐπὶ τὴν τῶν εἰδώλων προσκύνησιν μεταβαλλόμενοι.

57. «Καὶ μετεστράφησαν εἰς τόξον στρεβλόν»

536 Τὰ τόξα[2] οὐ μόνον ἀπὸ τοῦ εὐθέως περιαγόμενα κάμπτεται, ἀλλὰ καὶ αὐτὴν οὕτω τὴν κατασκευὴν καμπυλοειδῆ καὶ διάφορον ἔχει· ἄλλο μὲν γὰρ αὐτοῦ τὸ περὶ τὴν νευρὰν σχῆμα, ἄλλο δὲ τὸ ὅθεν κατέχεσθαι δεῖ, ἕτερον δὲ τὸ τῶν ἑκατέρωθεν μερῶν. Οὕτως οὖν, φησί, καὶ οὗτοι ἀνώμαλοι πανταχόθεν τὸν τρόπον ὄντες τοῦ ὀρθοῦ ἀποστάντες ἐπὶ τὸ χεῖρον συνώθησαν ἑαυτοὺς καὶ μετέβαλον.

58 «Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν καὶ ἐν τοῖς γλυπτοῖς αὐτῶν παρεζήλωσαν αὐτόν»

Τὸ μὲν γὰρ εὐθὲς ἦν τὸ τῷ Θεῷ προσκυνεῖν· ἀποστάντες δὲ τούτου καὶ περὶ τὴν τῶν εἰδώλων γενόμενοι θεραπείαν καὶ ἐν τοῖς ἄλσεσι, — τούτους γὰρ λέγει τοὺς βουνούς, — περὶ τὴν τῶν εἰδώλων ἔχοντες θεραπείαν[3], ἐκίνησαν κατ' αὐτῶν τὸν Θεόν.

59 «Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδεν καὶ ἐξουδένωσεν σφόδρα τὸν Ἰσραήλ»

Ταῦτα θεασάμενος κατεφρόνησεν αὐτῶν[4].

60 «Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ»

Καὶ ἀπέβαλεν τοῦ «Σηλὼμ τὴν σκηνήν»[5], ἵνα εἴπῃ αὐτὸ τὸ κατοικεῖν ἐν τῷ ὄρει· οὐ γὰρ μόνον αὐτοὺς ὑπὸ ἀλλοφύλοις πολλάκις πεποίηκεν, ἀλλὰ καὶ τὸ ἔσχατον αὐτὴν αὐτοῖς τὴν κιβωτὸν εἰς χεῖρας παρέδωκεν.

---

1. Πρβλ. Ψαλ. 77,56. **2.** Ψαλ. 77,57. **3.** Πρβλ. Ψαλ. 77,58. **4.** Πρβλ. Ψαλ. 77,59. **5.** Ψαλ. 77,60.

«Σκήνωμα ὃ κατεσκήνωσεν ἐν ἀνθρώποις»

Τὸ ὃ δασύνοντας δεῖ λέγειν, ἀντὶ τοῦ τοῦτο, — οὐ ψιλοῦντας κατὰ ἀπαγόρευσιν, ὥς τινες ᾠήθησαν. Τοῦτό, φησί, τό «σκήνωμα» ἀπεποιήσατο, ἔνθα αὐτὸς κατοικεῖν ἐν μέσῳ τῶν ἀνθρώπων ἐδοκίμασεν· ἀπόδειξις δὲ μεγίστη τῆς ὀργῆς τὸ ὅπερ αὐτὸς οἰκείᾳ φιλανθρωπίᾳ ποιήσας, ἐδοκίμασε τούτου μεταβαλέσθαι, — καὶ ὃν ἀφώρισεν ἑαυτῷ τόπον, τοῦτον δι' ὀργὴν τοῖς ἐναντίοις παραδοῦναι.

61 «Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν»

537 Ἀντὶ τοῦ τοὺς ἰσχυροὺς αὐτῶν[1] καὶ τοὺς νεανίσκους.

«Καὶ τὴν καλλονὴν αὐτῶν εἰς χεῖρας ἐχθρῶν»

Τὸ αὐτὸ λέγει, — καλλονὴ γάρ ἐστι τοῦ πλήθους οἱ νεανίσκοι, — λέγει δὲ τὰ πρὸ αὐτοῦ γενόμενα, ὅτι πολλάκις ὑπὸ ἀλλοφύλοις ἐγένοντο, καὶ πολλάκις αὐτῶν ἐκράτησαν ἐπὶ τῶν Κριτῶν οἱ ἀλλόφυλοι, ὡς καὶ αὐτοὺς καὶ τοὺς τόπους αὐτῶν ὑπ' ἐκείνοις γενέσθαι.

62 «Καὶ συνέκλεισεν εἰς ῥομφαίαν τὸν λαὸν αὐτοῦ»

Παρέδωκεν αὐτοὺς τῷ διὰ ξίφους θανάτῳ[2].

«Καὶ τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν»

Τὴν κτῆσιν αὐτοῦ, ἵνα εἴπη κατεφρόνησεν τῶν ἰδίων, εἴτε τοῦ λαοῦ εἴτε τῶν τόπων.

63 «Τοὺς νεανίσκους αὐτῶν κατέφαγεν πῦρ»

Διαφόρως ἅπερ ἔπαθον σημᾶναι βούλεται· οἱ ἱερεῖς μέν, φησίν, ἀπώλοντο ξίφει, ἠναλώθησαν δὲ πυρὶ οἱ νεανίσκοι[3], — τοῦτο γὰρ τὸ βαρύτερον, ὅτι νεώτεροι οὐκ ἀνδραγαθοῦντες ἐν πολέμοις ἀπώλοντο, ἀλλὰ πυρὶ καὶ τιμωρίαις.

«Καὶ οἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήθησαν»

Ἃς μάλιστα πενθεῖν ἔδει διὰ τὴν ἡλικίαν, οὐδὲ αὗται πένθους ἠξιώθησαν, πάντων περὶ τὰ οἰκεῖα ἀσχολουμένων κακά.

---

1. Πρβλ. Ψαλ. 77,61. **2.** Πρβλ. Ψαλ. 77,62. **3.** Πρβλ. Ψαλ. 77,63.

64 «Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσαν»

Τοῦτο βαρύτατον, ὅτι μηδὲ τῶν ἱερέων γέγονέν τις φειδώ[1], — γέγονεν δὲ ἐπὶ τῶν υἱῶν Ἠλεὶ σαφῶς.

«Καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυσθήσονται»

538 Βούλεται εἰπεῖν δι' ὅλων ὅτι διαφόρως αὐτοὺς ἐπενεμήθη τὰ κακά, εἴτε νεανίσκους, εἴτε πρεσβύτας, εἴτε ἱερέας, οὐδενὸς αὐτῶν φεισαμένου τοῦ Θεοῦ διὰ τὴν τοῦ τρόπου κακίαν.

65 «Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος»

Ἀλλ' εἴ ποτε παθεῖν αὐτοὺς συνεχώρησεν ὁ Θεὸς ταῦτα, δι' ὧν ἔδει σωφρονεῖσθαι, αἰφνίδιον πολλάκις ὥσπερ ἀπό τινος ὕπνου διανίστατο. Ἀεὶ δὲ ἐπὶ μὲν τῆς μακροθυμίας λέγει τὸν ὕπνον, ἐπὶ δὲ τοῦ βοηθοῦντας τοῖς ἰδίοις τιμωρεῖσθαι τοὺς ἐναντίους τὸ ἐγείρεσθαι, ὡς καὶ ἀλλαχοῦ, «Ἐξεγέρθητι· ἵνα τί ὑπνοῖς, Κύριε»[2]. Ἐπειδὴ ἡμεῖς ἄπρακτοι μὲν ἐν τῷ καθεύδειν, ποιεῖν δέ τι τῶν ἀναγκαίων βουλόμενοι, καὶ μάλιστα κατὰ τῶν πολεμίων, πρότερον διανιστάμεθα πάντως, διὰ τοῦτο εἰς μείζονα παράστασιν τοῦ ὑποδείγματος τοῖς ῥηθεῖσιν ἐχρήσατο καὶ καλῶς ἐπήγαγεν·

«Ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου»

Ἵνα εἴπῃ τῆς μακροθυμίας τὴν ἐπίτασιν, ἀπὸ τοῦ τοὺς ἀπὸ οἴνου κραιπαλῶντας ἐπὶ πλείονα καθεύδειν, καὶ μᾶλλον βαρυτέρῳ τῷ ὕπνῳ κεχρημένους μηδὲν τῶν ἐπειγόντων ἐπιτελεῖν. Τὸ γοῦν «καὶ κεκραιπαληκώς» τῷ «ὑπνῶν» ἐπισυνῆπται, ἵνα εἴπῃ, «ἐξηγέρθη Κύριος ὡς δυνατός ὑπνῶν καὶ κεκραιπαληκὼς ἐξ οἴνου»[3], τουτέστιν ἀλλὰ τοιαῦτα πασχόντων αὐτῶν ἀνεχόμενος καὶ μηδὲν ἀντιδιατιθεὶς τοῖς ἐχθροῖς, τοὐναντίον δὲ τῷ μεγέθει τῆς ἀνεξικακίας ὥσπερ ἐν ὕπνῳ τινὶ καθεστάναι δοκῶν ἀπὸ μέθης ἐπιγενομένῳ, αἰφνίδιον διανίστατο μετὰ πολλῆς τῆς ὀργῆς παρεχόμενος τῆς οἰκείας δυνάμεως τὴν ἀπόδειξιν ἐν τῇ κατὰ τῶν ἐχθρῶν τιμωρίᾳ. Τίνα δὲ ἃ ἐποίησεν;

---

1. Πρβλ. Ψαλ. 77,64. **2.** Ψαλ. 43,24. **3.** Ψαλ. 77,65.

66 «Καὶ ἐπάταξεν τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω»

539 Ἀντὶ τοῦ ἔτρεψεν αὐτοὺς εἰς φυγήν· οἱ γὰρ φεύγοντες ἐν τοῖς πολέμοις ὄπισθεν τὰς πληγὰς λαμβάνουσιν.

«Ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς»

Καὶ παρεσκεύασεν αὐτοὺς εἰς διηνεκὲς ὄνειδος[1] εἶναι ὑπὸ τῶν κακῶν. Διὰ τούτων δὲ εἶπεν ὃ δὴ καὶ ἐπὶ τῶν Κριτῶν ἐγένετο· πολλάκις μὲν γὰρ ὑπὸ ἀλλοφύλοις ἐνένοντο, πολλάκις δὲ διὰ τῶν κατὰ καιρὸν Κριτῶν ἔξω τῶν κατεχόντων κατέστησαν.

67-68 «Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσὴφ καὶ τὴν φυλὴν Ἐφραΐμ οὐκ ἐξελέξατο· καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα»

«Φυλὴν Ἐφραΐμ» καί «σκήνωμα Ἰωσήφ»[2] τὸ αὐτὸ λέγει· υἱὸς γὰρ ἦν τοῦ Ἰωσὴφ ὁ Ἐφραΐμ. Ἐπειδὴ δὲ πολλάκις οἱ τῆς τοῦ Ἐφραΐμ φυλῆς τῇ τοῦ Ἰούδα κατεπανέστησαν, — ὡς καὶ ἐπ' αὐτοῦ τοῦ Δαβίδ ἀναστῆναι βασιλέα τὸν Σεβεέ, ὃν καὶ ἀποκεφαλίσαντες ὕστερον οἱ τῆς πόλεως ἀνεῖλον ὑποθήκαις καὶ παρακλήσεσι τῆς σοφῆς γυναικός, — ὑπέσμυχέν τε ἤδη τοῦτο τὸ γένος ὕστερον τῶν δέκα φυλῶν ἡ διαίρεσις, ὧν ἐξῆρχεν ἡ τοῦ Ἐφραΐμ φυλὴ διὰ πλῆθος καὶ ἰσχύν, πόῤῥωθεν τοῦτο καταστεῖλε ἠβούλετο διὰ τῆς παραινέσεως. Καὶ γὰρ ᾔδει κακοῦ μεγίστου αἴτιον ἐσόμενον τὸ μὴ συμφωνεῖν αὐτοὺς ἅπαντας ἀλλήλοις καὶ εἶναι ὑπὸ τὸν βασιλέα τὸν ἐκ τοῦ Ἰούδα καὶ ἐν τῇ μητροπόλει διάγοντα ἔνθα καὶ τὸν ναὸν εἶναι συνέβαινεν. Τούτου μὲν γὰρ γιγνομένου ἐκ παντὸς λόγου παρ' αὐτῶν ἐθρησκεύετο τὸ θεῖον· ἴδιον δὲ βασιλέα ἐχόντων, καὶ καθ' ἑαυτοὺς ὄντων, τὸ ἐναντίον ἐγίγνετο, μήτε ἐπιβαίνειν τοῦ τόπου καὶ τῆς τοῦ Θεοῦ θεραπείας καταμελεῖν, καὶ καταπίπτειν εἰς τὴν τῶν εἰδώλων θρησκείαν. Ταῦτα γὰρ ἅπαντα ἀπὸ τῆς διαιρέσεως ἐγίγνετο. Πόῤῥωθεν τοίνυν, ὥσπερ διαμαρτυρούμενος καὶ διορθούμενος, ταῦτά φησιν ὅτι ὥσπερ παρὰ πάντα ἡμᾶς «ἐξελέξατο» τὰ ἔθνη, οὕτω πάλιν παρὰ πάντας Ἰουδαίους τὴν τοῦ Ἰούδα «φυλὴν ἐξελέξατο» εἰς τὸ βασιλεύειν, οὐχὶ δὲ τὰς

1. Πρβλ. Ψαλ. 77,66. **2.** Ψαλ. 77,67.

λοιπάς. Διὰ **540** τοῦτο οὐδὲ ἑτέρας ἐμνημόνευσεν, ἀλλὰ τῆς τοῦ Ἐφραΐμ, ‹ἣν› μάλιστα μεγαλοφρονοῦσαν κατ' ἀρχὴν τοῦ πράγματος συνέβαινεν. Διὰ τί δὲ ἡ τοῦ Ἰούδα φυλὴ τῶν λοιπῶν προετιμήθη;

68 «Τὸ ὄρος τὸ Σιών, ὃ ἠγάπησεν»

«Τὴν φυλὴν ἐξελέξατο»[1] διὰ τὸ ὄρος. Ἐπειδὴ γὰρ ταύτην περὶ τὸ ὄρος εἶναι τὴν φυλὴν συνέβαινεν, ἔδει διὰ τὸν τόπον ταύτην προτιμᾶσθαι, ὥστε ἡ ταύτης προτίμησις εἰς τὸν τόπον ἔχει τὴν ἀναφοράν.

69 «Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ»

Οὔπω τοῦ ναοῦ κατεσκευασμένου τὴν νίκην λέγει· ὡς ὅτι πεποίηκεν αὐτήν, φησίν, οὕτως περίβλεπτον καὶ μεγάλην ἅπασι καὶ φοβεράν.

«Ἐν τῇ γῇ ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα»

Ἔδειξεν ὅτι «ἁγίασμα»[2] τὴν σκηνὴν λέγει, εἰπὼν αὐτήν. Καὶ ταύτην φησὶ τὴν σκηνήν «ἐν τῇ γῇ» τῆς ἐπαγγελίας ἥδρασε διηνεκῶς, — τουτέστιν ἐν πάσῃ τῇ γῇ τῆς ἐπαγγελίας τοῦτον ἐξελέξατο τὸν τόπον, ἐφ' οὗ τὴν σκηνὴν ἀμετάθετον εἶναι ἠβουλήθη, οὐχ ὥστε νῦν μὲν ἐνταῦθα εἶναι, ὕστερον δὲ μεταχθῆναι, ἀλλ' ὥστε τοῦτον εἶναι τὸν τόπον ἀεὶ τῇ σκηνῇ ἀφωρισμένον. Ὅμοιον δὲ ἐστι τούτῳ τὸ ἐν ξζ' «Τὸ ὄρος ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ, καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος»[3].

70 «Καὶ ἐξελέξατο Δαβὶδ τὸν δοῦλον αὐτοῦ»

Διὰ τοῦτο κἀγώ, φησίν, ἐξελέχθην.

«Καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων»

Ἔδειξε μείζονα τὴν χάριν, ὅτι ἀπὸ προβάτων[4] εἰς βασιλέα μετέστησεν.

---

1. Ψαλ. 77,68. **2.** Ψαλ. 77,69. **3.** Ψαλ. 67,17. **4.** Πρβλ. Ψαλ. 77,70.

71 «Ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν»

541 Ἔθος ἐστὶ τοῖς ἄρτι τικτομένοις τῶν προβάτων τὰ παιδία μάλιστα ποιμαίνειν. Τοῦτο οὖν φησιν, ὅτι οὐδὲ ποιμὴν ἤμην ἀξιόλογος, ἀλλὰ παῖς ἔτι καὶ περὶ τὰ νῦν λοχευόμενα ἔχων, τουτέστι τὰ τικτόμενα. Καὶ ὅμως οὕτως με οὐδὲν ὄντα ἐξελέξατο, ὥστε τι ποιεῖν;

«Ποιμαίνειν Ἰακὼβ τὸν λαὸν αὐτοῦ καὶ Ἰσραὴλ τὴν κληρονομίαν αὐτοῦ»

Πεποίηκε τοῦ Ἰσραὴλ βασιλέα[1]. Βούλεται δὲ διὰ τούτων αὐτοὺς παιδεῦσαι ὅτι οὐ προσῆκεν αὐτοὺς εἰς διαστάσεις ἐλθεῖν, ἀλλ' ὑποτάσσεσθαι τοῖς ἀπὸ τοῦ Ἰούδα βασιλεῦσιν, ὡς τοῦ Θεοῦ τὴν φυλὴν ἐκλεξαμένου διὰ τὸν τόπον περὶ ὃν ἡ φυλή, καὶ τὸν βασιλέα ἀπὸ τῆς φυλῆς.

72 «Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ»

Ἀλλὰ καὶ προχειρισθείς φησιν εἰς τοῦτο, ἴστε πῶς ὑμῶν ἦρξα, οὐδὲν χαλεπὸν καὶ ἐπίπονον καὶ κακίας γέμον περὶ ὑμᾶς ποτε βουλευσάμενος.

«Καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς»

Ἀλλ' οὐδὲ παρέλιπον ὁτιοῦν ἐχρῆν ποτε εἰς κυβέρνησιν ὑμετέραν διαπράξασθαι, ἀλλὰ μετὰ πάσης, ὡς οἶμαι, συνέσεως[2] ἤγαγον ὑμᾶς καθὼς ἐχρῆν. Ἔστι δὲ οὐ καυχωμένου τὸ ῥῆμα, ἀλλὰ τὴν ἐπ' αὐτὸ ψῆφον τοῦ Θεοῦ καὶ χάριν συστῆσαι καὶ μεγίστην δεῖξαι βουλομένου. Διὰ πάντων μέντοι τοῦτό φησιν, ὅτι ἀναγκαῖον ὑμᾶς μένειν ἐν ὁμονοίᾳ καὶ ἀνέχεσθαι βασιλέων τῶν ἐκ τῆς φυλῆς ταύτης, ἵνα οὕτως ὑμῖν ἀδεὲς ᾖ καὶ τῷ τόπῳ ἐπιβαίνειν ἔνθα ὁ Θεὸς θρησκεύεται. Ἀμφότερα γὰρ πληροῦται, τούτων οὖν οὕτω γιγνομένων, ἥ τε ὑμετέρα συμφωνία καὶ ἡ περὶ τὸν Θεὸν εὐσέβεια· ἀμφότερα δὲ λύεται, ἕτερα ὑμῶν βουλευσαμένων.

---

1. Πρβλ. Ψαλ. 77,71. 2. Πρβλ. Ψαλ. 77,72.

Ψαλμὸς 78

542 Ἀντίοχος ὁ Ἐπιφανὴς[1] μάλιστα πάντων πλεῖστα διέθηκεν κακὰ τὴν Ἱερουσαλήμ, πολλοὺς μὲν ἀνελὼν καὶ κατασφάξας τῶν Ἰουδαίων, μολύνας δὲ καὶ τοῦ Θεοῦ τὸν ναόν[2]· ναὸν γὰρ αὐτὸν πεποιηκὼς τοῦ Διὸς καὶ βωμὸν ἀνέστησεν ἐπὶ τῷ Διὸς ὀνόματι καὶ θυσίας ἐπετέλει[3]. Ἐντεῦθεν οἱ μὲν συνέπραττον τῶν Ἰουδαίων, οἱ δὲ ἀναγκαζόμενοι θύειν καὶ μὴ βουλόμενοι ἀπώλλυντο ἀδίκως καὶ παρανόμως σφαττόμενοι, ἀναιρούμενοι διαφόροις ἀπολλύμενοι θανάτοις, ὡς πολὺ μὲν ἀνθρώπειον αἷμα περὶ τὸν ναὸν ἐκχεῖσθαι καὶ τὴν πόλιν, μένειν δὲ ὡς ἐπὶ τὸ πλεῖστον καὶ ἄταφα τῶν τελευτώντων τὰ σώματα, καὶ τὰ μὲν ὑπὸ θηρίων, τὰ δὲ καὶ ὑπὸ τῶν ὀρνέων ὡς εἰκὸς ἀναλίσκεσθαι. Γέγονε δὲ παραπλήσιον τούτοις καὶ ἐπὶ Δημητρίου τοῦ βασιλέως[4], καὶ τούτου μάρτυς ἀξιόπιστος ἡ Μακκαβαϊκὴ γραφή, μετὰ τὴν διήγησιν τῶν γεγονότων αὐτῆς τοῦ ψαλμοῦ τῆς μαρτυρίας μεμνημένη ὡς τότε λαβούσης τὴν ἔκβασιν. Καὶ περὶ μὲν τοῦ Ἀντιόχου πολλὰ διηγησαμένη ἕτερά φησιν οὕτως· «Καὶ ἐξέχεαν αἷμα ἀθῷον κύκλῳ τοῦ ἁγιάσματός σου, καὶ ἐμόλυναν τὸ ἁγίασμα»[5]. Περὶ δὲ τῶν κατὰ Δημήτριον εἰπών, — ὅπως Βακχίδην ἀπέστειλεν ὁ βασιλεὺς ἅμα Ἀλκίμῳ τινὶ τῶν Ἰουδαίων ἐπὶ τὸ παραδοῦναι μὲν αὐτῷ τὴν ἀρχὴν τοῦ ἔθνους, κατασφάξαι δὲ τοὺς τοῦ Ματταθία υἱούς, ὅπως δὲ μετὰ δόλου προσενεχθέντες τοὺς τοῦ λαοῦ πολλοὺς ἀνεῖλον,— ὕστερόν φησι, «Καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα ἄνδρας, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τοὺς λόγους οὓς ἔγραψεν. Τὰς σάρκας τῶν ὁσίων σου, καὶ αἵματα αὐτῶν ἐξέχεαν κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων»[6].

Ταῦτα οὖν ὁ μακάριος Δαβὶδ ἐκ προσώπου τῶν Μακκαβαίων φησίν, οἳ τὸν ὑπὲρ πάντων πόλεμον πρὸς τοὺς Ἀντιόχου στρατηγοὺς ἀνεδέξαντο, Ματταθία μὲν ἀρξαμένου, διαδεξαμένου δὲ παρ' ἐκείνου τὸν πόλεμον τοῦ υἱοῦ. Εἰκότως οὖν ἐκείνοις καὶ ἁρμόσει τὸ

---

1. Πρβλ. Δ' Μακκ. 4,15. **2.** Πρβλ. Δ' Μακκ. 4,18-5,13. **3.** Πρβλ. Β' Μακκ. 6,2. **4.** Πρβλ. Β' Μακκ. 1,7. 14,5. **5.** Α' Μακ. 1,37. **6.** Α' Μακ. 7,16-17. Ψαλ. 78,2-3.

ἀθυμεῖν τε ἐπὶ τοῖς γεγενημένοις καὶ λέγειν αὐτὰ πρὸς τὸν Θεὸν αἰτοῦντας τυχεῖν τῆς παρ' αὐτοῦ βοηθείας, οἳ ἐκ τῆς ὑπὲρ τοῦ νόμου προθυμίας καὶ τὸ δικαίως αἰτεῖν ἐκέκτηντο.

1 «Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου»

543 Ἐπειδὴ κληρονομία καὶ κτῆσις ἰδία τοῦ Θεοῦ ἐλέγετο ἡ γῆ τῆς ἐπαγγελίας καὶ μάλιστα Ἱερουσαλήμ, — ὡς καὶ τὸν ναὸν ἐκλεξαμένου καὶ τὸν τόπον ἐκεῖνον εἰς τὸ ἐν αὐτῷ ὡς ἐν ἰδίῳ τοὺς αὐτῷ προσήκοντας οἰκεῖν, — ἰδού, φησί, τῶν σῶν ἐκράτησαν ἄλλοι καὶ τὰ σὰ ὑπὸ ἀλλοφύλων κατέχεται.

«Ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου»

Καὶ οὐ κατέσχον ἁπλῶς, ἀλλὰ γὰρ καὶ ἐμόλυναν ἐκεῖνον τὸν ναὸν[1] τὸν τῇ σῇ θρησκείᾳ ἀφωρισμένον.

«Ἔθεντο Ἱερουσαλὴμ εἰς ὀπωροφυλάκιον»

Ἐν τοσαύτῃ κατέστησαν ἐρημίᾳ τὴν πόλιν, οὕτω τὰς οἰκήσεις πανταχόθεν καταῤῥίψαντες, ὡς μηδὲν ἀφεστάναι ἐκείνης τῆς πρὸς βραχὺ γιγνομένης ἐπὶ τῇ τῶν ὀπωρῶν φυλακῇ.

2 «Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς»

Ἔτι καὶ τὰ νεκρὰ σώματα ἄταφα καταλιμπάνοντες παρεσκεύαζον ὑπὸ ὀρνέων τε καὶ θηρίων καταναλίσκεσθαι. Ἓν γάρ ἐστι, κατὰ τὸ σύνηθες αὐτῷ δοκοῦν διαιρεῖσθαι, ἀντὶ τοῦ δῆθεν τὸ τὰς θνησιμαίας σάρκας «τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς καὶ τοῖς θηρίοις τῆς γῆς»[2]. Ἐπεσημηνάμεθα δὲ καὶ ἐν τῷ νε', ὅτι ἰδίωμα τοῦτο παρὰ τῷ μακαρίῳ Δαβὶδ συνεχῶς εὑρισκόμενον.

3 «Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡς ὕδωρ κύκλῳ Ἱερουσαλήμ, καὶ οὐκ ἦν ὁ θάπτων»

Σφόδρα αὐτὸ ἐμφαντικῶς εἶπεν. Τοσοῦτος γὰρ ἦν ὁ φόνος, ὥστε αἷμα δίκην ποταμίου ῥεύματος φέρεσθαι περὶ τὴν πόλιν κι-

---

1. Πρβλ. Ψαλ. 78,1. **2.** Ψαλ. 78,2.

νούμενον, οὐδὲ 544 ταφῆς ἀξιουμένων τῶν τελευτώντων. Καλῶς δὲ τό «οὐκ ἦν ὁ θάπτων» ἐπήγαγεν[1]. Καὶ οὕτω φησὶν ἀφειδῶς ἀναιροῦντες, οὐδὲν ἐκ τούτων κόρον ἔλαβον, ἀλλ' ἔτι καὶ μετὰ τοσοῦτον φόνον καὶ τοσαύτην ὀργὴν καὶ τὸν θάνατον τῶν ἀπολλυμένων, περὶ τοὺς ἀποθανόντας τὴν ὀργὴν ἐπιδεικνύμενοι ταφῆς αὐτοὺς οὐκ ἠξίουν.

4 «Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν»

Τότε οὖν ἡμᾶς οἱ περιοικοῦντες ἐφ' οἷς πάσχομεν ἐχλεύαζον[2], ὀνειδίζοντες ὡς οὐδὲν ὄφελος δεξαμένους ἀπὸ τῆς περί σε διαθέσεως. Πολλαχοῦ δὲ ἐν τοῖς ψαλμοῖς τῶν Μακκαβαίων μέμνηται τῶν γειτόνων ὡς ὀνειδιζόντων εἰκότως, ἐπειδὴ καὶ πολλοὺς παρ' αὐτῶν ὑπέμειναν πολέμους.

5 «Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος»

Ποῦ συστήσεται τὰ τῆς καθ' ἡμῶν ὀργῆς[3];

«Ἐκκαυθήσεται ὡς πῦρ ὁ ζῆλός σου;»

Ἐκκαίεται ἀεὶ ἐπίδοσιν λαμβάνων· οὕτω γὰρ ἀεὶ προσθήκην τὰ καθ' ἡμᾶς ἐπιδέχεται κακά. Καλῶς δὲ ἐνταῦθα ζῆλον ἐκάλεσεν τὴν ὀργὴν τοῦ Θεοῦ, ὡς ὑπὲρ ὧν ἠσέβουν καὶ ἐξύβριζον εἰς τὸν νόμον περὶ τὰ ἑλληνικὰ ἔθη καὶ τῇ εἰδώλων θρησκείᾳ ἑαυτοὺς ἀσχολήσαντες, παρακινηθέντος τοῦ Θεοῦ κατ' αὐτῶν καὶ ζηλώσαντος.

6 «Ἔκχεον τὴν ὀργήν σου ἐπὶ τὰ ἔθνη τὰ μὴ γινώσκοντά σε»

Εἰ γὰρ τούτων ἕνεκεν, φησί, χαλεπαίνεις ὅτι ἔλαττον τῶν σῶν ἐφροντίσαμεν νομίμων, τιμώρησαι δικαίως ἐκείνους τοὺς οὐδὲ ἐγνωκότας σε τὴν ἀρχήν.

«Καὶ ἐπὶ βασιλείας, αἳ τὸ ὄνομά σου οὐκ ἐπεκαλέσαντο»

545 Ἐκείνους τοὺς οὐδέποτέ σε Θεὸν καλέσαντας ἢ λογισαμένους[4].

---

1. Ψαλ. 78,3. **2.** Πρβλ. Ψαλ. 78,4. **3.** Πρβλ. Ψαλ. 78,5. **4.** Πρβλ. Ψαλ. 78,6.

7 «Ὅτι κατέφαγον τὸν Ἰακὼβ καὶ τὸν τόπον αὐτοῦ ἠρήμωσαν»

Καὶ γὰρ οὐ μικρὰ διέθηκαν ἡμᾶς κακά, ἡμᾶς γε μικροῦ καταναλώσαντες καὶ τὸ οἰκητήριον ἡμῶν ἅπαν ἀφανίσαντες[1].

8 «Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων»

Ἄνωθεν, φησί, καὶ ἐξ ἀρχῆς πολλὰ παρ' ἡμῶν ἔπταισται καὶ ἠγνωμόνηται εἴς σε. Μὴ δὴ πάντων ἐκείνων νῦν λάβῃς μνήμην· πρὸς γὰρ σύγκρισιν ἐκείνων καὶ μικρὰ ἅπερ ἐπάθομεν.

«Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα»

Ὀξεῖαν δὲ μᾶλλον χάρισαι τὴν σὴν φιλανθρωπίαν, καὶ προκαταλαβοῦ ἡμᾶς ἐν πολλῇ πτωχείᾳ καταστάντας καὶ ὀλίγους γενομένους καὶ μικροῦ πάντη καταναλωθῆναι κινδυνεύοντας. Καλῶς δὲ τό «προκαταλαβέτωσαν»[2], ὡς ἐγγὺς ὄντων τοῦ παντελῶς ἀπολέσθαι, καὶ οὐδὲ δυναμένων λοιπὸν ἀνακληθῆναι τῶν κατ' αὐτῶν εἰ νῦν ὑπέρθεσιν λάβοιεν.

9 «Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ σωτὴρ ἡμῶν»

Οὕτως οὖν χάρισαι τὴν σὴν βοήθειαν[3].

«Ἕνεκα τῆς δόξης τοῦ ὀνόματός σου, Κύριε, ῥῦσαι ἡμᾶς»

Καὶ εἰ μὴ δι' ἡμᾶς, οὐκ ἄξιοι γάρ, — διὰ σαυτὸν γοῦν ἀπάλλαξον, καὶ ὅτι πάντες ἐπὶ τῷ παραδόξῳ θαυμάζοντες μετὰ πολλῆς σου τῆς δόξης μνημονεύουσιν.

«Καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν ἕνεκα τοῦ ὀνόματός σου»

546 Καὶ ὑπὲρ τοῦ σε παρὰ πᾶσιν ὀνομάζεσθαι θαυμαζόμενον, μᾶλλον ἑλοῦ παριδεῖν ἡμῶν τὰ πταίσματα.

10 «Μήποτε εἴπωσιν τὰ ἔθνη»

Εἰ γὰρ ἡμᾶς πάντη παραδοίης τοῖς κακοῖς, πολὺς ἔσται μᾶλλον παρὰ τοῖς ἐχθροῖς ὁ λόγος στρεφόμενος.

---

1. Πρβλ. Ψαλ. 78,7. **2.** Ψαλ. 78,8. **3.** Πρβλ. Ψαλ. 78,9.

«Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν;»

Τί τὸ κέρδος τῆς ἐπ' αὐτὸν πίστεως; Διὰ πολλῶν δὲ ἔδειξεν ὅτι δικαίως τῆς παρ' αὐτοῦ τυχεῖν βοηθείας ὀφείλουσιν. Πρῶτον ὅτι ἡ αὐτοῦ κτῆσις παρὰ τῶν ἐχθρῶν κατέχεται, εἶτα ὅτι ὁ ναὸς μεμόλυνται, πρὸς τούτοις ὅτι πολὺς φόνος αὐτῶν ἐγένετο, ὅτι ὀνειδίζουσιν οἱ ἐχθροί, ὅτι δικαιότερον ἂν εἴη εἰ οἱ ἐχθροὶ τιμωρηθεῖεν μάλιστα οὐ γνωρίζοντες τὸν Θεόν, ὅτι καὶ πρὸς δόξαν αὐτοῦ συμβάλλεται τὸ πρᾶγμα, ὅτι εἰ μὴ βοηθήσειε πολλὴ παρὰ τῶν ἐχθρῶν παρακολουθήσει ἡ χλεύη.

«Καὶ γνωσθήτω ἐν τοῖς ἔθνεσιν ἐνώπιον τῶν ὀφθαλμῶν ἡμῶν ἡ ἐκδίκησις τοῦ αἵματος τῶν δούλων σου τοῦ ἐκκεχυμένου»

Καὶ ποίησον ἡμᾶς, φησίν, αὐτοῖς θεάσασθαι τοῖς ὀφθαλμοῖς τὴν ἐκδίκησιν τοῦ φόνου τῶν δούλων σου[1], τουτέστιν ἴδοιμεν τοὺς ἐχθροὺς ὑπὲρ τούτων τιμωρουμένους.

11 «Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων»

Μελησάτω δέ σοι τοῦ στεναγμοῦ ἡμῶν, ὃν ἀπὸ μεγάλων ἀφίεμεν τῶν συμφορῶν.

«Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων»

547 «Περιποίησαι»[2], τουτέστι περίσωσον· ἀνάλογόν φησι τῇ ἰσχύϊ σου τὴν περὶ ἡμᾶς βοήθειαν ἐπιδειξάμενος, οὕτως ἡμᾶς περίσωσον, — ἀντὶ τοῦ πάντη τῶν κακῶν ἀπάλλαξον.

12 «Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν τὸν ὀνειδισμὸν αὐτῶν, ὃν ὠνείδισάν σε, Κύριε»

Ἐν τῷ λδ' σαφέστερον ἐπεσημηνάμεθα ὅπως τὸν κόλπον τὸ συνημμένον λέγει καὶ ἀχώριστον ἡ θεία Γραφή, ὅταν μὴ αὐτὸν λέγῃ τὸν παρ' ἡμῖν ὀνομαζόμενον κόλπον. Ὑπὲρ ὧν οὖν, φησίν, «ὠνείδισάν σε» οἱ περίοικοι ἡμῶν, ὡς οὐδὲν οὔτε δυνάμενον οὔτε βοηθήσοντα ἡμῖν, «ἀπόδος» αὐτοῖς πολλαπλασίως, ἀντὶ τοῦ μετ'

1. Πρβλ. Ψαλ. 78,10. 2. Ψαλ. 78,11.

ἐπιτάσεως. Τί δέ ἐστιν τὸ πολυπλάσιον ὃ λέγει; Ἔξεστιν «εἰς τὸν κόλπον αὐτῶν»[1] ἀντὶ τοῦ ὥστε τὴν τιμωρίαν τὴν παρά σου καὶ τὸν ὀνειδισμὸν τὸν ἐπαγόμενον αὐτοῖς ὑπέρ «ὧν ὠνείδισάν σε», ἀδιάλυτον καὶ ἀχώριστον αὐτοῖς παραμεῖναι, καὶ μὴ ὥσπερ τὰ καθ' ἡμᾶς τῇ σῇ βοηθείᾳ λύσιν λαμβάνῃ οὕτω καὶ τὰ κατ' ἐκείνους λάβοι, ἀλλὰ τοιαύτην δέξαιντο, φησί, τιμωρίαν ὥστε διηνεκὲς ἔχειν τὸ ὄνειδος.

13 «Ἡμεῖς δὲ λαός σου καὶ πρόβατα τῆς νομῆς σου ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα, εἰς γενεὰν καὶ γενεὰν ἐξαγγελοῦμεν τὴν αἴνεσίν σου»

Ἡμεῖς μέντοι, φησίν, οἱ σοὶ καὶ ὑπὸ τῆς σῆς ποιμαινόμενοι βοηθείας, τούτων γενομένων, διατελέσομεν εὐχαριστοῦντές σοι καὶ διηνεκῆ σοι τὴν ὑπὲρ τούτων εὐχαριστίαν ἀποδιδόντες[2].

Ψαλμὸς 79

548 Διήγησις εἴτε καὶ προαγόρευσις τῶν κατὰ τοὺς Μακκαβαίους καὶ ὅδε ὁ ψαλμὸς ἀπὸ τῶν τότε εἰρημένος, παραδεικνύντων μὲν τὰ οἰκεῖα κακά, μνημονευόντων δὲ καὶ τῆς παλαιᾶς τοῦ Θεοῦ περὶ αὐτοὺς εὐεργεσίας, καὶ ἀξιούντων ὁμοίως καὶ νῦν τυχεῖν τῆς προνοίας παραπλησίως.

2 «Ὁ ποιμαίνων τὸν Ἰσραήλ, πρόσχες»

Ὁ ἀεὶ προστάτης ἡμῶν καὶ προνοητὴς φανείς, καὶ δίκην ποιμένος καλοῦ ἐπιμεληθεὶς ἡμῶν, πρόσχες ἡμῖν καὶ νῦν[3].

«Ὁ ὁδηγῶν ὡσεὶ πρόβατα τὸν Ἰωσήφ»

Τὸ αὐτὸ λέγει ἀπὸ ἑνὸς τὸ ἔθνος συνήθως καλῶν. Σύ φησιν, ὃς δίκην ποιμένος ἐξήγαγές τε ἡμᾶς τῆς Αἰγύπτου καὶ ἤγα-

Ἰσραὴλ καὶ Ἰωσὴφ τὸν αὐτὸν λέγει, παρ' ἑνὸς καὶ αὐτοῦ κατὰ τὸ εἰωθὸς τὸ ἔθνος καλῶν. Σὺ φησιν, ὁ καθάπερ ποιμὴν

---

1. Ψαλ. 78,12. **2.** Πρβλ. Ψαλ. 78,13. **3.** Πρβλ. Ψαλ. 79,2.

γες διὰ τῆς ἐρήμου τῇ οἰκείᾳ ἐπιμελείᾳ, πάντων ἀξιώσας τῶν καλῶν, ὅμοια δὴ περὶ ἡμᾶς καὶ νῦν διάπραξον.

ἡμᾶς ἐξήγαγες ἐξ Αἰγύπτου, καὶ δι' ἐρήμου τῇ σῇ κηδεμονίᾳ ἤγαγες, παντοδαπῶν αὐτοὺς ἀγαθῶν ἀξιώμενος, τὰ ὅμοια καὶ νῦν ποίησον περὶ ἡμῖν.

«Ὁ καθήμενος ἐπὶ τῶν Χερουβείμ, ἐμφάνηθι»

549 Ἐπὶ τοῦ δυνατοῦ τὰ Χερουβεὶμ λέγει ἀεί. Ὁ ἐπὶ πάντων, φησίν, ὢν τῶν δυνατῶν, καὶ πάντας ἔχων ὑφ' ἑαυτὸν εἴτε ἀοράτους δυνάμεις εἴτε καὶ ὁρατάς, δεῖξον σεαυτὸν διὰ τῆς εἰς ἡμᾶς βοηθείας.

3 «Ἐναντίον Ἐφραῒμ καὶ Βενιαμὶν καὶ Μανασσή»

Ἵνα εἴπῃ παντὸς τοῦ ἔθνους περιληπτικῶς. Ἐμφάνηθι οὖν, φησίν, ἐναντίον ἡμῶν, τουτέστιν ἔμπροσθεν ἡμῶν δείχθητι, στρατηγῶν ἡμῶν ἐν τοῖς πολέμοις καὶ τροπούμενος τοὺς ἐναντίους· καὶ γὰρ ἔθος τοῖς γενναίοις τῶν στρατηγῶν προηγεῖσθαι καὶ προκινδυνεύειν.

Ὡς ἂν εἴπῃ συλλήβδην τοῦ παντὸς γένους. Ἐμφάνηθι γοῦν, φησίν, ἐναντίον ἡμῶν, τουτέστι πρὸ ἡμῶν σὺ καθηγοῦ ἐν πολέμοις, καὶ εἰς φυγὴν τρέπε τοὺς ἐναντίους· καὶ γὰρ εἰώθασιν οἱ εὐδόκιμοι τῶν στρατηγῶν προηγεῖσθαι καὶ προκινδυνεύειν τῶν ἄλλων.

«Ἐξέγειρον τὴν δυναστείαν σου καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς»

Καλῶς τό «ἐξέγειρον»[1], ὡς νῦν ἡσυχάζοντος καὶ οὐ κεχρημένου τῇ δυνάμει· κίνησον αὐτήν, φησί, καὶ παραγενοῦ πρὸς ἡμᾶς ἐπὶ τὸ σῶσαι ἡμᾶς.

4 «Ὁ Θεός, ἐπίστρεψον ἡμᾶς»

Ἀντὶ τοῦ μετάβαλε τὰς καθ' ἡμῶν συμφοράς, ταύτας εἰς εὐπραγίαν μεταποιήσας.

---

1. Ψαλ. 79,3.

«Καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα»

Μόνον φάνηθι καὶ σεσώσμεθα[1]· ἀρκεῖς γὰρ καὶ δείξας σεαυτὸν τοὺς ἐναντίους καταπλῆξαι.

5-6 «Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου, ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων»

550 Ὦ Δέσποτά φησι, δυνατέ, ἀρκῶν μὲν ἅπαντα ποιεῖν, ὑπερτιθέμενος δὲ ὡς ἔοικεν ἀφ' ὧν πάσχομεν, μέχρι ποῦ τὰ τῆς καθ' ἡμῶν ὀργῆς ἐπεκτείνεις; οὐδὲ τὰς προσευχὰς ἡμῶν πολλάκις προσιέμενος, οὕτως ἄρα πάντη ἀπεγένου ἡμῶν; Τὸ δέ «τοῦ δούλου σου» τοῦ λαοῦ σου λέγει, ἑνικῇ φωνῇ τοὺς πάντας ἡμᾶς, — «ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων»[2], — ἔδειξεν τῇ ἐπαγωγῇ· εἰπὼν γὰρ δοῦλον ἐπήγαγεν «ἡμᾶς», δεικνὺς ὅτι δοῦλον αὐτοῦ τὸν λαὸν εἶπεν, τουτέστιν αὐτούς. Τοσούτοις «ἡμᾶς», φησί, περιέβαλες κακοῖς, ὥστε μηδὲ τῆς τροφῆς ἄνευ δακρύων μεταλαβεῖν δύνασθαι.

6 «Καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ;»

Καὶ τὸ ποτὸν δὲ πολλάκις τοῖς δάκρυσι πληροῦμεν, οὕτως οὐδένα καιρὸν ἑαυτοὺς ἀνεῖναι δυνάμεθα. Τὸ οὖν «ἐν μέτρῳ»[3], τουτέστι πλῆρες. Οὕτω φησὶ πληροῦμεν δακρύων τὸ ποτόν, ὥσπερ οἱ μέτρῳ τι διδόντες καὶ πληροῦντες αὐτὸ πάντως διὰ τὴν τοῦ μέτρου συμπλήρωσιν. Τί δὲ τούτων τὸ αἴτιον;

7 «Ἔθου ἡμᾶς εἰς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν, καὶ οἱ ἐχθροὶ ἡμῶν ἐμυκτήρισαν ἡμᾶς»

Καλῶς τό «εἰς ἀντιλογίαν»[4] Σύμμαχος 'διὰ μάχης' εἶπεν. Οἱ γὰρ περιοικοῦντες, φησίν, ἅπαντες ἐπανέστησαν ἡμῖν εἰς ἀντίστασιν συμμάχων, καὶ τὸ χεῖρον· περιγενόμενοι γὰρ καὶ χλευάζουσιν ἐπὶ ταῖς συμφοραῖς.

8 «Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα»

Τοιούτων ὄντων, φησίν, ὧν πάσχομεν, αὐτὸς ὁ μόνος δυνατὸς

---

1. Πρβλ. Ψαλ. 79,4. **2.** Ψαλ. 79,5-6. **3.** Ψαλ. 79,6. **4.** Ψαλ. 79,7.

μετάβαλε τὰ καθ' ἡμᾶς, καὶ δείξας σεαυτὸν παράσχου τὴν σωτηρίαν[1].

9 «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας»

551 Ἡμεῖς, φησίν, ἐσμὲν ἐκεῖνοι, οὓς δίκην ἀμπέλου ἐν τῇ Αἰγύπτῳ[2] διάγοντας ἐξήσπασάς τε καὶ μετήγαγες.

«Ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν»

Καὶ περιελὼν τοὺς κατοικοῦντας τότε ἐπὶ τῆς γῆς, ἡμῖν ἀπεκλήρωσας τὸν τόπον, ὥσπερ φυτείᾳ τινὶ τῆς οἰκήσεως τὸ βέβαιον ἐπαγγειλάμενος.

10 «Ὡδοποίησας ἔμπροσθεν αὐτῆς»

Οὐδὲν κώλυμα ἀφῆκας γενέσθαι, οὐδὲ συνεχώρησάς τινι τῇ παρόδῳ ἡμῶν ἐναντιωθῆναι, ἀνελὼν ἅπαντας καὶ ὥσπερ ὁδόν τινα ἐξομαλίσας καὶ ἐξευμαρίσας ἡμῖν τὰ πράγματα.

«Καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήσθη ἡ γῆ»

Οὕτως ἡμᾶς κατὰ πάσης τῆς γῆς κατῴκισας[3], — λέγει δὲ τῆς γῆς τῆς ἐπαγγελίας.

11 «Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς»

Κατῴκησαν καὶ ἐπὶ τῶν ὀρέων.

«Καὶ οἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ»

Καὶ ἐξετάθησαν μέχρι τοσούτου, καὶ εἰς πλῆθος ἐπέδωκαν, ὡς καὶ μέχρι τῶν ὑψηλοτέρων τόπων, ἐν οἷς τὰς κέδρους[4] συμβαίνει εἶναι, τὴν κατοικίαν ποιήσασθαι.

12 «Ἐξέτεινεν τὰ κλήματα αὐτῆς ἕως θαλάσσης»

Ἐξετάθησαν δὲ καὶ μέχρι τῆς θαλάσσης[5]· ἦσαν γὰρ οἱ καὶ τὴν παραθαλασσίαν οἰκοῦντες.

---

1. Πρβλ. Ψαλ. 79,8. **2.** Πρβλ. Ψαλ. 79,9. **3.** Πρβλ. Ψαλ. 79,10. **4.** Πρβλ. Ψαλ. 79,11. **5.** Πρβλ. Ψαλ. 79,12.

«Καὶ ἕως ποταμῶν τὰς παραφυάδας αὐτῆς»

552 Μέχρι τοῦ ποταμοῦ τοῦ Ἰορδάνου φησίν· ἠβουλήθη γὰρ εἰπεῖν ὅτι εἰς πλῆθος ἐπέδωκαν καὶ κατέσχον πᾶσαν τὴν γῆν, τὰ ὄρη, τὰ παραθαλάσσια, τοὺς ποταμούς, ὥστε ἁπάντων ἔχειν τὴν ἀπόλαυσιν, εἴτε τι ἀπὸ θαλάσσης καλόν, εἴτε τι ἀπὸ ὀρέων, εἴτε καὶ ἑτέρωθεν. Τῷ δὲ ὁμοιώματι μᾶλλον ἐλάμπρυνε τὸν λόγον ἐν ἀμπέλου τάξει τὸν λαὸν εἰσαγαγών, καὶ ἐκσπασθέντα ἐκ τῆς Αἰγύπτου, καὶ μετενεχθέντα εἰς τὴν Παλαιστίνην ἐκεῖ τε φυτευθέντα καὶ ἐκτείναντα ὥσπερ κλήματα τὸ πλῆθος, ἀψάμενον τῶν ὀρέων, ἀψάμενον τῆς θαλάσσης, κυκλώσαντα τὸν ποταμόν, — διὰ πάντων μέντοι τὴν παλαιὰν εὐπραγίαν αὐτῶν ἐσήμανεν.

13 «Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν;»

Ἤρκεσεν αὐτῷ ἡ τῆς ἀμπέλου παραβολὴ καὶ εἰς ἀπόδειξιν τῆς παλαιᾶς εὐπραγίας καὶ εἰς παράστασιν τῆς νῦν συμφορᾶς. Ἄμπελος γὰρ οὐδεμιᾶς ἀσφαλείας ἠξιωμένη πρόκειται πᾶσιν τοῖς παρερχομένοις εἰς λύμην, ἑκάστου καὶ διὰ τὸ ὥριμος εἶναι καὶ διὰ τὸ ἐκ τοῦ καρποῦ ὀρέγεσθαι εὐκόλως ἐπεισιόντος ὅταν μηδὲν τὸ κωλῦον ᾖ. Περιελὼν οὖν τὸν φραγμόν[1] φησι τὸν ἡμέτερον, δηλαδὴ τὴν ἀσφάλειαν ἡμῶν καὶ τὴν παρά σου φυλακήν, ἔδωκας ἡμᾶς τοῖς ἐναντίοις, ὥστε εὐχειρώτους εἶναι παντὶ τῷ βουλομένῳ, οὕτω πᾶσιν εὐάλωτοι καθεστήκαμεν.

14 «Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ, καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν»

Τὸν Ἀντίοχον λέγει μάλιστα πάντων κακῶς αὐτοῖς χρησάμενος καὶ πολλὰ διαθέντα κατὰ τὴν πόλιν, τὴν χώραν, τὸ ἔθνος, τὸν ναόν, οὐδὲν εἶδος ἐλλελοιπότα πονηρίας, ὅπως δὲ κατὰ αὔξησιν παρέστησεν τῶν κακῶν τὴν ἐπίτασιν. Σφόδρα γὰρ ἄμπελον λυμαίνεται κἂν κοινὸν εἶναι κἂν ἥμερον τὸν χοῖρον συμβαίνῃ, πλέον δὲ ὅταν εἰ καὶ ἄγριος εἴη καὶ τῶν ἐν ὄρεσι **553** διαιτωμένων· ἂν δὲ καὶ τῶν ἀγρίων μεμονωμένος καὶ πρὸς τοὺς ἄλλους ἀγρίους τῶν

1. Πρβλ. Ψαλ. 79,13.

χοίρων ἀκοινώνητος, ἔτι χαλεπότερον τὸ κακόν, — οἱ γὰρ τοιοῦτοι ἰσχυροὶ καὶ μάλιστα ἄγριοι, οἷοίπερ καὶ ἐπὶ τῶν λύκων, — οἱ γὰρ μεμονωμένοι καὶ καθ' ἑαυτοὺς διάγοντες μείζονα ἔτι τοῦ κακοῦ τὴν ἐπίτασιν φέρουσι. Τὸ γάρ «μονιὸς ἄγριος»[1] τοῦτο λέγει, — τουτέστι ὥσπερ «ὗς ἄγριος» μεμονωμένος καὶ πρὸς πάντας ἀκοινώνητος, οὕτως ἡμᾶς κατενεμήσατο· καὶ γὰρ ἐκεῖνος οὐ τοῦ καρποῦ μόνον ἅπτεται, ἀλλὰ καὶ αὐτοῖς πολλάκις τοῖς φυτοῖς λυμαίνεται.

15 «Ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον δή»

Ὅταν μνημονεύσῃ τῶν ἐπαγομένων κακῶν, καὶ ἀναγκαίως τῇ ἐπαγωγῇ ταύτῃ χρῆται. Οὐκοῦν φησιν, ὁ δυνατός, μετάβαλε τὰ καθ' ἡμᾶς.

«Καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ καὶ ἰδέ»

Πρόσχες δὴ τοῖς καθ' ἡμᾶς ἐκ τῶν οὐρανῶν.

«Καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην»

Σφόδρα ἐμπαθῶς αὐτὸ εἶπεν καὶ ἐλεεινῶς· αὐτάρκως ἐν τοῖς ἄνω ἀποδειξάμενος αὐτῆς τὴν ἐρήμωσιν καὶ τῆς ἐρημώσεως τὴν ἐπίτασιν, ἐπήγαγεν καιρίως τό «ἐπίσκεψαι τὴν ἄμπελον ταύτην»[2], δεικτικῶς ὁμοῦ καὶ ἐμπαθῶς. Σὺ τοίνυν φησίν, ὁ τῆς ἀμπέλου ταύτης γεωργός, βλέπε αὐτῆς τὴν ἐρήμωσιν καὶ τὴν διαφθοράν, — ὡς οὐκ ἀρκοῦντος λόγου δεῖξαι τὴν ἐρήμωσιν εἰ μὴ καὶ ὀφθείη.

16 «Καὶ κατάρτισαι αὐτήν, ἣν ἐφύτευσεν ἡ δεξιά σου»

Καὶ τῇ σῇ ἐπιμελείᾳ πάλιν αὐτὴν σύσφιγξον καὶ συνάγαγε καὶ συγκρότησον, ἐπειδὴ σόν ἐστι γεώργιον, — διὰ τὸ κάλλος τό «ἣν ἐφύτευσεν» κινητικῶς εἰπών.

«Καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ»

Ἀπὸ τοῦ παραδείγματος ἐπὶ τὸ πρόσωπον μετέβη· ἃ γὰρ αὐτῷ προσήκοντα ὡς ἐπὶ **554** παραδείγματος ἔλεγεν περὶ τῆς ἀμπέλου,

1. Ψαλ. 79,14. 2. Ψαλ. 79,15.

ταῦτα εἰς αὐτὸν πάλιν ἐπάγει καλῶς. Ὥσπερ οὖν καὶ ἄνω εἰπών «ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου καὶ ψωμιεῖς ἡμᾶς» μετῆλθεν ἐπὶ τὸ παράδειγμα, ὡς περὶ ἀμπέλου λέγων καὶ τὰ ἀκόλουθα, οὕτως πάλιν ἀπὸ τοῦ παραδείγματος ἀνατρέχει «υἱὸν ἀνθρώπου», ἵνα εἴπῃ ἡμᾶς, ἀπὸ τοῦ ἑνικοῦ τὸν λαὸν λέγων, — ὡς ὅταν λέγῃ τό «κατεπάτησέν με ἄνθρωπος», οὐ περὶ ἑνὸς λέγει, ἀλλὰ περὶ πολλῶν. Ἀποδέδωκεν μέντοι αὐτῷ τό «ἐπίβλεψον», ἵνα ᾖ «καὶ ἐπίβλεψον ἐξ οὐρανοῦ ἐπὶ τὴν ἄμπελον ταύτην». Ποίαν, σαφὲς αὐτὸ ποιῶν ἐπάγει· «καὶ ἐπὶ τὸν υἱὸν τοῦ ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ»[1], τουτέστιν ἡμᾶς. Πρόσχες ἡμῖν φησιν, οὓς αὐτὸς συνεστήσω, καὶ ἰσχυροὺς τοὺς οἰκείους πολλάκις ἀπέφηνας θαύμασιν.

17 «Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη»

Τό «ἐμπεπυρισμένη» ὡς πρὸς τό «κατάρτισαι αὐτήν» ἔχει τὴν ἀκολουθίαν, ἵνα ᾖ «καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευσεν ἡ δεξιά σου» «ἐμπεπυρισμένην ἐν πυρί»[2] καὶ ἀνεσκαμμένην, — τουτέστι πρόσχες τῇ ἀμπέλῳ, ὅπως πυρί τε διέφθαρται καὶ κατέσκαπται· ταῦτα γὰρ ὑπέμεινεν ἡ πόλις παρὰ τοῦ Ἀντιόχου. Τὸ δέ «ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ» διὰ μέσου, ὥσπερ οὖν καὶ ἕτερα πολλὰ διὰ τὸ μέτρον, ὁμοῦ καὶ σαφὲς ποιῶν ὅτι ποτὲ λέγει τὴν ἄμπελον.

«Ἀπὸ ἐπιτιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται»

Ἀλλ' εἰ μόνον ἐπιτιμήσεις, ἅπαντες οἱ τοσαῦτα ἡμᾶς διαθέντες ἀπολοῦνται.

18-19 «Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ· καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ»

Τὸ σκολιὸν ἐν **555** τῇ φράσει ἀπὸ τῆς ἑρμηνείας γεγένηται. Ἐπειδὴ γὰρ χεῖρα καλεῖ τὴν ἐνέργειαν, δεξιὰν δὲ τὴν βοήθειαν, τοῦτο λέγει ἡ ἐνέργειά σου, φησίν, ἡ εἰς βοήθειαν, — ἀντὶ τοῦ αὐτή

---

1. Ψαλ. 79,16. 2. Ψαλ. 79,17.

σου ἡ βοήθεια, — γενέσθω εἰς ἡμᾶς τοὺς σοὺς καὶ ὑπό σου δειχθέντας ἀεὶ μεγάλους, ἵνα ᾖ ἡ ἀκολουθία «Γενηθήτω ἡ χεὶρ τῆς δεξιᾶς σου ἐπὶ ἄνδρα καὶ ἐπὶ υἱὸν ἀνθρώπου, ὃν ἐκραταίωσας σεαυτῷ καὶ οὐ μὴ ἀποστῶμεν ἀπό σου»[1] καὶ ἀπὸ τῆς δεξιᾶς τοῦ ἐλέους σου. Τυχόντες γὰρ τούτων, οὐκ ἀφεξόμεθά σου τῆς γνώσεως, ἀλλὰ μενοῦμεν ἀεὶ τὴν παρά σου δεξιάν τε καὶ φιλανθρωπίαν ζητοῦντες, ἀντὶ τοῦ σὲ Θεὸν καὶ βοηθὸν ἡγούμενοι.

19 «Ζωώσεις ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα»

Ἀπὸ γὰρ νεκρότητος καὶ κινδύνων εἰς ζωὴν καὶ τὴν παρά σου σωτηρίαν καταστάντες, εἰκότως σε Θεὸν γνωρίσομεν.

20 «Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἐπίστρεψον ἡμᾶς καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα»

Καλῶς τὸ αὐτὸ καὶ τέλος ἐποιήσατο τοῦ ψαλμοῦ. Αὐτὸς οὖν, φησί, τῇ σαυτοῦ βοηθείᾳ καὶ ἐπιφανείᾳ περίσωσαι ἡμᾶς[2].

Ψαλμὸς 80

556 Τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ λαοῦ προαγορεύων, ἐπὶ εὐχαριστίαν ἅπαντας ὁ μακάριος Δαβὶδ διὰ τοῦδε προτρέπεται τοῦ ψαλμοῦ.

2 «Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν»

Εὐφραίνεσθε, φησίν, ἐπὶ τῇ παρ' αὐτοῦ βοηθείᾳ, τῶν παρ' αὐτοῦ μνημονεύοντες ἀεὶ καλῶν.

«Ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ»

Καὶ μετὰ τῆς οἰκείας εὐφροσύνης αὐτῷ τοὺς προσηκόντας ὕμνους ἐπινικίους ἀποδίδοτε. Τὸ δέ «ἀλαλάξατε»[3] συνήθως ἐπὶ νίκης.

---

1. Ψαλ. 79,18-19. **2.** Πρβλ. Ψαλ. 79,20. **3.** Ψαλ. 80,2.

3 «Λάβετε ψαλμὸν καὶ δότε τύμπανον»

Ὅπερ ἔθος ἐστὶν ἄχρι τῆς δεῦρο τὸ τὰς μὲν ᾠδὰς γίνεσθαι παρ' ἑτέρων, ἑτέρους δὲ ἢ ἐν ὀργάνοις ἢ ἐν αὐλοῖς ἢ ἔν τισιν ἑτέροις τὰς ᾠδὰς λέγειν, τοῦτο ἦν καὶ τότε. Ὁ γὰρ μακάριος Δαβὶδ τῇ τοῦ Πνεύματος χάριτι τοὺς ψαλμοὺς εἰργάζετό τε καὶ ἔλεγεν· ἕτεροι δὲ ἦσαν οἱ περὶ ταῦτα ἐπιτήδειοι καὶ διαφόροις τοῖς ὀργάνοις, κιθάρᾳ τε καὶ αὐλῷ, κυμβάλοις τε καὶ τυμπάνοις καὶ τοῖς τοιούτοις τὰς ᾠδὰς ἀνακρουόμενοι. Ὡς οὖν πρὸς ἐκείνους φησί, «λάβετε τὸν ψαλμόν»[1], τουτέστιν τὴν ᾠδήν, καὶ δότε παρ' ἑαυτῶν τὰ ὄργανα· ὃ μὴ ἔχετε λαβόντες, τὰ παρ' ἑαυτῶν δότε τῶν ὀργάνων τὴν χρῆσιν.

«Ψαλτήριον τερπνὸν μετὰ κιθάρας»

Καλὴ γάρ, φησίν, ἡ ᾠδὴ καὶ τερπνή, ὅταν διὰ τῶν ὀργάνων καὶ τῆς ποικιλίας καὶ τῶν διαφόρων ῥυθμῶν μείζονα τοῖς ἀκούουσι τὴν ἡδονὴν παρέχεται. Σύμμαχος τό «ψαλτήριον τερπνόν» 'αὖραν ἡδεῖαν' λέγει, ἀντὶ τοῦ καλὴ ἡ πνοὴ καὶ ἡδεῖα ἡ τοιαύτη.

4 «Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν»

557 Ἐχβοᾶτε, φησί, καὶ ταῖς σάλπιγξιν ἐν ταῖς νεομηνίαις[2], — ἑορτὴν γὰρ ἦγον τὴν νεομηνίαν, — ἀλλὰ καὶ ἐν πάσῃ, φησίν, ἐπισήμῳ ἑορτῇ. Βούλεται δὲ εἰπεῖν ὁσάκις συνίητε, διὰ πάντων ψάλατε τῷ Θεῷ τῶν ὀργάνων.

5 «Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστὶν καὶ κρίμα τῷ Θεῷ Ἰακώβ»

Μετὰ γὰρ πολλῆς κρίσεως καὶ δοκιμασίας τοῦτο ὁ Θεὸς τῷ λαῷ τῷ ἡμετέρῳ ποιεῖν προσέταξεν[3], ὥστε μηδὲν παραλιμπάνειν δεῖ.

6 «Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτὸν ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου»

Διεμαρτύρατο αὐτῷ, φησίν, ὁπηνίκα τῆς Αἰγύπτου αὐτὸν ἐξήγαγεν, τοῦτο ποιεῖν ὑπὲρ ἐκείνης τῆς ἐλευθερίας ἐντειλάμε-

---

1. Ψαλ. 80,3. **2.** Πρβλ. Ψαλ. 80,4. **3.** Πρβλ. Ψαλ. 80,5.

νος[1]. Τὸ οὖν «ἔθετο αὐτόν»[2], ἀντὶ τοῦ τὸν λόγον, — ἵνα εἴπῃ τοῦτον ἐν διαμαρτυρίας αὐτῷ τάξει τὸν λόγον ἔθετο.

«Γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν»

Τότε γὰρ καὶ μεγάλων ἠξιώθη, ὅτε τὸ πρόσταγμα τοῦτο ἐδέξατο, θείας ἀκούων φωνῆς, ἧς οὐδέποτε πρὸ τούτου ἀκούσας ἦν, — ὥστε καὶ ὑπὲρ αὐτοῦ τούτου δεῖν μετὰ σπουδῆς πράττειν τὸ προσταχθέν, ὅτιπερ ἠξίωσεν αὐτὸς ὁ Θεὸς οἰκείᾳ φωνῇ δοῦναι τὸ πρόσταγμα.

7 «Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ»

«Ἄρσεων»[3] λέγει τῶν βασταγμάτων, ἀπὸ τοῦ αἴρειν, — ἵνα εἴπῃ τοῦ πηλοῦ καὶ τῆς πλινθείας[4] **558** ἀπήλλαξεν αὐτόν, φησίν, ἐκείνης τῆς δουλείας, καὶ τοῦ φέρειν βαρέα βαστάγματα τὸν νῶτον ἠλευθέρωσεν.

«Αἱ χεῖρες αὐτοῦ ἐν τῷ κοφίνῳ ἐδούλευσαν»

Κατετρίβη γὰρ μικροῦ, καὶ κατεδαπανήθη τὰς χεῖρας ἐν τῇ τοῦ κοφίνου δουλείᾳ, τὸ αὐτὸ λέγων. Τότε οὖν, φησίν, ὁπηνίκα τούτων αὐτοὺς ἀπαλλάξας ἐξήγαγε τῆς Αἰγύπτου, τότε αὐτῷ τοῦτο τὸ πρόσταγμα δέδωκεν. Τί εἰπὼν πρὸς αὐτόν;

8 «Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐῤῥυσάμην σε· ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος»

Τοῦ Θεοῦ λέγει τοὺς λόγους, οὓς τότε πρὸς αὐτοὺς εἶπεν ἐν τῷ ὄρει τῷ Σινᾷ ὀφθεὶς αὐτοῖς[5], καὶ εἰπὼν δι' ἑαυτοῦ ὅτι ἀνήγαγόν σε ἐξ Αἰγύπτου, διήγαγον τὴν θάλασσαν, ἐμὲ γνώριζε τὸν Δεσπότην καὶ ποιητήν, τῆς τῶν εἰδώλων θεραπείας ἀφίστασο. Τοῦτο οὖν αὐτοὺς ὑπομιμνήσκει. Εἶπεν οὖν ὁ Θεὸς τότε πρὸς τὸν λαόν «Ἐν τῇ θλίψει»[6] τῆς δουλείας σου ὄντος σου ἤκουσα, καὶ ἀπήλλαξά σε πρὸς τῇ Ἐρυθρᾷ θαλάσσῃ γενόμενον καὶ περὶ τῆς σωτηρίας κινδυνεύοντα. Ἐν νεφέλῃ ὀφθεὶς ἤκουσά σου καὶ διελὼν τὴν θάλασσαν

---

1. Πρβλ. Ἐξ. 12,1 ἑξ. 13,1 ἑξ. **2.** Ψαλ. 80,6. **3.** Ψαλ. 80,7. **4.** Πρβλ. Ἐξ. 1,13-14. **5.** Πρβλ. Ἐξ. 19,3-6. **6.** Ψαλ. 80,8.

ἀπήλλαξα τῶν ἐπικειμένων θανάτων[1]. «Ἐν ἀποκρύφῳ» οὖν «καταιγίδος» εἶπεν τὴν νεφέλην, ἐν ᾗ ὥσπερ ἀποκεκρυμμένος αὐτοῖς διελέγετο, ὡς τῆς νεφέλης καὶ ἀνέμους πέμπειν σφοδροτάτους φύσιν ἐχούσης καὶ οὕτω τὰς καταιγίδας ἀποτελούσης.

«Ἐδοκίμασά σε ἐπὶ ὕδατος ἀντιλογίας»

Τοῦ πικροῦ λέγει τοῦ ἐν Μεῤῥᾷ, ὅτε ἐλοιδορήθησαν τῷ Μωυσῇ[2]. Ἀλλὰ καὶ μετὰ τοῦτό φησί σου τὴν δοκιμὴν τῆς ἀπιστίας παρασχομένου, ἐγὼ καὶ οὕτω τὸ ὕδωρ μεταβαλὼν χρήσιμον ὑμῖν ἐποίησα τὸ ποτόν. Τί οὖν ὑπὲρ τούτων;

9 «Ἄκουσον, λαός μου, καὶ διαμαρτυροῦμαί σοι»

559 Οὐκοῦν ἄκουε[3] τοῦ λοιποῦ, καὶ μέμνησο ὧν λέγω.

9-10 «Ἰσραήλ, ἐὰν ἀκούσῃς μου, οὐκ ἔσται ἐν σοὶ Θεὸς πρόσφατος, οὐδὲ προσκυνήσεις Θεῷ ἀλλοτρίῳ»

Ἐάνπερ ἔχειν ἐθέλῃς περὶ ἐμέ, καὶ τῆς ἐμῆς ἐπιμελεῖσθαι θεραπείας καὶ τῶν παρ' ἐμοῦ ἀπολαύειν ἀγαθῶν, — ἔλαβες γὰρ ὧν παρέχεις δύναμαι τὴν πεῖραν, — μή μοι καινοὺς καὶ ἐπεισάκτους θεούς, τοὺς ἀνθρωπίναις ἐπινοίαις ποθὲν χθὲς καὶ σήμερον ἐπεισαχθέντας, ἐπεισάξῃς[4].

11 «Ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου ὁ ἀναγαγών σε ἐκ γῆς Αἰγύπτου»

Δεῖ γάρ σε Δεσπότην ἡγεῖσθαι ἐμὲ τὸν ἀπαλλάξαντά σε τῆς δουλείας, ἀφ' ὧν ἔλαβες ἔχοντα τὴν πεῖραν.

«Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό»

Οὐ γὰρ μόνον ὅτι δέδωκα λέγω, ἀλλὰ καὶ δώσειν ὑπισχνοῦμαι· κἂν γὰρ ἀνοίξῃς σου τὸ στόμα, τοσούτων αὐτὸ «πληρώσω»[5] ἀγαθῶν, ὅσων ἂν δέχεσθαι δύνῃ, — ἀντὶ τοῦ δαψιλῆ σοι παρέξω τῶν ἀγαθῶν τὴν περιουσίαν ἄνπερ αὐτὸς μὴ ἐμποδὼν γίγνῃ.

---

1. Πρβλ. Ἐξ. 14,19 ἑξ. **2.** Πρβλ. Ἐξ. 15,22-26. **3.** Πρβλ. Ψαλ. 80,9. **4.** Πρβλ. Ψαλ. 80,10. **5.** Ψαλ. 80,11.

12 «Καὶ οὐκ ἤκουσεν ὁ λαός μου τῆς φωνῆς μου»

Ἀλλὰ τούτων οὐκ ἐφρόντισεν τῶν ῥημάτων.[1]

«Καὶ Ἰσραὴλ οὐ προσέσχεν μοι»

Ἔλαττον δέ μου τῆς γνώσεως ἐφρόντισεν.

13 «Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν, πορεύσονται ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν»

560 Σύμμαχος σαφέστερον· 'ἀφῆκα οὖν αὐτοὺς τῇ ἀρεσκείᾳ τῆς καρδίας αὐτῶν ὁδεύειν ταῖς βουλαῖς αὐτῶν'. Ταύτην αὐτοῖς τὴν τιμωρίαν ἐπήγαγον βουλομένοις οὐκ ὀρθῶς ζῆν· 'ἀφῆκα', οὐδεμίαν αὐτῶν ἐπιμέλειαν ποιησάμενος τοῦ λοιποῦ, ὥστε κατὰ τὴν οἰκείαν γνώμην ἅπαντα πράττειν· τὴν ζημίαν, ὅση τίς ἐστιν, ἔγνωσαν εὐκόλως. Καὶ γὰρ καὶ πρὸς τὸ χεῖρον εἶδον, καὶ τὸν βίον ἔσχον διεφθαρμένον, καὶ τοὺς καρποὺς τούτων ἔλαβον τήν τε αἰχμαλωσίαν καὶ τὰ ἐκεῖθεν κακά. Δέδεικται μέντοι κἀνταῦθα, ὡς πολλάκις ἡμῖν εἴρηται, ὅτι ἡ Γραφὴ τὴν συγχώρησιν ἀντὶ πράγματος λέγει. Τὸ γάρ 'ἀφῆκα' ἐξαπέστειλεν[2] εἶπεν, ἅπερ συνεχώρησεν αὐτοὺς παθεῖν τε καὶ κατὰ τὴν οἰκείαν γνώμην αὐτοὺς ἁμαρτάνειν, ταῦτα ὡς τοῦ Θεοῦ ἀποστείλαντος ἐπ' αὐτοὺς καὶ ποιήσαντος εἰπών.

14-15 «Εἰ ὁ λαός μου ἤκουσέν μου, Ἰσραὴλ ταῖς ὁδοῖς μου εἰ ἐπορεύθη, ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα καὶ ἐπὶ τοὺς θλίβοντας αὐτοὺς ἐπέβαλον τὴν χεῖρά μου»

Εἰ δέ, φησίν, ἐμέμνηντο τῶν ἐμῶν ῥημάτων ἐπιμεληθέντες ὧν προσέταξα, οὐδε' ἂν ἔπαθον ταῦτα· καὶ γὰρ σφόδρα ῥαδίως τοὺς ἐχθροὺς αὐτῶν ἐτιμωρησάμην[3], καὶ περιέβαλον ἂν αὐτοὺς εὐκόλως μεγίστοις κακοῖς ὥστε οὐδ' ἂν ἔπαθόν τι δεινόν. Ταῦτα δὲ λαβὼν ὁ Προφήτης ἀπὸ τῆς τότε φωνῆς τοῦ Θεοῦ καὶ τὰ ἀκόλουθα εἶπεν, ὡσανεὶ βουληθείη καὶ νῦν χρήσασθαι φωνῇ, ἁρμοσόντων αὐτῷ τῶν ἑξῆς, — διὰ πάντων τούτους παιδεύων ὅτι εὐεργετηθέντες καὶ νόμον δεξάμενοι παρὰ τοῦ Θεοῦ, εἰ μὲν ὑπήκουσαν, ἔπαθον

1. Πρβλ. Ψαλ. 80,12. **2.** Πρβλ. Ψαλ. 80,13. **3.** Πρβλ. Ψαλ. 80,15.

ἂν οὐδέν· ἐπειδὴ δὲ ἔλαττον ἐφρόντισαν τῶν προσταγμάτων, ἀνηκέστοις περιέπεσον κακοῖς, — παιδεύων αὐτοὺς φυλάξασθαι τὸ τοῖς αὐτοῖς περιπεσεῖν ἑξῆς, μὴ τὰ αὐτὰ πάλιν παθεῖν. Τὸ δὲ κατὰ τὴν ἀκολουθίαν ἀπὸ τῶν εἰρημένων παρὰ τοῦ Θεοῦ καὶ τὰ ἑξῆς εἰπεῖν ἀπ' αὐτοῦ ὡς ἂν ἁρμόζειν αὐτῷ δυνάμενα, μειζόνως ἐντρέποντος ἦν τοὺς ἀκούοντας, ὅσῳ καὶ ἐκ τοῦ Θεοῦ λέγεσθαι δοκῇ τὰ λεγόμενα.

16 «Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ»

561 Λέγει λοιπὸν καὶ τῆς ἐπανόδου τὸ μέγεθος, πρὸς τὴν ἀρχὴν καὶ τὸ προοίμιον... κεχρημένος, ἵνα εἴπῃ... ὥσπερ ἐν μέσῳ ἡ παραίνεσις. Ὅμοιον δέ ἐστι τὸ ἐνταῦθα λεγόμενον τῷ ἐν τῷ ξε' ψαλμῷ τῷ «ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου»[1]. Ὑπὲρ τούτων οὖν, φησίν, εὐχαριστεῖν ὑμῖν παρακελεύομαι, ὅτι μετὰ τοσαύτην ἀγνωμοσύνην οὕτω μεγάλης τετυχήκατε τῆς παρὰ τοῦ Θεοῦ χάριτος, ὡς καὶ πολλοὺς τῶν ἐναντίων καταπλαγέντας τὴν περὶ ἡμᾶς τιμὴν ὑποκρίνασθαι, ψευδομένους τοῦ δόγματος τὴν κοινωνίαν. Ἐν αὐτῷ δὲ τῷ προειρημένῳ ψαλμῷ καὶ ἡ ἀπόδειξις ἡμῖν παράκειται.

«Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα»

Ἀλλ' οὐδὲν αὐτοῖς ὄφελος ἐκ τῆς ὑποκρίσεως ἔσται· μένει γὰρ αὐτοὺς ὁ τῆς τιμωρίας «καιρός»[2], ὃν οὐ πρὸς βραχὺ ἀλλ' εἰς τὸ διηνεκὲς δέξονται.

17 «Καὶ ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ»

Ἀλλ' ἐκεῖνα μὲν εἰς τοὺς ἐναντίους ἔσται, τοὺς δὲ οἰκείους πληρώσει πολλῆς τῆς ἀπὸ τῶν γεννημάτων εὐθηνίας· «πυροῦ»[3] γὰρ λέγει τοῦ σίτου, στέας δὲ πυροῦ τὴν εὐθηνίαν αὐτοῦ καλεῖ.

«Καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς»

Καὶ ἀπὸ χαλεπῶν καὶ σκληρῶν πραγμάτων εἰς πολλὴν αὐτοὺς ἄνεσιν καὶ ἡδονὴν καταστήσει.

---

1. Ψαλ. 65,3. 2. Ψαλ. 80,16. 3. Ψαλ. 80,17.

ΠΙΝΑΞ

ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ

ΠΙΝΑΞ
ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ κ. Διονυσίου Σκλήρη, Φιλολόγου)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος. β) Ὅταν πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος εὑρίσκηται τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Σημείωσις

Εἰς τὴν ἁγιογραφικὴν ἐνημέρωσιν ἔργων τινῶν τοῦ Θεοδώρου Μοψουεστίας ἠργάσθη καὶ ὁ κ. Ἰωάννης Βιδάλης, θεολόγος.

Σημειωτέον ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J. - P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.